Toronto University Library

Presented by

Messrs Joseph Baer & Co

through the Committee formed in

The Old Country

to aid in replacing the loss caused by

The disastrous Fire of February the 14th 1890

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΜΕΤΕΩΡΟΛΟΓΙΚΩΝ

ΒΙΒΛΙΑ Δ.

ARISTOTELIS METEOROLOGICORUM

LIBRI IV.

Graeca verba post Bekkerum ad interpretum graecorum auctoritatem, codicum veterumque editionum fidem denuo recensuit, latinam interpretationem partim novam, partim Vicomercati refictam addidit, excerpta ex commentariis Alexandri, Olympiodori, et Ioannis Philoponi, suos commentarios, indices verborum ac rerum adiecit et praefatus est

IULIUS LUDOVICUS IDELER

PHIL. IN ACADEMIA FRIEDERICA GUILELMA BEROLINENSI DR.

VOLUMEN ALTERUM

LIBROS DUO POSTERIORES CUM COMMENTARIIS, ALEXANDRI APHRODISAEI LIBELLUM DE MISTIONE ET INDICES CONTINENS.

LIPSIAE 1836

SUMPTIBUS FRID. CHRIST. GUIL. VOGELII.

Celui qui dans une science néglige l'histoire de cette science, se prive de l'expérience des siècles, se place dans la position du premier inventeur, et met gratuitement contre soi les mêmes chances d'erreur, avec cette différence que les premières erreurs, ayant été nécessaires, ont été utiles, et par conséquent sont plus qu'excusables, tandis que la répétition des mêmes erreurs n'ayant pas été nécessaire, est inutile et stérile pour les autres et honteuse pour soi-même.

Cousin, Cours de l'histoire de la philosophie,
XIe leçon. Juillet 1828, p. 4.

14515
3/8/91

PRAEFATIO.

Opere iam ad finem perducto, quod quinque per annos, inde enim ab illo tempore, quo breve de Meteorologia veterum Graecorum et Romanorum opusculum componere aggrediebar, me tenuit occupatum, perpendenti mihi, quid pro viribus et iis, quae ad manum erant instrumentis praestare licuerit, vereor ne multa multis reliquerim agenda, eoque fere unico me consolor argumento, quod fortasse, me non accedente, egregium hoc Aristotelis opus diutius adhuc intactum iacuisset et interprete suo caruisset. Secuturi praestabunt meliora; idque unum alicuius, nisi omnia me fallunt, erit momenti, quod futuris interpretibus viam sternere eram conatus.

Adieci libellum Alexandri Aphrodisiensis *περὶ μίξεως*, quem etiam Aldus commentariis in Aristotelis Meteorologica, qui sub medici illius nomine circumferri solent, proxime subiunxit, quum in eo de multis rebus dilucide sit disputatum, quae cum iis, quae Aristoteles in quarto Meteorologicorum libro exposuerat, arcte cohaerent, et quum non indignus mihi videretur, cuius innumeris fere, quibus in prima illa editione scatebat, mendis purgati, denuo viris doctis copia fieret, praesertim quum nonnulla contineret, quae in historia philosophiae enarranda alicuius ponderis, aliaque plura, quae in re ne hodienum satis explicata non exigui momenti videri possent. In pluribus locis emendandis usus sum latina interpretatione Angeli Caninii Angliarensis, quae una

cum libris de fato et de anima ab eodem graeco auctore compositis et ab eodem Caninio in latinum sermonem conversis prodiit Venetiis apud Hieronymum Scotum anno 1549, forma maxima. Quamvis multos locos coniectura et mutata interpungendi, quam totam fere subverti ratione, non infeliciter sanasse mihi videar, nonnullos tamen superesse, qui quales nunc exhibentur vix comprehendi queant, bene intelligo eosque doctorum virorum acumini commendo. — Laudatur liber a Themistio in Aristot. *Phys.*, fol. 37, a: *ὅ, τε Ἀφροδισιεὺς Ἀλέξανδρος ἐν τῷ περὶ κράσεων γράμματι.*

Adservatur in Bibliotheca Regia Berolinensi codex forma quaterna (Mss. Latin. Quart. 70) seculo ut videtur decimo quinto ineunte in Gallia *) scriptus, qui praeter Marci Pauli Veneti orientalium regionum descriptionem a fratre Francisco Bononiensi latine redditam **), Chronicen fratris Martini [Poloni] *ordinis fratrum praedicatorum et penitentiarii domini papae* ***), Secreta fratris Alberti Coloniensis de ordine praedicatorum (unde videtur a monacho praedicatorum ordinis conscriptus esse), aliaque complura, quae huius loci non est enumerare, inde a fol. 129 ad fol. 140 etiam Expositionem libri Meteororum continet, pro more illius seculi satis ieiunam, haud tamen prorsus inepte adornatam, quam physices scholastices historiam enarraturo commendamus.

Praeterea moneo, Anglicam Meteorologicorum Aristotelis interpretationem auctore Edmundo Pargiter prod-

---

*) Continet enim gallicam etiam dissertationem inscriptam: *Lexposition des sonnges solom ceo qe Daniel le prophete le fist et en escripture per Astronomie le mist.*

**) Müller, *Marc. Paul.*, Colon. Brandeburg. 1671, 4. in praef. p. 16. Zurla, *di Marco Polo e degli altri Viaggiatori Veneziani più illustri Dissertazioni*, Venez. 1818, 4. Vol. 1, p. 27 sq. Marsden, *Travels of Marco Polo*, London 1818, 4. p. LIV sq. Abel Remusat, *Nouv. Mélanges Asiatiq.*, Vol. I, p. 276.

***) Cfr. Quietif et Echard, *Script. Ord. fratr. Praedicator.* I, p. 136.

iisse Londini 1745, 4. quam, uti nunc video, commemoraverat etiam Buhle, *Aristot. Opp.* Vol. I, p. 273. Innumera fere loca vir ille non intellexerat, unde nullum inde hauries fructum. Ludovici Buccaferrei Bononiensis *lectiones supra primum librum Meteorologicorum Aristotelis* (Venet. 1565, fol.) et *lectiones in quartum librum*, quae Venetiis 1563, fol. prodierunt, nuper comparandi occasionem habui: nihil tamen sani inde repetes. (Adservatur exemplar in Bibl. Reg. Berolinensi.) Auctorem ad nomen tenus ignoraverunt Fabricius, Buhlius reliquique, qui de historia Aristotelis litteraria scripserunt viri. Antiqua Guilelmi a Moerbeka interpretatio latina, quae ad Schneiderum usque Thomae Cantipratano, episcopo Lusentino et Episcopi Cameracensis suffraganeo *) tribuebatur, reperitur in *Oper. Sti Thomae Aquinatis*, quorum tres editiones ad manum sunt, quae prodierunt Romae 1570, 5 voll. fol. Antwerp. 1612, 5 voll. fol. (per Cosmam Morelles ordinis fratrum praedicatorum) et Paris. 1660, 6 voll. fol.

Nuper demum in manus mihi incidit exemplar Aldinum commentariorum Olympiodori, in Reg. Bibl. Berolinensi adservatum **), quo ex Ezechielis Spanhemii Bibliotheca pervenit, cuius margini vir quidam doctus, Spanhemio antiquior ipsique ignotus (uti patet ex not. Ms. ad fol. 12, b) emendationes quasdam adscripsit, quarum nonnullas, quas probo, cum aliis quibusdam, quae monenda censeo, hic adponam:

Vol. I, p. 157, l. 2. In verbis Olympiodori scribendum est ὅτι (deleto ἀὴρ) ἐπιμιξίαν ἐδέξατο τοῦ ξηροῦ (pro ὑγροῦ, quod cum Aldo edidimus).

---

*) Obiit anno 1263. Cfr. Sandium ad Voss. *de histor. Latin.* p. 381. Fabric. *Bibl. Lat. med. aevi*, lib. XIX, p. 247 ed. Mansi.

**) Prostant duo Olympiodori Aldini exemplaria in Bibl. Reg. Berol., quorum utroque Spanhemius olim erat usus, uti ex marginalibus, quae nullius sunt ponderis, patet. Ego alterum tantummodo comparaveram, altero, de quo nunc loquor, prorsus neglecto.

Vol. I, p. 169 not. †) sive in Addendis ad h. l. p. 640: Vir D. haec adscripsit: „Cnidium vinum cur dicatur merum in Aegypto non video. Mendi portentum hic subesse oportet; fortasse scripserat Olympiodorus ὁ βύβλινος καλούμενος. Vide Scaligerum ad Guillandinum ad p. 30 et 31." Sed nihil mutandum esse patet ex iis, quae l. l. monuimus.

— — p. 184 not. ***) non opus erat ea, quam proposuimus interpretatione. Etenim φησί, ἔφη, εἶπε saepenumero per pleonasmum orationi interponuntur. Cfr. Jacobs ad *Antholog. graec.* Vol. X, p. 106 sq.

— — p. 192, l. 16 pro οἱονεί, quod Aldum secuti dedimus, scribe οἷον εἰ.

— — p. 223, scribe in nota *): „Fortasse scribendum ἐν Θηβαΐδι μήτε ὅρων ὄντων et q. s." μήτε enim illud iniuria excidit. Mox apud Olympiodorum eadem pagina l. 6 sq. pro ὑποκαιόμενον scribendum est ἀποκλειόμενον, uti deinceps l. 16 editum est.

— — p. 214, l. 17 post διεψευσμένα pone punctum minus; post οὕτως in linea sequenti comma. Notum est, Antonium Diogenem librum composuisse περὶ τῶν ὑπὲρ Θούλην ἀπίστων, qui aetatem non tulit. Excerpta a Photio servata primo Corporis eroticorum graecorum volumini inseruit Fr. Passowius.

— — p. 287, l. 26 αὐτῶν est apud Aldum, nec in αὐτοῦ mutandum esse videtur, sed potius scribendum: περὶ χυμοῦ καὶ ἄλλων αἰσθητῶν, uti rectissime monuit vir ille doctus, cuius modo mentionem fecimus.

— — p. 290, l. 24 pro θερμήν, quod ex auctoritate Aldi edidimus, exhibendum erat θέρμην.

— — p. 296, l. 24 post ἡμέρας adde ἀπό, quod etiam apud Aldum desideratur.

— — p. 500, l. 3 adde: Unum mare duobus illis nominibus etiam h. l. indicari opinatus est Alexander ab Humboldt, inque suae opinionis gratiam attulit locum Pomponii Melae III, 5: *Mare Caspium, ut angusto, ita longo etiam freto, primum terras, quasi fluvius irrumpit: atque ubi recto alveo influxit, in tres sinus diffunditur; contra os ipsum in Hyrcanum, ad sinistram in Scythicum, ad dextram in eum, quem proprio et totius nomine Caspium appellant: omne atrox, saevum, sine portubus, procellis undique expositum, ac belluis magis, quam caetera refertum et ideo minus navigabile.* Quibus ex verbis elucet, Hyrcanium et Caspium sinus fuisse

maris maioris, quod eodem illo, quo posterior sinus, nomine Caspium appellabatur. Sed vereor, ne omnis ista Melae eruditio ex hoc nostro Aristotelis loco male intellecto originem ceperit.

Vol. II, p. 138 lin. ult. pro *χώματα*, quod typothetae est mendum a me non observatum, lege *χρώματα*.

— — p. 248. Confusionem inter *διεσπασμένος* et *διεσπαρμένος* praebet etiam V. L. ad Aristot. *de part. animal.* III, 4, p. 665, b. III, 9, p. 671, a.

— — p. 400, l. 12 adde: Eadem prorsus ratione dixit Aristoteles *de part. animal.* II, 1, p. 646, a: *ὑγρὸν καὶ ξηρὸν καὶ θερμὸν καὶ ψυχρὸν ὕλη τῶν συνθέτων σωμάτων ἐστί.*

— — p. 430, l. 25 adde: *ἕψησις* et *ὄπτησις* distinguebantur etiam apud chemicos graecos. Ita in opere chemico Bibl. Lugdun. apud Reuvens, *Lettre I à M. Letronne*, p. 10, not. a, recensentur *ἕψησις, ἴωσις, ὄπτησις, ἀνάσπασις καὶ λείωσις*, quorum verborum secundum lexicis inferatur, uti etiam *ἐξίωσις* a Reuvensio e papyro graeco erutum.

— — p. 435, l. 22 adde: Eodem modo *πρῶτος* positum est *de part. animal.* II, 8, p. 653, b: *τὸ γὰρ ζῷον ὁριζόμεθα τῷ ἔχειν αἴσθησιν, πρῶτον δὲ τὴν πρώτην* et q. s.

— — p. 468, l. 17. Lectio *συνεξατμίζον* defenditur loco *de part. animal.* II, 4, p. 650, b: *τὸ δὲ γεῶδες πήγνυται συνεξατμίζοντος τοῦ ὑγροῦ* et p. 651, a. l. 8 sq.

— — p. 495, l. 1: adde quae Aristoteles dixit de significatione verborum *ἀκίνητος Phys.* V, 2, p. 226, b; *ἀδύνατος de caelo* I, 11, p. 280, b; *ἄπους Histor. anim.* I, 1, p. 487, b.

— — 498, l. 13. Diximus de ordine, qui inter elementa, corpora ex similaribus partibus composita et ea denique, quae ex dissimilaribus constant, intercedat secundum Aristotelem. Ex iis, quae disseruimus, patet in loco *de caelo* I, 3, p. 270, a: *κατὰ δὲ πάθος ὅσα μεταβάλλει τῶν φυσικῶν σωμάτων, ἔχονθ᾿ ὁρῶμεν πάντα καὶ αὔξησιν καὶ φθίσιν, οἷον τά τε τῶν ζῴων σώματα καὶ τὰ μόρια αὐτῶν καὶ τὰ τῶν φυτῶν, [ὁμοίως δὲ καὶ τὰ τῶν στοιχείων]* postrema, quae uncis inclusimus verba infeliciter ex margine in textum irrepsisse.

— — p. 506, l. 24. Quaestiones eius modi saepenumero immiscuit Aristoteles, quemadmodum *de sensu et sensili*, 2, p. 437, a; cap. 7, p. 448, a.

Vol. II, p. 514, l. 4. Propter Empedocleorum versuum interpretationem cfr. etiam *Histor. animal.* I, 1, p. 486, b ubi, postquam exposuit, partes in singulis animalibus aut easdem esse aut differre *κατὰ τὰ μᾶλλον καὶ ἧττον*, quod explicat *καθ' ὑπεροχὴν καὶ ἔλλειψιν*, pergit: *ἔνια δὲ τῶν ζῴων οὔτε εἴδει τὰ μόρια ταὐτὰ ἔχει οὔτε καθ' ὑπεροχὴν καὶ ἔλλειψιν, ἀλλὰ κατ' ἀναλογίαν, οἷον πέπονθεν ὀστοῦν πρὸς ἄκανθαν, καὶ ὄνυξ πρὸς ὁπλήν, καὶ χεὶρ πρὸς χηλήν, καὶ πρὸς πτερὸν λεπίς. ὃ γὰρ ἐν ὄρνιθι πτερόν, τοῦτο ἐν ἰχθύϊ ἐστὶ λεπίς.* —

— — p. 523, l. 6 a fine adde: Germar, *Magazin der Entomologie* (Halle 1813) *Heft I.* John, *Naturgeschichte des Succins* (Köln 1816, 8.) Th. I. S. 216—228. Quae posterior in loco Aristotelis *de generat. animal.* II, 11 reperisse sibi visus est (cfr. l. l. p. 12. 142 ac saepius), ea prorsus inepta sunt. Omnino caveas, ne isti auctori nimiam fidem tribuas. Negligentiae enim, adeoque ignorantiae exempla sat multa possem afferre, si tanti esset, de libro hodie fere neglecto iudicium ferre.

Restat, ut in fine huius praefationis moneamus, Perionii sententiam de ordine et nexu librorum physicorum Aristotelis brevi dissertatione expositam deprehendi in fronte libri, qui inscribitur:

Aristotelis de natura, aut de rerum principiis libri VIII, Ioachimo Perionio Benedictino Cormoeriaceno interprete. Eiusdem Perionii in eosdem libros observationes. Eiusdem orationis qua Iacobi Lodoici Strebaei calumniis respondit compendium. Ad D. Franciscum Burgium Rivorum pontificem. Parisiis 1550, 4.

et repetitam esse initio Voluminis tertii editionis operum Aristotelis inscriptae:

Aristotelis Stagiritae tripartitae philosophiae opera omnia, latine, cum praefatione C. Prosperi Cyriaci, de dignitate, utilitate, partibus atque ordine philosophiae. Basil. 1563, 4 Voll. fol.

Qua de re agendi melior sese alio loco offeret occasio. Nunc manum de tabula!

Iul. Ludov. Ideler.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΜΕΤΕΩΡΟΛΟΓΙΚΩΝ

ΤΩΝ ΕΙΣ Δ ΤΟ Γ ΚΑΙ Δ.

ARISTOTELIS

METEOROLOGICORUM

LIBRI DUO POSTERIORES.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ
ΜΕΤΕΩΡΟΛΟΓΙΚΩΝ Γ.

[p. 370, b. ed. Bekk.] [p. 352 F. ed. Cas.]

I. *Περὶ δὲ τῶν ὑπολοίπων εἴπωμεν ἔργων τῆς ἐκκρίσεως* 1
ταύτης, τὸν ὑφηγημένον ἤδη τρόπον λέγοντες. τὸ γὰρ πνεῦμα τοῦτο ἐκκρινόμενον κατὰ μικρὰ μὲν καὶ σποράδην διαχεόμενον καὶ πολλάκις γινόμενον καὶ διαπνέον καὶ λεπτομερέστερον ὂν βροντὰς ποιεῖ καὶ ἀστραπάς· ἂν δ' ἀθρόον καὶ πυκνότερον, ἧττον δ' ἐκκριθῇ λεπτόν, ἐκνεφίας ἄνεμος γίνεται· διὸ καὶ βίαιος. τὸ γὰρ τάχος τῆς ἐκκρίσεως ποιεῖ τὴν ἰσχύν. 2. *Ὅταν* 2
μὲν οὖν συνακολουθήσῃ πολλὴ καὶ συνεχὴς ἔκκρισις, τὸν αὐτὸν γίνεται τρόπον ὥσπερ ὅταν πάλιν εἰς τοὐναντίον ὁρμήσῃ. τότε γὰρ ὑετὸς καὶ ὕδατος γίνεται πλῆθος. ὑπάρχει μὲν οὖν ἄμφω δυνάμει ταὐτὰ κατὰ τὴν ὕλην. ὅταν δ' ἀρχὴ γένηται τῆς δυνάμεως ὁποτερασοῦν, ἀκολουθεῖ συνεκκρινόμενον ἐκ τῆς ὕλης

Cap. I. Disseramus iam de reliquis huius secretionis operibus ea, quam supra instituimus, ratione. Flatus enim iste, qui excernitur, quando paulatim sparsimque diffunditur, persaepeque gignitur et perflat ac tenuibus constat particulis, tonitrua facit ac fulmina. Quodsi autem confertim et densior, minusque tenuis excernitur, ecnephias ventus sive procella gignitur. Quapropter et violentus. Rapiditas enim secretionis violentiam adiicit. 2. Cum igitur multa eaque continua secretio consecuta fuerit, idem profecto accidit, quod cum rursus in adversam partem impetum fecerit: tunc enim pluvia et aquae copia gignitur. Ambo igitur haec facultate eadem sunt secundum materiem: cum vero alteriusutrius potestatis prin-

ὁποτέρου ἂν πλῆθος ἐνυπάρχῃ πλεῖον, καὶ γίνεται τὸ μὲν ὄμ-
3 βρος, τὸ δὲ τῆς ἑτέρας ἀναθυμιάσεως ἐκνεφίας. 3. Ὅταν δὲ τὸ ἐκκρινόμενον πνεῦμα τὸ ἐν τῷ νέφει ἑτέρῳ ἀντιτυπήσῃ οὕτως, ὥσπερ ὅταν ἐξ εὐρέος εἰς στενὸν βιάζηται ὁ ἄνεμος ἐν πύλαις ἢ ὁδοῖς (συμβαίνει γὰρ πολλάκις ἐν τοῖς τοιούτοις ἀπωσθέντος τοῦ πρώτου μορίου τοῦ ῥέοντος σώματος διὰ τὸ μὴ ὑπείκειν, ἢ διὰ στενότητα, ἢ διὰ τὸ ἀντιπνεῖν, κύκλον καὶ δίνην γίνεσθαι τοῦ πνεύματος. τὸ μὲν γὰρ εἰς τὸ πρόσθεν κωλύει προϊέναι, τὸ δ' ὄπισθεν ἐπωθεῖ, ὥστ' ἀναγκάζεται εἰς τὸ πλάγιον, ᾗ οὐ κωλύεται, φέρεσθαι, καὶ οὕτως ἀεὶ τὸ ἐχόμενον, ἕως ἂν ἓν γένηται, τοῦτο δ' ἐστὶ κύκλος. οὗ γὰρ μία φορὰ σχήματος, τοῦτο καὶ αὐτὸ ἀνάγκη κύκλον εἶναι) ἐπί τε τῆς γῆς οὖν διὰ ταῦτα γίνονται οἱ δῖνοι καὶ ἐν τοῖς νέφεσιν ὁμοίως διὰ τὴν ἀρχήν, πλὴν ὅτι, ὥσπερ ὅταν ἐκνεφίας γίνηται, ἀεὶ τὸ νέφος ἐκκρίνεται καὶ γίνεται συνεχὴς ἄνεμος, οὕτως ἐνταῦθα ἀεὶ τὸ συνεχὲς ἀκολουθεῖ τοῦ νέφους. 4. Διὰ δὲ πυκνότητα οὐ δυνάμενον ἐκκριθῆναι τὸ πνεῦμα ἐκ τοῦ νέφους στρέφεται μὲν κύκλῳ τὸ πρῶτον διὰ τὴν

cipium exortum est, utrius copia maior fuerit, id e materia secretum subsequitur: atque hoc quidem fit imber, illud vero alterius exhalationis procella. 3. Cum vero is flatus, qui in nube exclusus excernitur, repercutitur ab altera, vortex exsistit, ut fieri solet, cum ex patenti loco in angustum in portis viisque ventus vi adigitur (accidit enim saepenumero in eius modi locis, ut corporis fluentis prima particula repercussa propterea, quod non cedit, aut ob angustiam, aut quod alius flatus contra spirat, in circulum flatus convolvatur ac vertigo fiat: quippe cum alius, ne progrediatur, prohibeat, alius a tergo impellat, ut necesse sit in obliquum, qua parte non prohibetur, ferri, atque ita semper id, quod sequitur, donec unum evadat, quod quidem circulus est (siquidem cuius figurae motio una est, ea circulus sit necesse est): has igitur propter causas vertigines fiunt in terra eodemque modo et in nubibus, principii ratione: nisi quod quemadmodum, cum procella fit, semper nubes excernitur et continuus fit ventus, ita hic semper continuatio subsequitur nubis. 4. Cum vero ob densitatem flatus ex nube ex-

εἰρημένην αἰτίαν, φέρεται δὲ κάτω διὰ τὸ ἀεὶ τὰ νέφη πυκνοῦ-
σθαι, ᾗ ἐκπίπτει τὸ θερμόν. 5. Καλεῖται δ', ἂν ἀχρωμάτιστος 5
ᾖ, τοῦτο τὸ πάθος τυφών, ἄνεμος ὤν, οἷον ἐκνεφίας ἄπεπτος.
βορείοις δ' οὐ γίνεται τυφών, οὐδὲ νιφετῶν ὄντων ἐκνεφίας,
διὰ τὸ πάντα ταῦτ' εἶναι πνεύματα, τὸ δὲ πνεῦμα ξηρὰν εἶναι
καὶ θερμὴν ἀναθυμίασιν. ὁ οὖν πάγος καὶ τὸ ψῦχος διὰ τὸ
κρατεῖν σβέννυσιν εὐθὺς γινομένην ἔτι τὴν ἀρχήν. 6. Ὅτι δὲ 6
κρατεῖ, δῆλον· οὐ γὰρ ἂν ἦν νιφετός, οὐδὲ βόρεια τὰ ὑγρά·
ταῦτα γὰρ συμβαίνει κρατούσης εἶναι τῆς ψυχρότητος. 7. Γί- 7
νεται μὲν οὖν τυφών, ὅταν ἐκνεφίας γινόμενος μὴ δύνηται ἐκ-
κριθῆναι τοῦ νέφους. ἔστι δὲ διὰ τὴν ἀντίκρουσιν τῆς δίνης,
ὅταν ἐπὶ γῆς φέρηται ἡ ἕλιξ συγκατάγουσα τὸ νέφος οὐ δυνα-
μένη ἀπολυθῆναι. ᾗ δὲ κατ' εὐθυωρίαν ἐκπνεῖ, ταύτῃ τῷ πνεύ-
ματι κινεῖ καὶ τῇ κύκλῳ κινήσει στρέφει καὶ ἀναφέρει ᾧ ἂν
προσπέσῃ βιαζόμενον. 8. Ὅταν δὲ κατασπώμενον ἐκπυρωθῇ 8
(τοῦτο δ' ἐστίν, ἂν λεπτότερον τὸ πνεῦμα γένηται), καλεῖται
πρηστήρ· συνεκπίμπρησι γὰρ τὸν ἀέρα τῇ πυρώσει χρωματίζων.

cerni non potest, in orbem quidem primum propter eam, quam diximus, causam convertitur: deorsum vero fertur propterea quod nubes ea parte densantur, qua excidit calor. 5. Vocatur autem haec affectio, si caloris expers fuerit, Typhon ventusque est, quasi procella inconcocta. Aquiloniis porro temporibus typhon non fit, neque nivosis procella, propterea quod omnia haec spiritus sunt, et spiritus sicca ac calida exhalatio. Gelu igitur et frigus, quia evincunt, principium, cum adhuc fit, statim exstinguunt. 6. Quod autem evincit perspicuum est. Non enim nix esset, nec quae aquilonia sunt, humida forent: siquidem haec evincente frigore eveniunt. 7. Oritur igitur typhon, quando procella excerni ex nube nequit; quod fit propter vertiginis obluctationem, cum ad terram convolutio defertur, secum nubem adducens, a qua absolvi non potest. Qua vero recto meatu proflat, ea parte spiritu commovet, et quam in rem inciderit, eam motu in orbem vim afferendo contorquet tollitque in sublime. 8. Cum vero avulsus incenditur (id autem evenit, quando tenuior est spiritus) prester, hoc est incensio, nomi-

9 9. Ἐὰν δ' ἐν αὐτῷ τῷ νέφει πολὺ καὶ λεπτὸν ἐκθλιβῇ πνεῦμα,
τοῦτο γίνεται κεραυνός, ἐὰν μὲν πάνυ λεπτόν, οὐκ ἐπικάων διὰ
λεπτότητα, ὃν οἱ ποιηταὶ ἀργῆτα καλοῦσιν, ἐὰν δ' ἧττον, ἐπι-
10 κάων, ὃν ψολόεντα καλοῦσιν. 10. Ὁ μὲν γὰρ διὰ τὴν λεπτότητα
φέρεται, διὰ δὲ τὸ τάχος φθάνει διεξιὼν πρὶν ἐκπυρῶσαι καὶ
ἐπιδιατρίψας μελᾶναι. ὁ δὲ βραδύτερος ἔχρωσε μέν, ἔκαυσε δ'
11 οὔ, ἀλλ' ἔφθασε διϊών. 11. Καὶ τὰ μὲν ἀντιτυπήσαντα πάσχει
τι, τὰ δὲ μὴ οὐθέν. οἷον ἀσπίδος ἤδη τὸ μὲν χάλκωμα ἐτάκη,
τὸ δὲ ξύλον οὐθὲν ἔπαθεν. διὰ γὰρ μανότητα ἔφθασε τὸ πνεῦ-
μα διηθηθὲν καὶ διελθόν· καὶ δι' ἱματίων ὁμοίως οὐκ ἔκαυσεν,
ἀλλ' οἷον τρῦχος ἐποίησεν. ὥστε ὅτι γε πνεύματα ταῦτα πάντα,
12 δῆλον καὶ ἐκ τῶν τοιούτων. 12. Ἔστι δ' ἐνίοτε καὶ τοῖς ὄμ-
μασι θεωρεῖν, οἷον καὶ νῦν ἐθεωροῦμεν περὶ τὸν ἐν Ἐφέσῳ ναὸν
καόμενον· πολλαχῇ γὰρ ἡ φλὸξ ἐφέρετο συνεχής, ἀποσπωμένη
χωρίς. ὅτι μὲν γὰρ ὅ τε καπνὸς πνεῦμα καὶ κάεται ὁ καπνός,
φανερόν, καὶ εἴρηται ἐν ἑτέροις πρότερον. ὅταν δ' ἀθρόον χωρῇ,

natur: aërem enim ardore accendit ac colore inficit. 9. Quodsi ex ipsa nube multus ac tenuis spiritus extruditur, fulmen fit, valde quidem tenuis si fuerit, id quod ob tenuitatem non adurit et quod poëtae argetem (clarum) nominant: quodsi minus tenuis, id quod psoloenta vocant, et quod adurit. 10. Illud enim propter tenuitatem fertur et ob celeritatem ante penetrat, quam adurat et mora facta nigrore inficiat. Hic vero tardior colore quidem inficit, sed non adurit, verum antea transit. 11. Quocirca et quae reluctantur, aliquid perpetiuntur: quae non reluctantur, minime; ut scuti aes quondam liquefactum est, lignum vero nihil perpessum. Spiritus enim ob raritatem antea percolatus est ac transmissus. Vestes etiam, per quas transibat, non adussit, sed veluti in pilos ac pannos redegit. Quare haec omnia spiritum esse ex hisce aliisque abunde patet. 12. Oculis etiam ipsis cernere interdum licet, veluti nuper vidimus in templi Ephesii conflagratione: in qua seorsim evulsa flamma multis in locis continua ferebatur. Ac fumum quidem spiritum esse atque ardere, manifestum et supra alio in loco dictum est. Cum autem confertim secedit, tum aperte flatus

τότε φανερῶς δοκεῖ πνεῦμα εἶναι. 13. Ὅπερ οὖν ἐν ταῖς μι- 13
κραῖς πυρκαϊαῖς φαίνεται, τοῦτο καὶ τότε πολλῆς ὕλης καομένης
ἐγίνετο πολλῷ ἰσχυρότερον. ῥηγνυμένων οὖν τῶν ξύλων, ὅθεν
ἡ ἀρχὴ τοῦ πνεύματος ἦν, πολὺ ἐχώρει ἀθρόον, ᾗ ἐξέπνει, καὶ
ἐφέρετο ἄνω πεπυρωμένον, ὥστ' ἐφαίνετο ἡ φλὸξ φέρεσθαι καὶ
εἰσπίπτειν εἰς τὰς οἰκίας. 14. Ἀεὶ γὰρ οἴεσθαι δεῖ συνακολου- 14
θεῖν τοῖς κεραυνοῖς πνεῦμα καὶ προϊέναι· ἀλλ' οὐχ ὁρᾶται διὰ
τὸ ἀχρωμάτιστον εἶναι. διὸ καὶ ἃ μέλλει πατάξειν, κινεῖται πρὶν
πληγῆναι, ἅτε πρότερον προσπιπτούσης τῆς ἀρχῆς τοῦ πνεύμα-
τος. 15. Καὶ αἱ βρονταί τε καὶ ἀστραπαὶ διΐστᾶσιν οὐ τῷ 15
ψόφῳ, ἀλλ' ὅτι ἅμα συνεκκρίνεται τὸ τὴν πληγὴν ποιῆσαν καὶ
τὸν ψόφον πνεῦμα. ὃ ἐὰν πατάξῃ, διέστησεν, ἐπέκαυσε δ' οὔ.
16. Περὶ μὲν οὖν βροντῆς καὶ ἀστραπῆς καὶ ἐκνεφίου, ἔτι δὲ πρη- 16
στήρων τε καὶ τυφώνων καὶ κεραυνῶν, εἴρηται, καὶ ὅτι ταὐτὸ
πάντα, καὶ τίς ἡ διαφορὰ πάντων αὐτῶν.

II. Περὶ δὲ ἅλω καὶ ἴριδος, τί θ' ἑκάτερον καὶ διὰ τίν' 1
αἰτίαν γίνεται, λέγωμεν, καὶ περὶ παρηλίων καὶ ῥάβδων. καὶ

esse videtur. 13. Quod igitur in parvis rogis fieri videmus, hoc idem vel tunc multa ardente materia longe validius fiebat. Diruptis igitur lignis, unde spiritus erat initium, copiosus qua parte efflabat confertim secedebat, et ardens in sublime ferebatur: quare flamma ipsa ferri et incidere in domos videbatur. 14. Semper enim spiritum fulmina consequi et anteire putandum est, quamquam, quia coloris est expers, non cernitur. Quo fit, ut quae fulgur percutit commoveantur prius, quam plagam accipiant, spiritus nimirum principio in id prius delabente. 15. Quin et tonitrua ac fulgura non sono findunt, sed quod una spiritus excernitur ictum sonumque efficiens: qui si percutit findit, non urit. 16. De tonitruo igitur, fulgure, procella, deinde de presteribus et typhonibus atque fulminibus, quod ad idem omnia redeant, quaeve omnium eorum sit inter se differentia, expositum est.

Cap. II. De corona autem et arcu quid utrumque sit et quam ob causam fiant et de parheliis ac virgis disseramus. Haec

γὰρ ταῦτα γίνεται πάντα διὰ τὰς αὐτὰς αἰτίας ἀλλήλοις· πρῶ-
τον δὲ δεῖ λαβεῖν τὰ πάθη καὶ τὰ συμβαίνοντα περὶ ἕκαστον
2 αὐτῶν. 2. Τῆς μὲν οὖν ἅλω φαίνεται πολλάκις κύκλος ὅλος,
καὶ γίνεται περὶ ἥλιον καὶ σελήνην καὶ περὶ τὰ λαμπρὰ τῶν
ἄστρων, ἔτι δ' οὐθὲν ἧττον νυκτὸς ἢ ἡμέρας καὶ περὶ μεσημ-
3 βρίαν ἢ δείλην· ἕωθεν δ' ἐλαττονάκις καὶ περὶ δύσιν. 3. Τῆς
δ' ἴριδος οὐδέποτε γίνεται κύκλος οὐδὲ μεῖζον ἡμικυκλίου τμῆμα·
καὶ δύνοντος μὲν καὶ ἀνατέλλοντος ἐλαχίστου μὲν κύκλου με-
γίστη δ' ἡ ἁψίς, αἰρομένου δὲ μᾶλλον κύκλου μὲν μείζονος
ἐλάττων δ' ἡ ἁψίς· καὶ μετὰ μὲν τὴν ὀπωρινὴν ἰσημερίαν, ἐν ταῖς
βραχυτέραις ἡμέραις, πᾶσαν ὥραν γίνεται τῆς ἡμέρας, ἐν δὲ
ταῖς θεριναῖς οὐ γίνεται περὶ μεσημβρίαν. οὐδὲ δυοῖν πλείους
4 ἴριδες γίνονται ἅμα. 4. Τούτων δὲ τρίχρως μὲν ἑκατέρα, καὶ
τὰ χρώματα ταὐτὰ καὶ ἴσα τὸν ἀριθμὸν ἔχουσιν ἀλλήλαις, ἀμυ-
δρότερα δ' ἐν τῇ ἐκτὸς καὶ ἐξ ἐναντίας κείμενα κατὰ τὴν θέσιν.
ἡ μὲν γὰρ ἐντὸς τὴν πρώτην ἔχει περιφέρειαν τὴν μεγίστην
φοινικίαν, ἡ δ' ἔξωθεν τὴν ἐλαχίστην μὲν ἐγγύτατα δὲ πρὸς
5 ταύτην, καὶ τὰς ἄλλας ἀνὰ λόγον. 5. Ἔστι δὲ τὰ χρώματα

enim omnia ab iisdem inter se causis oriuntur: primum vero affectiones et quae eorum unicuique accidunt, sumere oportet. 2. Coronae igitur integer saepe circulus apparet et circa solem et lunam astraque splendida oritur, ac nihil minus nocte, quam die, et horis antemeridianis quam pomeridianis, rarius tamen circa ortum et occasum. 3. Iridis autem nunquam exsistit circulus, nec maior sectio semicirculo et oriente atque occidente minimi quidem circuli maximus ambitus, magis autem sublato, circuli quidem maioris minor ambitus. Et post autumnale quidem aequinoctium diebus brevioribus omni diei hora exoritur, aestivis vero diebus circa meridiem non fit: neque plures duobus simul arcus spectantur. 4. Quorum quamvis uterque tricolor sit eodemque colorum genere, ac pari numero inter se congruant, obscuriores tamen sunt in exteriore atque ordine contrario positi. Interior enim primum ambitum, qui maximus est, puniceum habet: exterior vero minimum, qui illi proximus est, et reliquos deinde ratione

ταῦτα ἅπερ μόνα σχεδὸν οὐ δύνανται ποιεῖν οἱ γραφῆς· ἔνια γὰρ
αὐτοὶ κεραννύουσι, τὸ δὲ φοινικοῦν καὶ πράσινον καὶ ἁλουργὸν
οὐ γίνεται κεραννύμενον· ἡ δὲ ἶρις ταῦτ' ἔχει τὰ χρώματα. τὸ
δὲ μεταξὺ τοῦ φοινικοῦ καὶ πρασίνου φαίνεται πολλάκις ξανθόν.
6. Παρήλιοι δὲ καὶ ῥᾶβδοι γίνονται ἐκ πλαγίας ἀεὶ καὶ οὔτ' 6
ἄνωθεν οὔτε πρὸς τῇ γῇ οὔτ' ἐξ ἐναντίας, οὐδὲ δὴ νύκτωρ,
ἀλλ' ἀεὶ περὶ τὸν ἥλιον, ἔτι δ' ἢ αἰρομένου ἢ καταφερομένου·
τὰ πλεῖστα δὲ πρὸς δυσμάς· μεσουρανοῦντος δὲ σπάνιόν τι γέ-
γονεν, οἷον ἐν Βοσπόρῳ ποτὲ συνέπεσεν· δι' ὅλης γὰρ τῆς
ἡμέρας συνανασχόντες δύο παρήλιοι διετέλεσαν μέχρι δυσμῶν.
7. Τὰ μὲν οὖν περὶ ἕκαστον αὐτῶν συμβαίνοντα ταῦτ' ἐστίν, 7
τὸ δ' αἴτιον τούτων ἁπάντων ταὐτό· πάντα γὰρ ἀνάκλασις
ταῦτ' ἐστίν. διαφέρουσι δὲ τοῖς τρόποις καὶ ἀφ' ὧν καὶ ὡς συμ-
βαίνει τὴν ἀνάκλασιν γίνεσθαι πρὸς τὸν ἥλιον ἢ πρὸς ἄλλο τι
τῶν λαμπρῶν. 8. Καὶ μεθ' ἡμέραν μὲν ἶρις γίνεται, νύκτωρ 8
δ' ἀπὸ σελήνης, ὡς μὲν οἱ ἀρχαῖοι ᾤοντο, οὐκ ἐγίνετο· τοῦτο
δ' ἔπαθον διὰ τὸ σπάνιον· ἐλάνθανε γὰρ αὐτούς· γίνεται μὲν
γάρ, ὀλιγάκις δὲ γίνεται. 9. Τὸ δ' αἴτιον, ὅτι τ' ἐν τῷ 9

respondentes. 5. Atqui hi colores fere sunt, quos solos pictores exprimere non valent. Nonnullos enim ii solent temperare; puniceus autem, viridis et purpureus temperatione non fiunt; quibus ipsis coloribus arcus praeditus est. Qui medius inter puniceum et viridem est, is plerumque flavus apparet. 6 Parhelia autem et virgae ad latus semper gignuntur, non supra, nec terram versus, nec e regione, nec noctu quidem, sed semper circa solem. Praeterea aut ascendente, aut descendente, ad occasum frequenter, medium caeli tenente raro; quod tamen in Bosporo aliquando accidit. Duo enim parhelia coorta per totum diem usque ad occasum duraverunt. 7. Et haec quidem sunt, quae in eorum unoquoque eveniunt. Horum autem omnium eadem causa est: omnia enim reflexione fiunt. Differunt autem tum a quibus reflexio fiat ad solem aliave astra, tum ratione, qua fieri solet. 8. Atque interdiu quidem arcus oritur, noctu vero a luna veteres putabant non exstitisse: quae ex raritate opinio orta est: latuit enim eos.

σκότει λανθάνει τὰ χρώματα, καὶ ἄλλα πολλὰ δεῖ συμπεσεῖν,
καὶ ταῦτα πάντα ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνός· ἐν τῇ πανσελήνῳ γὰρ
γενέσθαι ἀνάγκη τὸ μέλλον ἔσεσθαι, καὶ τότε ἀνατελλούσης ἢ
δυνούσης. διόπερ ἐν ἔτεσιν ὑπὲρ τὰ πεντήκοντα δὶς ἐνετύχομεν
10 μόνον. 10. Ὅτι μὲν οὖν ἡ ὄψις ἀνακλᾶται, ὥσπερ καὶ ἀφ'
ὕδατος, οὕτω καὶ ἀπὸ ἀέρος καὶ πάντων τῶν ἐχόντων τὴν ἐπι-
φάνειαν λείαν, ἐκ τῶν περὶ τὴν ὄψιν δεικνυμένων δεῖ λαμβάνειν
τὴν πίστιν, καὶ διότι τῶν ἐνόπτρων ἐν ἐνίοις μὲν καὶ τὰ σχήματα
11 ἐμφαίνεται, ἐν ἐνίοις δὲ τὰ χρώματα μόνον. 11. Τοιαῦτα δ'
ἐστίν, ὅσα μικρὰ τῶν ἐνόπτρων καὶ μηδεμίαν αἰσθητὴν ἔχει
διαίρεσιν· ἐν γὰρ τούτοις τὸ μὲν σχῆμα ἀδύνατον ἐμφαίνεσθαι
(δόξει γὰρ εἶναι διαιρετόν· πᾶν γὰρ σχῆμα ἅμα δοκεῖ σχῆμά τε
εἶναι καὶ διαίρεσιν ἔχειν), ἐπεὶ δ' ἐμφαίνεσθαί τι ἀναγκαῖον,
12 τοῦτο δ' ἀδύνατον, λείπεται τὸ χρῶμα μόνον ἐμφαίνεσθαι. 12.
Τὸ δὲ χρῶμα ὁτὲ μὲν λαμπρὸν φαίνεται τῶν λαμπρῶν, ὁτὲ
δέ, ἢ τῷ μίγνυσθαι τῷ τοῦ ἐνόπτρου ἢ διὰ τὴν ἀσθένειαν
τῆς ὄψεως, ἄλλου χρώματος ἐμποιεῖ φαντασίαν. ἔστω δὲ περὶ

Fit namque, tametsi raro. 9. Cuius rei causa est, quod colores in tenebris latent, quodque alia multa concurrere oportet, eaque omnia una mensis die. Nam plenilunio fiat, si exsistere debet, necesse est, idque occidente aut oriente luna. Quare in annis plus quam quinquaginta bis tantum vidimus. 10. Porro, quae de visu demonstrantur, fidem faciunt, visum ut ab aqua, ita etiam ab aëre et ab omnibus iis, quae superficiem laevem habent, reflecti, atque idcirco etiam, quia nonnullis in speculis etiam figurae apparent, in nonnullis tantummodo colores. 11. Talia autem sunt, quaecunque parva nullam, quae possit animadverti, capiunt divisionem. In his enim fieri non potest, ut figura appareat (quandoquidem dividua esse videbitur: omnis namque figura tum figura esse tum omni ex parte dividi posse videtur), quoniam autem aliquid appareat necesse sit, figura vero nequeat, color solus restat. 12. Color autem splendidorum interdum quidem splendidus apparet, nonnunquam vero, aut quod speculi colori miscetur, aut ob visus imbecillitatem, diversi coloris

τούτων ἡμῖν τεθεωρημένον ἐν τοῖς περὶ τὰς αἰσθήσεις δεικνυμένοις· διὸ τὰ μὲν λέγωμεν, τοῖς δ' ὑπάρχουσι χρώμεθα αὐτῶν.

III. Πρῶτον δὲ περὶ τῆς ἅλω τοῦ σχήματος εἴπωμεν, 1
διότι τε κύκλος γίνεται, καὶ διότι περὶ τὸν ἥλιον ἢ τὴν σελήνην,
ὁμοίως δὲ καὶ περί τι τῶν ἄλλων ἄστρων· ὁ γὰρ αὐτὸς ἐπὶ πάν-
των ἁρμόσει λόγος. 2. Γίνεται μὲν οὖν ἡ ἀνάκλασις τῆς ὄψεως 2
συνισταμένου τοῦ ἀέρος καὶ τῆς ἀτμίδος εἰς νέφος, ἐὰν ὁμαλὴς
καὶ μικρομερὴς συνισταμένη τύχῃ. 3. Διὸ καὶ σημεῖον ἡ μὲν 3
σύστασις ὕδατός ἐστιν, αἱ μέντοι διασπάσεις ἢ μαράνσεις, αὗται
μὲν εὐδιῶν, αἱ δὲ διασπάσεις πνεύματος. ἐὰν μὲν γὰρ μήτε
καταμαρανθῇ μήτε διασπασθῇ, ἀλλ' ἐαθῇ τὴν φύσιν ἀπολαμ-
βάνειν τὴν αὑτῆς, ὕδατος εἰκότως σημεῖόν ἐστιν. 4. Δηλοῖ γὰρ 4
ἤδη γίνεσθαι τοιαύτην τὴν σύστασιν, ἐξ ἧς τὸ συνεχὲς λαμβα-
νούσης τῆς πυκνώσεως ἀναγκαῖον εἰς ὕδωρ ἐλθεῖν. διὸ καὶ μέ-
λαιναι γίνονται τὴν χρόαν μάλιστα τῶν ἄλλων. 5. Ὅταν δὲ 5
διασπασθῇ, πνεύματος σημεῖον· ἡ γὰρ διαίρεσις ὑπὸ πνεύματος
γέγονεν ἤδη μὲν ὄντος, οὔπω δὲ παρόντος. σημεῖον δὲ τούτου

speciem exhibet. Sed haec in iis, quae de sensu demonstrantur, contemplati sumus; ideoque nonnulla hic exponamus, nonnullis tamquam comprobatis utamur.

Cap. III. Primum vero de coronae figura dicamus, et cur orbis fiat, et quam ob rem circa solem aut lunam, eodemque modo et circa aliud quodcunque sidus. Eadem enim in omnibus congruit ratio. 2. Reflectitur igitur visus, aëre et vapore in nubem concreto, si tamen aequabilis et minutis partibus concreverit. 3. Ideo et concretio aquam praenuntiat, cum dissipatur quidem, aut emarcescit: marcor serenum, dissipatio vero ventum declarat. Quodsi enim neque emarcescit, neque dissipatur, sed illi suam naturam recipere permittitur, signum aquae merito est. 4. Talem enim fieri concretionem iam indicat, ex qua densatione continuo progrediente aqua denique fiat necesse sit. Quam etiam ob causam caeterarum maxime omnium nigro colore exsistunt. 5. Cum autem dissipata fuerit, venti est indicium: siquidem distractio a vento orta est, qui iam incepit quidem, nondum tamen adest. Cuius rei signum est,

διότι ἐντεῦθεν γίνεται ὁ ἄνεμος, ὅθεν ἂν ἡ κυρία γίνηται διά-
6 *σπασις.* 6. *Ἀπομαραινομένη δὲ εὐδίας· εἰ γὰρ μὴ ἔχει πως*
οὕτως ὁ ἀὴρ ὥστε κρατεῖν τοῦ ἐναπολαμβανομένου θερμοῦ μηδ᾽
ἔρχεσθαι εἰς πύκνωσιν ὑδατώδη, δῆλον ὡς οὔπω ἡ ἀτμὶς ἀπο-
κέκριται τῆς ἀναθυμιάσεως τῆς ξηρᾶς καὶ πυρώδους. τοῦτο δ᾽
εὐδίας αἴτιον. πῶς μὲν οὖν ἔχοντος τοῦ ἀέρος γίνεται ἡ ἀνά-
7 *κλασις, εἴρηται.* 7. *Ἀνακλᾶται δ᾽ ἀπὸ τῆς συνισταμένης*
ἀχλύος περὶ τὸν ἥλιον ἢ τὴν σελήνην ἡ ὄψις. διὸ οὐκ ἐξ ἐναν-
τίας ὥσπερ ἡ ἶρις φαίνεται. πάντοθεν δ᾽ ὁμοίως ἀνακλωμένης
ἀναγκαῖον κύκλον εἶναι ἢ κύκλου μέρος· ἀπὸ γὰρ τοῦ αὐτοῦ
σημείου πρὸς τὸ αὐτὸ σημεῖον αἱ ἴσαι κλασθήσονται ἐπὶ κύκλου
8 *γραμμῆς ἀεί.* 8. *Ἔστω γὰρ ἀπὸ τοῦ σημείου ἐφ᾽ ᾧ τὸ α πρὸς*
τὸ β κεκλασμένη ἥτε τὸ αγβ καὶ ἡ τὸ αζβ καὶ ἡ τὸ αδβ. ἴσαι
δ᾽ αὗταί τε αἱ αγ, αζ, αδ ἀλλήλαις, καὶ αἱ πρὸς τὸ β ἀλλήλαις,
οἷον αἱ γβ, ζβ, δβ· καὶ ἐπεζεύχθω ἡ αεβ, ὥστε τὰ τρίγωνα ἴσα·
καὶ γὰρ ἐπ᾽ ἴσης τῆς αεβ. ἤχθωσαν δὴ κάθετοι ἐπὶ τὴν αεβ
ἐκ τῶν γωνιῶν, ἀπὸ μὲν τῆς γ ἡ τὸ γε, ἀπὸ δὲ τῆς ζ ἡ τὸ ζε,

quod ab ea parte, unde praecipue dissipatio fit, ventus ortum habet. 6. Sed cum emarcescit, serenitatis indicium est: si enim aër non ita sese habet, ut interceptum calorem vincere valeat, nec in aqueam concretionem densari queat, perspicuum est, vaporem a sicca et ignea exhalatione nondum esse secretum, quod quidem serenitatis causa est. Quanam igitur ratione aëre affecto reflexio fiat, dictum est. 7. A caligine autem circa solem et lunam coacta visus repercutitur. Itaque non e regione, ut arcus, apparet. At cum omni ex parte aeque reflectatur, necesse est, circulum esse aut circuli partem. Ab eodem enim puncto ad idem punctum aequales lineae in orbis linea semper flectentur. 8. Sint enim a puncto *α* ad *β* inflexae lineae *αγβ*, *αζβ*, *αδβ*: sintque *αγ*, *αζ*, *αδ* inter se aequales, et quae etiam ad *β* sunt ductae, *γβ*, *ζβ*, *βδ*, aequales inter se, atque *αεβ* iungatur: profecto triangula aequalia erunt, utpote in aequali *αεβ*. Ex angulis vero ad lineam *αεβ* perpendiculares ducantur, ab angulo quidem *γ* linea *γε*, ab angulo *ζ* linea *ζε*, ab

ἀπὸ δὲ τῆς $\overline{\delta}$ ἡ τὸ $\overline{\delta\varepsilon}$. 9. *Ἴσαι δὴ αὗται· ἐν ἴσοις γὰρ τριγώ-* 9
νοις καὶ ἐν ἑνὶ ἐπιπέδῳ πᾶσαι· πρὸς ὀρθὰς γὰρ πᾶσαι τῇ $\overline{\alpha\varepsilon\beta}$,
καὶ ἐφ' ἓν σημεῖον τὸ $\overline{\varepsilon}$ συνάπτουσιν. κύκλος ἄρα ἔσται ἡ γρα-
φομένη, κέντρον δὲ τὸ $\overline{\varepsilon}$. ἔστω δὴ τὸ μὲν $\overline{\beta}$ ὁ ἥλιος, τὸ δὲ $\overline{\alpha}$ ἡ
ὄψις, ἡ δὲ περὶ τὸ $\overline{\gamma\zeta\delta}$ περιφέρεια τὸ νέφος, ἀφ' οὗ ἀνακλᾶται
ἡ ὄψις πρὸς τὸν ἥλιον. 10. *Δεῖ δὲ νοεῖν συνεχῆ τὰ ἔνοπτρα·* 10
ἀλλὰ διὰ μικρότητα ἕκαστον μὲν ἀόρατον, τὸ δ' ἐξ ἁπάντων
ἓν εἶναι δοκεῖ διὰ τὸ ἐφεξῆς. 11. *Φαίνεται δὲ τὸ μὲν λευκόν,* 11
ὁ ἥλιος, κύκλῳ συνεχῶς ἐν ἑκάστῳ φαινόμενος τῶν ἐνόπτρων,
καὶ μηδεμίαν ἔχων αἰσθητὴν διαίρεσιν. παρὰ δὲ τοῦτο μέλαινα
ἡ ἐχομένη περιφέρεια, διὰ τὴν ἐκείνης λευκότητα δοκοῦσα εἶναι
μελαντέρα, πρὸς δὲ τῇ γῇ μᾶλλον διὰ τὸ νηνεμώτερον εἶναι.
πνεύματος γὰρ ὄντος οὐκ εἶναι στάσιν φανερόν. 12. *Πλεονάκις* 12
δὲ γίνονται αἱ ἅλῳ περὶ τὴν σελήνην διὰ τὸ τὸν ἥλιον θερμότε-
ρον ὄντα θᾶττον διαλύειν τὰς συστάσεις τοῦ ἀέρος. περὶ δὲ τοὺς
ἀστέρας γίνονται μὲν διὰ τὰς αὐτὰς αἰτίας, οὐ σημειώδεις δ'

angulo vero $\overline{\delta}$ linea $\overline{\delta\varepsilon}$. 9. Aequales autem hae inter se sunt, quandoquidem in aequalibus triangulis habentur, omnesque in uno sint plano, siquidem omnes lineae $\overline{\alpha\varepsilon\beta}$ ad rectos angulos et uno in puncto se iungunt. Quae ergo describetur linea, circulus erit, cuius centrum est $\overline{\varepsilon}$. Sit vero $\overline{\beta}$ sol, $\overline{\alpha}$ oculus, ambitus circa $\overline{\gamma\zeta\delta}$ nubes, a qua visus ad solem reflectitur. 10. Specula autem continua animo concipiamus necesse est, sed quorum singula per sese ob parvitatem cerni nequeunt. Quod vero ex omnibus fit, unum esse videtur, propterea quod alia ab aliis deinceps excipiuntur. 11. Videtur autem id quidem quod album est, sol, in quovis speculorum in orbem continenter apparere nullamque sensibilem habere divisionem. Proximus huic ambitus niger est, qui etiam ob illius candorem nigrior videtur. Ac versus terram magis, quod a vento liberior est is locus, quippe cum flante vento consistere non posse, pateat. 12. Coronae autem circa lunam saepius fiunt propterea, quod sol, calidior cum sit, aëris concretiones dissolvit. Circa astra vero iisdem quidem de causis fiunt: non aeque

ὁμοίως, ὅτι μικρὰς πάμπαν ἐπιδηλοῦσι τὰς συστάσεις καὶ οὔπω
γονίμους.

1 IV. Ἡ δ' ἶρις ὅτι μέν ἐστιν ἀνάκλασις, εἴρηται πρότε-
ρον· ποία δέ τις ἀνάκλασις, καὶ πῶς καὶ διὰ τίν' αἰτίαν ἕκαστα
2 γίνεται τῶν συμβαινόντων περὶ ταύτην, λέγωμεν νῦν. 2. Ἀνα-
κλωμένη μὲν οὖν ἡ ὄψις ἀπὸ πάντων φαίνεται τῶν λείων,
τούτων δ' ἐστὶ καὶ ἀὴρ καὶ ὕδωρ. γίνεται δ' ἀπὸ μὲν ἀέρος,
ὅταν τύχῃ συνιστάμενος. διὰ δὲ τὴν τῆς ὄψεως ἀσθένειαν πολ-
λάκις καὶ ἄνευ συστάσεως ποιεῖ ἀνάκλασιν, οἷόν ποτε συνέ-
3 βαινέ τινι πάθος ἠρέμα καὶ οὐκ ὀξὺ βλέποντι. 3. Ἀεὶ γὰρ
εἴδωλον ἐδόκει προηγεῖσθαι βαδίζοντι αὐτῷ, ἐξ ἐναντίας βλέπον
πρὸς αὐτόν. τοῦτο δ' ἔπασχε διὰ τὸ τὴν ὄψιν ἀνακλᾶσθαι πρὸς
αὑτόν. οὕτω γὰρ ἀσθενὴς ἦν καὶ λεπτὴ πάμπαν ὑπὸ τῆς ἀρ-
ρωστίας, ὥστ' ἔνοπτρον ἐγίνετο καὶ ὁ πλησίον ἀήρ, καὶ οὐκ
4 ἠδύνατο ἀπωθεῖν ὡς ὁ πόῤῥω καὶ πυκνός. 4. Διόπερ αἵ τ'
ἄκραι ἀνεσπασμέναι φαίνονται ἐν τῇ θαλάττῃ, καὶ μείζω τὰ
μεγέθη πάντων, ὅταν εὖροι πνέωσι, καὶ τὰ ἐν τοῖς ἀχλύσιν,

tamen significant, quoniam concretiones omnino exiguas ac nondum facundas indicent.

Cap. IV. Arcum autem reflexionem quidem esse, antea dictum est. Qualis vero reflexio, et quemadmodum quamve ob causam unumquodque illi accidat, nunc dicamus. 2. Visus igitur ab omnibus laevibus videtur reflecti, quorum in numero aër est et aqua. Et ab aëre quidem reflectitur, quando concrescere eum contingit. Sed tamen ob visus imbecillitatem etiam absque concretione eum reflectit, qualis nonnunquam affectio cuidam accidit, qui remisse, non acriter cernebat. 3. Ipsius enim imago e regione adspiciens, ambulanti ei praeire semper videbatur: quod ei accidebat propterea, quod visus ad ipsum reflectebatur. Nam prae aegritudine adeo imbecillus omnino erat, ut propior aër, perinde ac qui procul densusque erat, speculum fieret, nec eius modi aërem posset repellere. 4. Quocirca et promontoria in mari revulsa et apparent maiora omnia euro spirante. Ea item, quae per caliginem cernuntur, ut sol et astra, cum oriuntur et occidunt

οἷον καὶ ἥλιος καὶ ἄστρα ἀνίσχοντα καὶ δύνοντα μᾶλλον ἢ
μεσουρανοῦντα. 5. Ἀπὸ δ' ὕδατος μάλιστα ἀνακλᾶται καὶ 5
ἀπὸ ἀρχομένου γίνεσθαι μᾶλλον ἔτι ἢ ἀπ' ἀέρος. ἕκαστον γὰρ
τῶν μορίων, ἐξ ὧν γίνεται συνισταμένων ἡ ψακάς, ἔνοπτρον
ἀναγκαῖον εἶναι μᾶλλον τῆς ἀχλύος. 6. Ἐπεὶ δὲ καὶ δῆλον 6
καὶ εἴρηται πρότερον, ὅτι ἐν τοῖς τοιούτοις ἐνόπτροις τὸ χρῶμα
μόνον ἐμφαίνεται, τὸ δὲ σχῆμα ἄδηλον, ἀναγκαῖον, ὅταν ἄρ-
χηται ὕειν καὶ ἤδη μὲν συνιστῆται εἰς ψακάδας ὁ ἐν τοῖς νέ-
φεσιν ἀήρ, μήπω δ' ὕῃ, ἐὰν ἐξ ἐναντίας ᾖ ὁ ἥλιος ἢ ἄλλο
τι οὕτω λαμπρόν, ὥστε γίνεσθαι ἔνοπτρον τὸ νέφος, καὶ
τὴν ἀνάκλασιν γίνεσθαι πρὸς τὸ λαμπρὸν ἐξ ἐναντίας, γίνε-
σθαί τε ἔμφασιν χρώματος, οὐ σχήματος. 7. Ἑκάστου δ' 7
ὄντος τῶν ἐνόπτρων μικροῦ καὶ ἀοράτου, τῆς δ' ἐξ ἁπάντων
αὐτῶν συνεχείας τοῦ μεγέθους ὁρωμένης, ἀνάγκη συνεχὲς
μέγεθος τοῦ αὐτοῦ φαίνεσθαι χρώματος. 8. Ἕκαστον γὰρ 8
τῶν ἐνόπτρων τὸ αὐτὸ ἀποδίδωσι χρῶμα τῷ συνεχεῖ. ὥστ'
ἐπεὶ ταῦτ' ἐνδέχεται συμβαίνειν, ὅταν τοῦτον ἔχῃ τὸν τρόπον
ὅ τε ἥλιος καὶ το νέφος καὶ ἡμεῖς ὦμεν μεταξὺ αὐτῶν, ἔσται

magis, quam caeli medium tenentia. 5. Ab aqua autem maxime reflectitur, et ab ea etiam magis, quae fieri incipit, quam ab aëre. Una enim quaeque earum partium, ex quibus concretis gutta oritur, magis, quam nebula, speculum sit necesse est. 6. Quoniam autem perspicuum, anteaque iam dictum est, in eius modi speculis colorem solum apparere, figuram vero non apparere, necesse est, cum pluere incipit, iamque aër, qui nubibus inest, in guttas concrescit, nondum tamen pluit, si sol aut aliud quid splendidum e regione fuerit, ita ut nubes speculum evadat, ac reflexio ad id splendidum, quod e regione est, fiat, colorem non figuram apparere. 7. Cum autem quodvis eorum speculorum exiguum sit visumque effugiat, magnitudinis vero, quae ex omnibus illis constat, continuatio videatur, continuata magnitudo eiusdem coloris appareat necesse est. 8. Unumquodque enim speculum ei, quod cohaeret, suum ipsius colorem impertitur. Quoniam igitur haec possunt evenire, quando sol et nubes hoc modo se habent, nosque inter

9 *διὰ τὴν ἀνάκλασιν ἔμφασίς τις.* 9. *Ἀλλὰ μὴν καὶ φαίνεται
τότε καὶ οὐκ ἄλλως ἐχόντων γινομένη ἡ ἶρις. ὅτι μὲν οὖν ἀνά-
κλασις ἡ ἶρις τῆς ὄψεως πρὸς τὸν ἥλιόν ἐστι, φανερόν· διὸ
καὶ ἐξ ἐναντίας ἀεὶ γίνεται, ἡ δ' ἅλως περὶ αὐτόν· καίτοι
ἄμφω ἀνακλάσεις, ἀλλ' ἥ γε τῶν χρωμάτων ποικιλία διαφέ-
10ρει.* 10. *Ἡ μὲν γὰρ ἀφ' ὕδατος καὶ μέλανος γίνεται ἀνάκλασις
καὶ πόρρωθεν, ἡ δ' ἐγγύθεν καὶ ἀπ' ἀέρος λευκοτέρου τὴν
φύσιν. φαίνεται δὲ τὸ λαμπρὸν διὰ τοῦ μέλανος ἢ ἐν τῷ
11μέλανι (διαφέρει γὰρ οὐθὲν) φοινικοῦν.* 11. *Ὁρᾶν δ' ἔξεστι
τό γε τῶν χλωρῶν ξύλων πῦρ, ὡς ἐρυθρὰν ἔχει τὴν φλόγα
διὰ τὸ τῷ καπνῷ πολλῷ μεμῖχθαι τὸ πῦρ λαμπρὸν ὂν καὶ
λευκόν· καὶ δι' ἀχλύος καὶ καπνοῦ ὁ ἥλιος φαίνεται φοινι-
12κοῦς.* 12. *Διὸ ἡ μὲν τῆς ἴριδος ἀνάκλασις, ἡ μὲν πρώτη τοι-
αύτην ἔχειν φαίνεται τὴν χρόαν (ἀπὸ ῥανίδων γὰρ μικρῶν
γίνεται ἡ ἀνάκλασις), ἡ δὲ τῆς ἅλω οὔ. περὶ δὲ τῶν ἄλλων
13χρωμάτων ὕστερον ἐροῦμεν.* 13. *Ἔτι δὲ περὶ αὐτὸν μὲν τὸν
ἥλιον οὐ γίνεται διατριβὴ τοιαύτης συστάσεως, ἀλλ' ἢ ὕει ἢ*

utrumque positi sumus, ob reflexionem aliquid apparebit. 9. Atqui et tum et non aliter his habentibus arcus apparet. Perspicuum igitur est, arcum visus reflexionem solem versus esse. Quocirca et sole adverso semper oritur: corona autem circa ipsum, et quamvis uterque reflexione fiat, arcus tamen colorum varietate differt. 10. Haec enim reflexio ab aqua ac nigro et e longinquo efficitur: illa vero e propinquo et ab aëre, qui naturae est candidioris. Id vero, quod splendidum est, in nigro aut per nigrum (nihil enim interest discriminis) puniceum apparet. 11. Quod in igne ex lignis viridibus accenso videre licet, quemadmodum rubram flammam habet propterea, quod ignis, qui splendidus est et candidus, multo fumo admixtus est. Quin etiam sol per caliginem et fumum visus puniceus apparet. 12. Quapropter iridis reflexio prima talem habere videtur colorem, utpote ab exiguis guttulis facta reflexione: coronae autem reflexio minime. De reliquis vero coloribus postea dicemus. 13. Praeterea circa ipsum solem nulla eius modi concretionis fit mora, sed aut pluit, aut dissolvitur. Dum autem est in contrariis aqua gignitur,

*διαλύεται. ἐκ δὲ τῶν ἐναντίων ἐν τῷ μεταξὺ τῆς τοῦ ὕδατος
γενέσεως γίνεταί τις χρόνος· τούτου γὰρ μὴ συμβαίνοντος
ἦσαν ἂν κεχρωματισμέναι αἱ ἅλῳ ὥσπερ ἡ ἶρις. 14. Νῦν δ'* 14
*ὅλα μὲν οὐ γίνεται τοιαύτην ἔχοντα τὴν ἔμφασιν, οὐδὲ κύκλῳ,
μικρὰ δὲ καὶ κατὰ μόριον, αἳ καλοῦνται ῥάβδοι, ἐπεὶ εἰ
συνίστατο τοιαύτη ἀχλὺς οἵα γένοιτ' ἂν ὕδατος ἤ τινος ἄλλου
μέλανος, καθάπερ ἐλέγομεν, ἐφαίνετο ἂν ἡ ἶρις ὅλη, ὥσπερ ἡ
περὶ τοὺς λύχνους. 15. Περὶ γὰρ τούτους τὰ πλεῖστα νοτίων* 15
*ὄντων ἶρις γίνεται τοῦ χειμῶνος, μάλιστα δὲ δήλη γίνεται τοῖς
ὑγροὺς ἔχουσι τοὺς ὀφθαλμούς· τούτων γὰρ ἡ ὄψις ταχὺ δι'
ἀσθένειαν ἀνακλᾶται. 16. Γίνεται δ' ἀπό τε τῆς τοῦ ἀέρος* 16
*ὑγρότητος καὶ ἀπὸ λιγνύος τῆς ἀπὸ τῆς φλογὸς ἀπορρεούσης
καὶ μιγνυμένης, τότε γὰρ γίνεται ἔνοπτρον καὶ διὰ τὴν μελανίαν·
καπνώδης γὰρ ἡ λιγνύς· τὸ δὲ τοῦ λύχνου φῶς οὐ λευκὸν
ἀλλὰ πορφυροῦν φαίνεται κύκλῳ καὶ ἰριῶδες, φοινικοῦν δ' οὔ·
ἔστι γὰρ ἥ τε ὄψις ὀλίγη ἡ ἀνακλωμένη, καὶ μέλαν τὸ ἔνο-
πτρον. 17. Ἡ δ' ἀπὸ τῶν κωπῶν τῶν ἀναφερομένων ἐκ* 17
τῆς θαλάττης ἶρις τῇ μὲν θέσει τὸν αὐτὸν γίνεται τρόπον τῇ

aliquod temporis spatium intercedit. Quod nisi accideret, coronae, quemadmodum et arcus, colore tinctae apparerent. 14. Nunc autem integra quidem nulla, neque in orbem eo modo apparent, sed exigua quaedam et per partes, quae virgae nominantur. Nam si eius modi nebula, qualis aquae aut alterius cuiuspiam nigri ut diximus, esse solet, cogeretur, iris profecto integra appareret, qualis circa lucernas fieri solet. 15 Circa enim illas hieme, spirantibus austris, ut plurimum iris efficitur, quae iis potissimum apparet, qui humidioribus sunt oculis, quorum videlicet adspectus ob imbecillitatem celeriter reflectitur. 16. Oritur autem et ab aëris humiditate, et a fuligine, quae a flamma defluit eique admiscetur. Tum enim speculum fit idque ob nigrorem: siquidem fumida fuligo est. Ac lucernae lumen non album, sed purpureum circumcirca, iridi simile: nec puniceum apparet. Nam et visus, qui reflectitur, exiguus est, et speculum nigrum. 17. Quae autem a remis, quando e mari extolluntur, iris exsistit, quod ad situm quidem

*ἐν τῷ οὐρανῷ, τὸ δὲ χρῶμα ὁμοιοτέρα τῇ περὶ τοὺς λύχνους·
οὐ γὰρ φοινικῆν ἀλλὰ πορφυρᾶν ἔχουσα φαίνεται τὴν χρό-
18αν. 18. Ἡ δ' ἀνάκλασις ἀπὸ τῶν μικροτάτων μὲν συνεχῶν δὲ
γίνεται ῥανίδων. αὗται δ' ὕδωρ ἀποκεκριμένον εἰσὶν ἤδη παντελῶς.
γίνεται δὲ κἂν τις λεπταῖς ῥανίσιν ῥαίνῃ εἴς τι τοιοῦτον χω-
ρίον, ὃ τὴν θέσιν πρὸς τὸν ἥλιον ἐστραμμένον ἐστί, καὶ τῇ
19μὲν ὁ ἥλιος ἀνέχει, τῇ δὲ σκιάζει. 19. Ἐν τῷ τοιούτῳ γάρ,
ἐὰν εἴσω τις ῥαίνῃ, τῷ ἑστῶτι ἐκτός, ᾗ ἐπαλλάττουσιν αἱ
ἀκτῖνες καὶ ποιοῦσι τὴν σκιάν, φαίνεται ἶρις. ὁ δὲ τρόπος καὶ
ἡ χρόα ὁμοία καὶ τὸ αἴτιον τὸ αὐτὸ τῇ ἀπὸ τῶν κωπῶν, τῇ
20γὰρ χειρὶ κώπῃ χρῆται ὁ ῥαίνων. 20. Ὅτι δὲ τὸ χρῶμα
τοιοῦτον, ἅμα δῆλον ἔσται καὶ περὶ τῶν ἄλλων χρωμάτων
τῆς φαντασίας, ἐκ τῶνδε. δεῖ γὰρ νοήσαντας, ὥσπερ εἴρηται,
καὶ ὑποθεμένους πρῶτον μὲν ὅτι τὸ λαμπρὸν ἐν τῷ μέλανι ἢ
διὰ τοῦ μέλανος χρῶμα ποιεῖ φοινικοῦν, δεύτερον δ' ὅτι ἡ
ὄψις ἀποτεινομένη ἀσθενεστέρα γίνεται καὶ ἐλάττων, τρίτον δ'
ὅτι τὸ μέλαν οἷον ἀπόφασίς ἐστιν· τῷ γὰρ ἐκλιπεῖν τὴν ὄψιν
φαίνεται μέλαν, διὸ τὸ πόρρω πάντα μελάντερα φαίνεται, διὰ*

attinet, eadem ratione, qua caelestis efficitur. Sed colore illi magis similis est, quae circa lucernas apparet. Non enim puniceum colorem, sed purpureum praebet. 18. Reflexio vero in minutioribus quidem, sed continuis fit guttis, quae sane aqua sunt iam prorsus secreta. Apparet vero etiam, si quis tenuibus adspersionibus locum ita soli obversum conspergat, ut hac parte illum sol illuminet, illa umbram faciat. 19. In eius modi enim loco si quis intus adspergat, ei qui extra est, qua parte radii commutantur et umbram faciunt, iris apparet. Modus autem et locus similes sunt, causaque eadem, quae eius quam remi efficiunt: siquidem qui adspergit vice remi manu utitur. 20. Colorem autem talem esse, aliique etiam colores quales appareant, ex his simul erit perspicuum. Oportet enim, quemadmodum dictum est, animo concepisse atque posuisse primum quidem, id quod splendidum est in nigro, aut per nigrum, colore puniceo apparere. Dein visum longius extentum languescere et imminui, tertio nigrorem, quasi privationem esse:

τὸ μὴ διικνεῖσθαι τὴν ὄψιν. 21. Θεωρείσθω μὲν οὖν ταῦτα ἐκ 21
τῶν περὶ τὰς αἰσθήσεις συμβαινόντων· ἐκείνων γὰρ ἴδιοι οἱ
περὶ τούτων λόγοι· νῦν δ' ὅσον ἀνάγκη, τοσοῦτον περὶ αὐτῶν
λέγωμεν. φαίνεται δ' οὖν διὰ ταύτην τὴν αἰτίαν τά τε πόρρω
μελάντερα καὶ ἐλάττω καὶ λειότερα, καὶ τὰ ἐν τοῖς ἐνόπτροις,
καὶ τὰ νέφη μελάντερα βλέπουσιν εἰς τὸ ὕδωρ ἢ εἰς αὐτὰ τὰ
νέφη. 22. Καὶ τοῦτο πάνυ ἐπιδήλως· διὰ γὰρ τὴν ἀνάκλασιν 22
ὀλίγῃ τῇ ὄψει θεωροῦνται. διαφέρει δ' οὐθὲν τὸ ὁρώμενον
μεταβάλλειν ἢ τὴν ὄψιν· ἀμφοτέρως γὰρ ἔσται ταὐτό. 23. Πρὸς 23
δὲ τούτοις δεῖ μὴ λεληθέναι καὶ τόδε· συμβαίνει γὰρ ὅταν
ᾖ τοῦ ἡλίου νέφος πλησίον, εἰς μὲν αὐτὸ βλέποντι μηδὲν φαί-
νεσθαι κεχρωματισμένον ἀλλ' εἶναι λευκόν, ἐν δὲ τῷ ὕδατι
ταὐτὸ τοῦτο θεωροῦντι χρῶμά τι ἔχειν τῆς ἴριδος. δῆλον τοί-
νυν, ὅτι ἡ ὄψις ὥσπερ καὶ τὸ μέλαν κλωμένη δι' ἀσθένειαν
μελάντερον ποιεῖ φαίνεσθαι, καὶ τὸ λευκὸν ἧττον λευκόν, καὶ
προσάγει πρὸς τὸ μέλαν. 24. Ἡ μὲν οὖν ἰσχυροτέρα ὄψις 24

ob visus enim defectum nigra res apparet. Ideo longinqua nigriora omnia videntur, quod visus ad ea non perducitur. 21. Et haec quidem ex iis, quae sensibus accidunt, consideranda sunt, quum ea, quae de his dicuntur, illorum propria sint. Nunc vero, quoad necessarium videbitur, de iis dicamus. Hac igitur de causa et quae remota sunt et quae in speculis apparent, atriora et minora et laeviora apparent: et in aquam inspicientibus nubes atriores videntur, quam si quis in ipsas inspiciat. 22. Idque admodum insigniter: nam ex repercussu visu exiguo spectantur. Nihil vero interest utrum id, quod cernitur, an visus mutetur: utroque enim modo idem futurum est. 23. Praeterea ne illud quidem ignorare debemus, nubem, quum soli propior fuerit, inspicienti nullo colore affectam videri, sed candidam: in aqua vero eam ipsam intuenti aliquem arcus colorem habere. Perspicuum igitur est, visum fractum, quemadmodum efficit, ut id quod atrum est propter imbecillitatem atrius etiam appareat: ita quoque quod candidum est, minus candidum efficere atque ad nigrum adducere. 24. Validior igitur visus puniceum in co-

*εἰς φοινικοῦν χρῶμα μετέβαλεν, ἡ δ' ἐχομένη εἰς τὸ πράσινον,
ἡ δ' ἔτι ἀσθενεστέρα εἰς τὸ ἁλουργόν. ἐπὶ δὲ τὸ πλεῖον οὐκ-
έτι φαίνεται, ἀλλ' ἐν τοῖς τρισίν, ὥσπερ καὶ τῶν ἄλλων τὰ
πλεῖστα, καὶ τούτων ἔσχε τέλος. τῶν δ' ἄλλων ἀναίσθητος ἡ
μεταβολή· διὸ καὶ ἡ ἶρις τρίχρως φαίνεται ἑκατέρα μέν,
25 ἐναντίως δέ. 25. Ἡ μὲν οὖν πρώτη τὴν ἔξω φοινικῆν ἔχει·
ἀπὸ μεγίστης γὰρ περιφερείας πλείστη προσπίπτει ἡ ὄψις
πρὸς τὸν ἥλιον, μεγίστη δ' ἡ ἔξω· ἡ δ' ἐχομένη καὶ ἡ τρίτη
ἀνὰ λόγον. ὥστ' εἰ τὰ περὶ τῶν χρωμάτων τῆς φαντασίας
εἴρηται καλῶς, ἀνάγκη τρίχρων τε εἶναι αὐτὴν καὶ τούτοις
26 τοῖς χρώμασι κεχρῶσθαι μόνοις. 26. Τὸ δὲ ξανθὸν φαίνεται
διὰ τὸ παρ' ἄλληλα φαίνεσθαι. τὸ γὰρ φοινικοῦν παρὰ τὸ
πράσινον λευκὸν φαίνεται. σημεῖον δὲ τούτου· ἐν γὰρ τῷ
μελαντάτῳ νέφει μάλιστα ἄκρατος γίνεται ἡ ἶρις· συμβαίνει
δὲ τότε ξανθότατον εἶναι δοκεῖν τὸ φοινικοῦν. ἔστι δὲ τὸ
ξανθὸν ἐν τῇ ἴριδι χρῶμα μεταξὺ τοῦ τε φοινικοῦ καὶ πρα-
σίνου χρώματος· διὰ τὴν μελανίαν οὖν τοῦ κύκλῳ νέφους
ὅλον αὐτοῦ φαίνεται τὸ φοινικοῦν λευκόν· ἔστι γὰρ πρὸς*

lorem transit, proximus in viridem, is qui adhuc imbecillior est, in purpureum. Ultra hos autem nullus praeterea color apparet: sed ut maxima rerum aliarum pars, ita hi ternario numero terminantur. Caeterorum vero mutatio sub sensum non cadit. Quocirca et arcus tricolor apparet uterque, sed situ contrario. 25. Ac primus quidem exteriorem ambitum puniceum habet, quod e maximo ambitu (maximus autem exterior est) visus in solem plurimum incidit: is autem, qui sequitur, et tertius proportione respondent. Quare si ea, quae de apparentibus coloribus diximus, probe dicta sunt, et tricolor et his solis coloribus arcus fiat necesse est. 26. Flavus autem ideo apparet, quod iuxta se positi colores apparent. Puniceus enim color iuxta viridem albus videtur. Id vero huius rei indicium est, quod maxime purus sincerusque arcus in nube nigerrima efficitur. Tum enim contingit colorem puniceum magis flavum videri. Flavus autem qui in arcu apparet color, medius est inter puniceum et viridem: ob nubis

ἐκεῖνα λευκόν. 27. *Καὶ πάλιν ἀπομαραινομένης τῆς ἴριδος* 27
ἐγγυτάτω, ὅταν λύηται τὸ φοινικοῦν· ἡ γὰρ νεφέλη λευκὴ
οὖσα προσπίπτουσα παρὰ τὸ πράσινον μεταβάλλει εἰς τὸ
ξανθόν. 28. *Μέγιστον δὲ σημεῖον τούτων ἡ ἀπὸ τῆς σελή-* 28
νης ἶρις· φαίνεται γὰρ λευκὴ πάμπαν. γίνεται δὲ τοῦτο, ὅτι
ἔν τε τῷ νέφει ζοφερῷ ὄντι φαίνεται καὶ ἐν νυκτί. ὥσπερ οὖν
πῦρ ἐπὶ πῦρ, μέλαν παρὰ μέλαν ποιεῖ τὸ ἠρέμα λευκὸν παν-
τελῶς φαίνεσθαι λευκόν· τοῦτο δ' ἐστὶ τὸ φοινικοῦν. 29. *Γί-* 29
νεται δὲ τοῦτο καταφανὲς καὶ ἐπὶ τῶν ἀνθῶν· ἐν γὰρ τοῖς
ὑφάσμασι καὶ ποικίλμασιν ἀμύθητον διαφέρει τῇ φαντασίᾳ ἄλλα
παρ' ἄλλα τιθέμενα ἔνια τῶν χρωμάτων, οἷον καὶ τὰ πορ-
φυρᾶ ἐν λευκοῖς ἢ μέλασιν ἐρίοις, ἔτι δ' ἐν αὐγῇ τοιᾳδὶ ἢ
τοιᾳδί· διὸ καὶ οἱ ποικιλταί φασι διαμαρτάνειν ἐργαζόμενοι
πρὸς τὸν λύχνον πολλάκις τῶν ἀνθῶν, λαμβάνοντες ἕτερα ἀνθ'
ἑτέρων. 30. *Διότι μὲν οὖν τρίχρως τε, καὶ ὅτι ἐκ τούτων* 30
φαίνεται τῶν χρωμάτων μόνων ἡ ἶρις, εἴρηται. διπλῆ δὲ καὶ
ἀμαυροτέρα τοῖς χρώμασιν ἡ περιέχουσα, καὶ τῇ θέσει τὰς

igitur circumstantis nigrorem, quicquid in illo puniceum est, album apparet, quandoquidem puniceus, si cum illis comparatur, albus est. 27. Ac rursus evanescente prope terram arcu, cum puniceus dissolvitur. Nebula enim alba in id quod viride est incidens, in flavum mutatur. 28. Maximum vero horum indicium arcus est, qui a luna exoritur, qui prorsus albus apparet: quod evenit, quia tum in atra nube tum noctu apparet. Ergo, ut ignis igni additus, sic quod nigrum est iuxta nigrum positum efficit, ut quod remisse album est, qualis est color puniceus, prorsus album appareat. 29. Quin et in floribus affectio haec perspicue cernitur. Nam in texturis et variorum colorum operibus, alii iuxta alios positi colores, magis quam dici potest, alii atque alii apparent, veluti et purpurae in albis nigrisque lanis: praeterea et in tali aut tali splendore. Quocirca et qui variis filorum coloribus intexunt flores, in aliis ad lucernam conficiendis sese frequenter hallucinari aiunt, per imprudentiam alios pro aliis sumendo. 30. Cur igitur tricolor arcus sit hisque duntaxat coloribus constet, dictum

31 χρόας ἐξ ἐναντίας ἔχει κειμένας διὰ τὴν αὐτὴν αἰτίαν. 31. Μα-
κροτέραν γὰρ ἀποτεινομένη ἡ ὄψις ὥσπερ τὸ πορρώτερον ὁρᾷ,
καὶ τὸ ἐνταῦθα τὸν αὐτὸν τρόπον. ἀσθενεστέρα οὖν ἀπὸ τῆς
ἔξωθεν ἡ ἀνάκλασις γίνεται διὰ τὸ πορρώτερον ποιεῖσθαι τὴν
ἀνάκλασιν, ὥστ' ἐλάττων προσπίπτουσα τὰ χρώματα ποιεῖ
32 ἀμαυρότερα φαίνεσθαι. 32. Καὶ ἀντεστραμμένως δὴ διὰ τὸ
πλεῖον ἀπὸ τῆς ἐλάττονος καὶ τῆς ἐντὸς περιφερείας προσπί-
πτειν πρὸς τὸν ἥλιον· ἐγγυτέρω γὰρ τῆς ὄψεως οὖσα ἀνα-
κλᾶται ἀπὸ τῆς ἐγγυτάτω περιφερείας τῆς πρώτης ἴριδος.
ἐγγυτάτῳ δ' ἐν τῇ ἔξωθεν ἴριδι ἡ ἐλαχίστη περιφέρεια, ὥστε
αὕτη ἕξει τὸ χρῶμα φοινικοῦν· ἡ δ' ἐχομένη καὶ ἡ τρίτη
33 κατὰ λόγον. 33. Ἡ ἔξω ἶρις ἐφ' ᾧ τὸ β̄, ἡ ἔσω ἐφ' ᾧ τὸ
ᾱ· τὰ χρώματα δ', ἐφ' ᾧ τὸ γ̄ φοινικοῦν, ἐφ' ᾧ τὸ δ̄
πράσινον, ἐφ' ᾧ τὸ ε̄ ἁλουργόν· τὸ ξανθὸν δὲ φαίνεται ἐφ' ᾧ
τὸ ζ̄. τρεῖς δ' οὐκέτι γίνονται, οὐδὲ πλείους ἴριδες διὰ τὸ
καὶ τὴν δευτέραν γίνεσθαι ἀμαυροτέραν, ὥστε καὶ τὴν τρίτην
ἀνάκλασιν πάμπαν ἀσθενῆ γίνεσθαι καὶ ἀδυνατεῖν ἀφικνεῖσθαι
πρὸς τὸν ἥλιον.

est. Duplex autem apparet, et is qui complectitur, coloribus languidioribus est, et contrario modo dispositis eandem ob causam. 31. Visus enim longius productus, ut quod remotius est, ita quod propius, cernit. A superiore igitur arcu imbecillior reflexio exsistit, quia remotiore ex loco fit. Quare cum minor incidat, efficit, ut colores languidiores appareant. 32. Atque illi quidem ordine contrario propterea, quod a minore et interiore ambitu ad solem copiosior incidit. Quae enim visui propinquior est reflexio, ea ab ambitu, qui primo arcui maxime propinquus est, efficitur: qui vero in exteriore arcu ambitus minimus est, is proximus est. Colore igitur puniceo ille apparebit: qui deinde sequitur ac tertius sua ratione. 33. Exterior arcus sit β̄: interior, qui primus est ᾱ: color puniceus γ̄, viridis δ̄, purpureus ε̄: qui apparet flavus ζ̄. Tres autem arcus aut plures non fiunt, quoniam et secundus languidior exsistit, ita ut tertia reflexio omnino imbecilla redderetur, nec ad solem posset perduci.

V. Ὅτι δ᾽ οὔτε κύκλον οἷόν τε γίνεσθαι τῆς ἴριδος οὔτε 1
μεῖζον ἡμικυκλίου τμῆμα καὶ περὶ τῶν ἄλλων τῶν συμβαινόν-
των περὶ αὐτήν, ἐκ τοῦ διαγράμματος ἔσται θεωροῦσι δῆλον.
2. Ἡμισφαιρίου γὰρ ὄντος ἐπὶ τοῦ ὁρίζοντος κύκλου τοῦ ἐφ᾽ 2
ᾧ τὸ α, κέντρου δὲ τοῦ κ, ἄλλου δέ τινος ἀνατέλλοντος ση-
μείου ἐφ᾽ ᾧ τὸ η, ἂν αἱ ἀπὸ τοῦ κ γραμμαὶ κατὰ κῶνον
ἐκπίπτουσαι ποιῶσιν ὥσπερ ἄξονα τὴν ἐφ᾽ ᾗ ἡ ηκ, καὶ ἀπὸ
τοῦ κ ἐπὶ τὸ μ ἐπιζευχθεῖσαι ἀνακλασθῶσιν ἀπὸ τοῦ ἡμι-
σφαιρίου ἐπὶ τὸ η, ἐπὶ τὴν μείζω γωνίαν, πρὸς κύκλου περι-
φέρειαν προσπεσοῦνται αἱ ἀπὸ τοῦ κ. 3. Καὶ ἂν μὲν ἐπ᾽ 3
ἀνατολῆς ἢ ἐπὶ δύσεως τοῦ ἄστρου ἡ ἀνάκλασις γένηται, ἡμι-
κύκλιον ἀποληφθήσεται τοῦ κύκλου ὑπὸ τοῦ ὁρίζοντος τὸ ὑπὲρ
γῆν γινόμενον, ἂν δ᾽ ἐπάνω, ἔλαττον ἀεὶ ἡμικυκλίου. ἐλάχι-
στον δ᾽, ὅταν ἐπὶ τοῦ μεσημβρινοῦ γένηται τὸ ἄστρον. 4. Ἔστω 4
γὰρ ἐπ᾽ ἀνατολῆς πρῶτον, οὗ τὸ η, καὶ ἀνακεκλάσθω ἡ κμ
ἐπὶ τὸ η, καὶ τὸ ἐπίπεδον ἐκβεβλήσθω ἐν ᾧ τὸ α, τὸ ἀπὸ τοῦ
τριγώνου ἐν ᾧ τὸ ηκμ. κύκλος οὖν ἡ τομὴ ἔσται τῆς σφαίρας
ὁ μέγιστος. ἔστω ὁ ἐφ᾽ ᾧ α· διοίσει γὰρ οὐθέν, ἂν ὁποιανοῦν

Cap. V. Arcum vero neque orbem, nec semicirculo maiorem fieri posse, itemque caetera, quae in illum cadunt, ex descriptione contemplantibns patebit. 2. Hemisphaerio enim, quod sit α, supra finitorem circulum posito, et centro eius κ, alioque etiam quodam puncto exoriente, quod sit η, si lineae a centro κ, in coni speciem productae velut axem lineam ηκ efficiunt, et lineae a κ ad μ productae, ab hemisphaerio ad η, supra maiorem angulum reflectuntur, lineae profecto quae a κ ductae sunt, in circuli ambitum incident. 3. Ac si in astri exortu aut occasu reflexio fit, dimidia circuli portio a finitore relinquetur, ea videlicet, quae supra terram exstat. Sin vero astro in superiori parte collocato, minor semper semicirculo, sed minima quando ad circulum meridianum astrum accesserit. 4. Sit enim primum in ortu, ubi η positum est, et linea κμ ad η reflectatur, planumque α a triangulo ηκμ producatur. Circulus sane, sphaerae sectio, maximus erit, isque sit α: nihil enim referet, quodcunque planum ex his,

τῶν ἐπὶ τῆς ηκ κατὰ τὸ τρίγωνον τὸ κμη ἐκβληθῇ τὸ ἐπί-
πεδον. αἱ οὖν ἀπὸ τοῦ η, κ ἀναγόμεναι γραμμαὶ ἐν τούτῳ τῷ
λόγῳ οὐ συσταθήσονται τοῦ ἐφ' ᾧ α ἡμικυκλίου πρὸς ἄλλο
5 καὶ ἄλλο σημεῖον. 5. Ἐπεὶ γὰρ τά τε η, κ σημεῖα δέδοται,
καὶ αἱ κη δεδομένη ἂν εἴη καὶ ἡ μη, ὥστε καὶ ὁ λόγος τῆς
μη πρὸς τὴν μκ. δεδομένης οὖν περιφερείας ἐφάψεται τὸ μ.
ἔστω δὴ αὕτη ἐφ' ἧς τὰ νμ, ὥστε ἡ τομὴ τῶν περιφερειῶν
δέδοται. πρὸς ἄλλο δέ γε τῆς μν περιφερείας ἀπὸ τῶν αὐτῶν
σημείων ὁ αὐτὸς λόγος ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὐ συνίσταται.
6 6. Ἐκκείσθω οὖν τις γραμμὴ ἡ δβ, καὶ τετμήσθω ὡς ἡ μη
πρὸς μκ, ἡ δ πρὸς τὸ β. μείζων δὲ ἡ μη τῆς μκ, ἐπείπερ ἐπὶ
τὴν μείζω γωνίαν ὑποτείνει τὴν τοῦ κμη τριγώνου. μείζων
7 ἄρα καὶ ἡ δ τῆς β. 7. Προσπεπορίσθω οὖν πρὸς τὴν β,
ἐφ' ἧς τὸ ζ· ὥστ' εἶναι ὅπερ τὴν δ πρὸς τὴν β, τὴν βζ πρὸς
τὴν δ. εἶτα ὅπερ ἡ ζ πρὸς τὴν κη, τὸ β πρὸς ἄλλην πεποιή-
σθω τὴν κπ, καὶ ἀπὸ τοῦ π ἐπὶ τὸ μ ἐπεζεύχθω ἡ τὸ μπ.
8 8. Ἔσται οὖν τὸ π πόλος τοῦ κύκλου, πρὸς ὃν αἱ ἀπὸ τοῦ
κ γραμμαὶ προσπίπτουσιν· ἔσται γὰρ ὅπερ ἡ ζ πρὸς τὴν κη,

quae in linea sunt ηκ, per triangulum κμη fuerit productum. Lineae igitur ab η, κ punctis ductae, ad aliud et aliud semicirculi α punctum hac ratione non constituentur. 5. Quoniam enim et puncta η, κ data sunt, itemque linea ηκ, data utique erit et linea μη, quare et ratio lineae μη ad lineam μκ. Datum igitur ambitum punctum μ attinget. Sit sane ille μν: ambituum itaque sectio data est. Ad aliud autem ambitus μν punctum ab iisdem punctis in eodem plano eadem ratio non constat. 6. Extra igitur ponatur linea quaedam δβ, quae ita dividatur, ut quam rationem linea μη ad lineam μκ habet, eandem δ ad β habeat: maior autem est linea μη, quam linea μκ, quandoquidem super maiorem angulum turbinis est reflexio, maiori enim angulo trianguli κμη subtenditur. Maior ergo est linea δ, quam β. 7. Accedat igitur ad lineam β linea ζ, ut quod est δ ad β, sit βζ ad δ. Dehinc, quod est ζ ad κη, id fiat β ad aliam κπ, atque a puncto π ad punctum μ, linea πμ ducatur. 8. Igitur π circuli, in quem lineae a κ

καὶ ἡ β πρὸς τὴν κπ, καὶ ἡ δ πρὸς τὴν πμ. μὴ γὰρ ἔστω,
ἀλλ' ἢ πρὸς ἐλάττω ἢ πρὸς μείζω τῆς πμ· οὐθὲν γὰρ διοίσει.
9. Ἔστω πρὸς πρ. τὸν αὐτὸν ἄρα λόγον αἱ ηκ καὶ κπ καὶ ἡ 9
πρ πρὸς ἀλλήλας ἕξουσιν, ὅνπερ αἱ δ, ζ, β. αἱ δὲ δ, ζ, β ἀνὰ
λόγον ἦσαν, ὅπερ ἡ δ πρὸς β, ἡ ζβ πρὸς δ. ὥστε ὅπερ ἡ πη
πρὸς τὴν πρ, ἡ τὸ πρ πρὸς τὴν πκ. 10. Ἂν οὖν ἀπὸ τῶν κ, η αἱ 10
ηρ καὶ κρ ἐπὶ τὸ ρ επιζευχθῶσιν, αἱ ἐπιζευχθεῖσαι αὗται τὸν
αὐτὸν ἕξουσι λόγον ὅνπερ ἡ πη πρὸς τὴν πρ· περὶ γὰρ τὴν αὐτὴν
γωνίαν τὴν π ἀνὰ λόγον αἵ τε τοῦ ηπρ τριγώνου καὶ τοῦ κρπ.
ὥστε καὶ ἡ πρ πρὸς τὴν κρ τὸν αὐτὸν ἕξει λόγον, καὶ ἡ ηπ πρὸς
τὴν πρ. 11. Ἔχει δὲ καὶ ἡ μη πρὸς τὴν μκ τὸν αὐτὸν λόγον, 11
ὅνπερ ἡ τὸ δ πρὸς τὸ β ἀμφότεραι. ὥστ' ἀπὸ τῶν ηκ ση-
μείων οὐ μόνον πρὸς τῇ μν περιφερείᾳ συσταθήσονται τὸν
αὐτὸν ἔχουσαι λόγον, ἀλλὰ καὶ ἄλλοθι. ὅπερ ἀδύνατον. 12. Ἐπεὶ 12
οὖν ἡ δ οὔτε πρὸς ἐλάττω τῆς πμ οὔτε πρὸς μείζω (ὁμοίως
γὰρ δείξομεν), δῆλον ὅτι πρὸς αὐτὴν ἂν εἴη τὴν ἐφ' ᾗ μπ.

ductae incidunt, polus erit. Quod enim est linea ζ ad lineam κη, et linea β ad lineam κπ, linea quoque δ ad lineam πμ erit. Non enim haec sit ratio, sed aut ad minorem aut ad maiorem: nihil enim intererit. 9. Sit igitur ad lineam πρ. Eandem igitur rationem lineae ηκ, κπ et πρ inter se habebunt, quam lineae, ζ, β, δ, inter se. Lineae autem δ, ζ, β similem inter se proportionem ita habent, ut quod est δ ad β, id sit ζβ ad δ. Quare quod πη ad πρ, id πρ ad πκ. 10. Si igitur a punctis κ, η lineae ηρ et κρ ad ρ ducantur, hae ductae eandem habebunt rationem, quam linea ηπ ad lineam πρ habet. Trianguli enim ηπρ et eius, qui est κρπ, latera circa eundem angulum proportionum similitudinem subeunt: quare et linea πρ ad lineam κρ eandem habebit rationem, quam linea ηπ ad lineam πρ. 11. Sed et linea μη ad lineam μκ eandem habet rationem, quam linea δ ad lineam β. Ab iisdem igitur punctis η, κ, lineae eandem rationem habentes, non solum ad ambitum μν, sed et ad alium locum statuentur: quod fieri nequit. 12. Quoniam igitur linea δ neque ad minorem, quam sit linea πμ, neque ad maiorem (similiter enim demonstrabi-

ὥστ᾽ ἔσται ὅπερ ἡ μπ πρὸς τὴν πκ, ἡ τὸ πη πρὸς τὴν μπ,
13 καὶ λοιπὴ ἡ τὸ μη πρὸς μκ. 13. Ἂν οὖν τῷ ἐφ᾽ ᾧ τὸ π
πόλῳ χρώμενος, διαστήματι δὲ τῷ ἐφ᾽ ᾧ μπ, κύκλος γραφῇ,
ἁπασῶν ἐφάψεται τῶν γωνιῶν ἃς ἀνακλώμεναι ποιοῦσιν αἱ ἀπὸ
τοῦ μη κύκλου· εἰ δὲ μή, ὁμοίως δειχθήσονται τὸν αὐτὸν
ἔχουσαι λόγον αἱ ἄλλοθι καὶ ἄλλοθι τοῦ ἡμικυκλίου συνιστά-
14 μεναι, ὅπερ ἦν ἀδύνατον. 14. Ἂν οὖν περιαγάγῃς τὸ ἡμικύκλιον
τὸ ἐφ᾽ ᾧ τὸ α περὶ τὴν ἐφ᾽ ᾗ ἡ κπ διάμετρον, αἱ ἀπὸ τοῦ ηκ
ἀνακλώμεναι πρὸς τὸ ἐφ᾽ ᾧ τὸ μ ἐν πᾶσι τοῖς ἐπιπέδοις ὁμοίως
ἕξουσι, καὶ ἴσην ποιήσουσι γωνίαν τὴν κμη. καὶ ἣν ποιοῦσι δὲ
15 γωνίαν αἱ κπ καὶ μπ ἐπὶ τῆς ηπ, ἀεὶ ἴση ἔσται. 15. Τρίγωνα οὖν
ἐπὶ τῆς ηπ καὶ κπ ἴσα τῷ ημπ καὶ κμπ συνεστήκασιν. τούτων δ᾽
αἱ κάθετοι ἐπὶ τὸ αὐτὸ σημεῖον πεσοῦνται τῆς ηπ καὶ ἴσαι
ἔσονται. πιπτέτωσαν ἐπὶ τὸ ο. κέντρον ἄρα τοῦ κύκλου τὸ ο,
ἡμικύκλιον δὲ τὸ περὶ τὴν μν ἀφῄρηται ἀπὸ τοῦ ὁρίζον-
16 τος. 16. Τῶν μὲν γὰρ ἄνω τὸν ἥλιον οὐ κρατεῖν, τῶν δὲ πρὸς
τῇ γῇ στεριζομένων κρατεῖν καὶ διαχεῖν τὸν ἀέρα. καὶ διὰ

mus), perspicuum est, ad ipsam πμ rationem habere. Quare quod linea μπ ad lineam est πκ, id linea πη ad lineam μπ erit, itemque reliqua μη ad lineam μκ. 13. Si igitur circulus π polo et πμ intervallo utens describatur, angulos omnes, quos lineae a punctis η, κ ductae et reflexae faciunt, attinget. Quod si non attinget, quae in alia semicirculi parte coëunt, eandem rationem habere similiter demonstrabuntur: quod quidem erat impossibile. 14. Si ergo semicirculum α circa diametrum ηπ circumagas, quae ab ηκ ductae ad punctum μ reflectuntur, in omnibus planis eandem habebunt rationem, aequalemque angulum κμη constituent: et quem lineae κπ et πμ super linea ηπ faciunt, aequalis angulis semper erit. 15. Triangula igitur super linea ηπ et linea κπ aequalia facta sunt triangulis ημπ et κμπ. Quorum perpendiculares lineae in idem punctum lineae ηπ incident, aequalesque erunt. Cadant in ο: centrum igitur circuli est ο, cuius circuli dimidia pars, ea videlicet quae est μν, ab horizonte ablata est. 16. Eas enim, quae supra sunt, sol vincere nequit; quae prope terram

τοῦτο τὴν ἶριν οὐ συμβάλλειν τὸν κύκλον. γίνεσθαι δὲ καὶ νύκτωρ ἀπὸ τῆς σελήνης ὀλιγάκις· οὔτε γὰρ ἀεὶ πλήρης, ἀσθενεστέρα τε τὴν φύσιν ὥστε κρατεῖν τοῦ ἀέρος. μάλιστα δ' ἵστασθαι τὴν ἶριν, ὅπου μάλιστα κρατεῖται ὁ ἥλιος· πλείστη
γὰρ ἐν αὐτῇ ἰκμὰς ἐνέμεινεν. 17. Πάλιν ἔστω ὁ ὁρίζων μὲν 17
ἐφ' ᾧ τὸ αβγ, ἐπανατεταλκέτω δὲ τὸ η, ὁ δ' ἄξων ἔστω νῦν ἐφ' ᾧ τὸ ηπ. τὰ μὲν οὖν ἄλλα πάντα ὁμοίως δειχθήσεται ὡς καὶ πρότερον, ὁ δὲ πόλος τοῦ κύκλου ὁ ἐφ' ᾧ τὸ π κάτω ἔσται τοῦ ὁρίζοντος τοῦ ἐφ' ᾧ τὸ αγ, ἀρθέντος τοῦ ἐφ' ᾧ τὸ η
σημείου. 18. Ἐπὶ δὲ τῆς αὐτῆς ὅ τε πόλος καὶ τὸ κέντρον 18
τοῦ κύκλου καὶ τὸ τοῦ ὁρίζοντος νῦν τὴν ἀνατολήν· ἔστι γαρ
οὗτος ἐφ' ᾧ τὸ ηπ. 19. Ἐπεὶ δὲ τῆς διαμέτρου τῆς αγ τὸ 19
κη ἐπάνω, τὸ κέντρον εἴη ἂν ὑποκάτω τοῦ ὁρίζοντος πρότερον τοῦ ἐφ' ᾧ τὸ αγ, ἐπὶ τῆς κπ γραμμῆς, ἐφ' οὗ τὸ ο. ὥστ' ἔλαττον ἔσται τὸ ἐπάνω τμῆμα ἡμικυκλίου τὸ ἐφ' ᾧ ψυω· τὸ γὰρ ψυω ἡμικύκλιον ἦν, νῦν δ' ἀποτέτμηται ἀπὸ τοῦ αγ ὁρίζοντος. τὸ δὴ υω ἀφανὲς ἔσται ἐπαρθέντος αὐτοῦ τοῦ ἡλίου, ἐλάχιστον δ', ὅταν ἐπὶ μεσημβρίαν· ὅσῳ γὰρ ἀνώτερον

positae, eas vincit aëremque diffundit. Quapropter non contingit iridem circulum fieri. Noctu etiam fieri interdum, quamvis raro a luna. Neque enim semper plena, ac natura sua debilior, ut aërem vincat. Praecipue vero iridem consistere, ubi maxime sol vincatur; plurimus enim ibi sudor remansit. 17. Rursus sit horizon *αβγ*, supra quem punctum *η* subvehatur: ac nunc quidem axis sit *ηπ*; reliqua sane omnia non secus ac prius ostendentur, circuli autem polus *π* sub horizonte *αγ*, sublato puncto *η* erit. 18. In eadem vero linea polus sunt et centrum circuli et eius, qui ortum nunc terminat: is enim est *ηπ*. 19. Quoniam vero supra diametrum *αγ* linea *κπ* sublata est, circuli centrum *ο* in linea *κπ* infra horizontem *αγ* priorem erit. Quare portio, quae supra est, videlicet *ψυω* semicirculo erit minor. Siquidem *ψυω* semicirculus erat: nunc vero ab horizonte *αγ* intersectus est. Itaque *υω*, sole sublato, minime apparebit, quoniam et minima apparet, cum in meridie fuerit. Quo enim punctum *η* superius est, eo

τὸ $\overline{\eta}$ κατώτερος ὅ τε πόλος καὶ τὸ κέντρον τοῦ κύκλου
20ἔσται. 20. Ὅτι δ᾽ ἐν μὲν ταῖς ἐλάττοσιν ἡμέραις ταῖς μετ᾽ ἰσημερίαν τὴν μετοπωρινὴν ἐνδέχεται ἀεὶ γίνεσθαι ἶριν, ἐν δὲ ταῖς μακροτέραις ἡμέραις ταῖς ἀπὸ ἰσημερίας τῆς ἑτέρας ἐπὶ τὴν ἰσημερίαν τὴν ἑτέραν περὶ μεσημβρίαν οὐ γίνεται ἶρις, αἴτιον ὅτι τὰ μὲν πρὸς ἄρκτον τμήματα πάντα μείζω ἡμικυκλίου καὶ ἀεὶ ἐπὶ μείζω, τὸ δ᾽ ἀφανὲς μικρόν, τὰ δὲ πρὸς μεσημβρίαν τμήματα τοῦ ἰσημερινοῦ, τὸ μὲν ἄνω τμῆμα μικρόν, τὸ δ᾽ ὑπὸ γῆν μέγα. καὶ ἀεὶ δὴ τὰ πορρωτέρω μεί-
21ζω. 21. Ὥστ᾽ ἐν μὲν ταῖς πρὸς τὰς θερινὰς τροπὰς ἡμέραις διὰ τὸ μέγεθος τοῦ τμήματοις καὶ ἐπὶ τὸ μεσημβρινὸν τὴν τὸ $\overline{\eta}$, κάτω ἤδη παντελῶς γίνεται τὸ $\overline{\pi}$, διὰ τὸ πόρρω ἀφεστάναι
22τῆς γῆς τὴν μεσημβρίαν διὰ τὸ μέγεθος τοῦ τμήματος. 22. Ἐν δὲ ταῖς πρὸς τὰς χειμερινὰς τροπὰς ἡμέραις, διὰ τὸ μὴ πολὺ ὑπὲρ γῆς εἶναι τὰ τμήματα τῶν κύκλων, τοὐναντίον ἀναγκαῖον γίνεσθαι· βραχὺ γὰρ ἀρθείσης τῆς ἐφ᾽ ᾧ τὸ $\overline{\eta}$, ἐπεὶ τῆς μεσημβρίας γίνεται ὁ ἥλιος.

circuli centrum et polus inferiores erunt. 20. Cur autem post aequinoctium autumnale brevioribus diebus quacunque hora fieri arcus possit, longioribus vero diebus ab altero aequinoctio usque ad alterum in meridie non fiat, causa est, quod omnes, quae ad septentriones pertinent sectiones, semicirculo maiores sunt, et subinde maiores semper fiunt: quod vero non cernitur, exiguum est. Quae autem ad meridiem, ultra aequinoctialem sunt, supra terram quidem exiguae sunt: quod vero sub terra est magnum, atque perpetuo, quo remotiores sunt, eo maiores. 21. In diebus igitur ad aestivum solstitium pertinentibus ea est sectionis magnitudo, ut antequam punctum $\overline{\eta}$ ad medium eius circulumque meridianum pervenerit, punctum $\overline{\pi}$ omnino deorsum descenderit, quia videlicet meridies ob sectionis magnitudinem procul a terra absit. 22. In diebus autem circa solstitium hibernum, quia circulorum sectiones non multum supra terram eminent, contrarium fiat necesse est. Paululum enim sublato puncto $\overline{\eta}$, sol in meridie consistit.

VI. *Τὰς δ' αὐτὰς αἰτίας ὑποληπτέον καὶ περὶ παρηλίου* 1
καὶ ῥάβδων ταῖς εἰρημέναις. γίνεται γὰρ παρήλιος μὲν ἀνακλω-
μένης τῆς ὄψεως πρὸς τὸν ἥλιον, ῥᾶβδοι δὲ διὰ τὸ προσπί-
πτειν τοιαύτην οὖσαν τὴν ὄψιν, οἵαν εἴπομεν ἀεὶ γίνεσθαι,
ὅταν πλησίον ὄντων τοῦ ἡλίου νεφῶν ἀπό τινος ἀνακλασθῇ
τῶν ὑγρῶν πρὸς τὸ νέφος. 2. *Φαίνεται γὰρ αὐτὰ μὲν ἀχρω-* 2
μάτιστα τὰ νέφη κατ' εὐθυωρίαν εἰσβλέπουσιν, ἐν δὲ τῷ ὕδατι
ῥάβδων μεστὸν τὸ νέφος· πλὴν τότε μὲν ἐν τῷ ὕδατι δοκεῖ
τὸ χρῶμα τοῦ νέφους εἶναι, ἐν δὲ ταῖς ῥάβδοις ἐπ' αὐτοῦ
τοῦ νέφους. 3. *Γίνεται δὲ τοῦτο, ὅταν ἀνώμαλος ᾖ τοῦ νέ-* 3
φους ἡ σύστασις, καὶ τῇ μὲν πυκνὸν τῇ δὲ μανόν, καὶ τῇ μὲν
ὑδατωδέστερον, τῇ δ' ἧττον· ἀνακλασθείσης γὰρ τῆς ὄψεως
πρὸς τὸν ἥλιον, τὸ σχῆμα μὲν τοῦ ἡλίου οὐχ ὁρᾶται διὰ μι-
κρότητα τῶν ἐνόπτρων, τὸ δὲ χρῶμα διὰ τὸ ἐν ἀνωμάλῳ
φαίνεσθαι λαμπρὸν καὶ λευκὸν τὸν ἥλιον, πρὸς ὃν ἀνεκλάσθη
ἡ ὄψις, τὸ μὲν φοινικοῦν φαίνεται, τὸ δὲ πράσινον ἢ ξανθόν.
4. *Διαφέρει γὰρ οὐθὲν διὰ τοιούτων ὁρᾶν ἢ ἀπὸ τοιούτων* 4
ἀνακλωμένην· ἀμφοτέρως γὰρ φαίνεται τὴν χρόαν ὅμοιον, ὥστ'

Cap. VI. Geminati autem solis ac virgarum eas ipsas, quae dictae sunt, causas esse censendum est. Parhelium enim oritur, cum visus a re aliqua ad solem reflectitur: virgae vero propterea, quod in nubem visus talis incidit, qualem diximus semper esse, quoties nubibus soli propinquis ab aliquo humido ad nubem refertur. 2. Etenim nubes per directum spectantibus coloris expertes videntur, in aqua vero virgarum plenae. Quamquam cum in aqua spectantur, color nubis in aqua videtur esse, in virgis autem in ipsa nube. 3. Id vero contingit, cum nubis concretio inaequalis fuerit, et partim densa, partim rara, et una parte aquosa magis, altera minus. Visu enim ad solem reflexo, solis quidem figura ob speculorum parvitatem non apparet, color vero, quia sol splendidus et candidus, ad quem fit reflexio, in re inaequabili apparet, alius puniceus, alius viridis, alius flavus videtur. 4. Nihil enim refert, utrum per talia cernamus, an visus a rebus eius modi reflectatur, quippe non eodem modo simili colore appareat.

εἰ κἀκείνως φοινικοῦν, καὶ οὕτως. αἱ μὲν οὖν ῥάβδοι γίνονται δι᾽ ἀνωμαλίαν τοῦ ἐνόπτρου οὐ τῷ σχήματι, ἀλλὰ τῷ χρώ-
5 *ματι.* 5. *Ὁ δὲ παρήλιος, ὅταν ὅτι μάλιστα ὁμαλὸς ᾖ ὁ ἀὴρ καὶ πυκνὸς ὁμοίως· διὸ φαίνεται λευκός. ἡ μὲν γὰρ ὁμαλότης τοῦ ἐνόπτρου ποιεῖ χρόαν μίαν τῆς ἐμφάσεως· ἡ δ᾽ ἀνάκλασις ἀθρόας τῆς ὄψεως, διὰ τὸ ἅμα προσπίπτειν πρὸς τὸν ἥλιον ἀπὸ πυκνῆς οὔσης τῆς ἀχλύος, καὶ οὔπω μὲν οὔσης ὕδωρ ἐγγὺς δ᾽ ὕδατος, τὸ ὑπάρχον τῷ ἡλίῳ ἐμφαίνεσθαι χρῶμα ποιεῖ, ὥσπερ ἀπὸ χαλκοῦ λείου κλωμένης διὰ τὴν πυκνότητα.*
6 6. *Ὥστ᾽ ἐπεὶ τὸ χρῶμα τοῦ ἡλίου λευκόν, καὶ ὁ παρήλιος φαίνεται λευκός. διὰ δὲ τὸ αὐτὸ τοῦτο μᾶλλον ὕδατος σημεῖον ὁ παρήλιος τῶν ῥάβδων· μᾶλλον γὰρ σημαίνει τὸν ἀέρα εὐεργῶς ἔχειν πρὸς γένεσιν ὕδατος. ὁ δὲ νότιος τοῦ βορείου μᾶλλον, ὅτι μᾶλλον ὁ νότιος ἀὴρ εἰς ὕδωρ μεταβάλλει τοῦ πρὸς ἄρκτον.*
7 7. *Γίνονται δ᾽ ὥσπερ εἴπομεν περί τε δυσμὰς καὶ τὰς ἀνατολάς, καὶ οὔτ᾽ ἄνωθεν οὔτε κάτωθεν, ἀλλ᾽ ἐκ τῶν πλαγίων καὶ ῥάβδοι καὶ παρήλιοι· καὶ οὔτ᾽ ἐγγὺς τοῦ ἡλίου λίαν, οὔτε*

Quare si illo modo puniceus, hoc quoque. Virgae igitur propter speculi inaequabilitatem non figura, sed colore efficiuntur. 5. Parhelium autem fit, cum aër quam maxime aequabilis, similiterque densus fuerit. Quocirca candidum apparet. Speculi enim aequabilitas, ut unus color appareat, efficit. Visus autem universi reflexio propterea, quod a caligine, quae densa ac nondum quidem aqua facta est, sed tamen prope est, ut aqua evadat, in solem incidat, colorem qui soli inest apparere perinde facit, ac si ab aëre laevi ob eius densitatem visus reflectitur. 6. Quare cum sol colore sit candido, parhelium quoque candidum apparet. Hac vero ipsa de causa parhelium aquae magis signum est, quam virgae. Aërem enim ad aquae ortum praeparatum esse magis indicat, et australe quidem magis, quam aquilonium, quoniam aër austrinus magis quam qui ad septentriones positus est, in aquam mutatur. 7. Fiunt autem, quemadmodum diximus, et virgae et parhelia in ortu et in occasu, neque supra solem neque infra, sed a latere, nec prope admodum, nec procul

πόρρω παντελῶς· ἐγγὺς μὲν γὰρ οὖσαν ὁ ἥλιος διαλύει τὴν σύστασιν, πόρρω δ' οὔσης ἡ ὄψις οὐκ ἀνακλασθήσεται· ἀπὸ γὰρ μικροῦ ἐνόπτρου πόρρω ἀποτεινομένη ἀσθενὴς γίνεται. διὸ καὶ αἱ ἅλῳ οὐ γίνονται ἐξ ἐναντίας τοῦ ἡλίου. 8. Ἄνω 8
μὲν οὖν ἐὰν γίνηται καὶ ἐγγύς, διαλύσει ο ἥλιος· ἐὰν δὲ πόρρω, ἐλάττων ἡ ὄψις οὖσα ἢ ὥστε ποιεῖν ἀνάκλασιν οὐ προσπεσεῖται. ἐν δὲ τῷ πλαγίῳ ἐστὶ τοσοῦτον ἀποστῆναι τὸ ἔνοπτρον, ὥστε μήτε τὸν ἥλιον διαλῦσαι, τήν τε ὄψιν ἀθρόαν διελθεῖν, διὰ τὸ πρὸς τὴν γῆν φερομένην μὴ δικνεῖσθαι ᾧσπερ δι' ἀχανοῦς φερομένην. 9. Ὑπὸ δὲ τὸν ἥλιον οὐ γίνεται διὰ τὸ πλησίον 9
μὲν τῆς γῆς διαλύεσθαι ἂν ὑπὸ τοῦ ἡλίου, ἄνω δὲ μεσουρανίου ὄντος τὴν ὄψιν διασπᾶσθαι. καὶ ὅλως οὐδ' ἐκ πλαγίας μεσουρανίου γίνεται· ἡ γὰρ ὄψις οὐχ ὑπὸ τὴν γῆν φέρεται, ὥστ' ὀλίγη ἀφικνεῖται πρὸς τὸ ἔνοπτρον, καὶ ἡ ἀνακλωμένη γίνεται πάμπαν ἀσθενής.

VII. Ὅσα μὲν οὖν ἔργα συμβαίνει παρέχεσθαι τὴν ἔκ- 1
κρισιν ἐν τοῖς τόποις τοῖς ὑπὲρ τῆς γῆς, σχεδόν ἐστι τοσαῦτα

omnino. Propinquam enim concretionem sol dissolvit: sin autem procul abest, visus non reflectitur. Nam si a parvo speculo procul protenditur, redditur imbecillus. Quam ob rem et coronae e regione solis non fiunt. 8. Quodsi igitur supra fit ac prope, eam sol dissolvet: si vero procul, visus imbecillior, quam ut reflecti queat, in solem non incidet. A latere vero fieri potest, ut speculum ita distet, ut a sole non solvatur, et visus universus ad eum perveniat, propterea quod ad terram dum fertur, quasi per immensum feratur, pervenire non queat. 9. Infra solem vero non fit, quia, cum ad terram propius accesserit, a sole dissolvitur, cum medium caeli locum tenuerit, distrahitur. Omnino ne a latere quidem, sole medium caelum occupante, efficitur. Visus enim sub terram non fertur. Quare exiguus ad speculum perducitur, et qui reflectitur prorsus imbecillus redditur.

Cap. VII. Tot igitur ac talia ea fere opera sunt, quae in locis supra terram positis secretionem efficere contingit. Iam de iis, dicendum est, quae intra terram efficit, in ipsius

καὶ τοιαῦτα. ὅσα δ' ἐν αὐτῇ τῇ γῇ ἐγκατακλειομένῃ τοῖς τῆς
γῆς μέρεσιν ἀπεργάζεται λεκτέον. ποιεῖ γὰρ δύο διαφορὰς
σωμάτων διὰ τὸ διπλῆ πεφυκέναι καὶ αὐτή, καθάπερ καὶ ἐν
2 τῷ μετεώρῳ. 2. Δύο μὲν γάρ αἱ ἀναθυμιάσεις, ἡ μὲν ἀτ-
μιδώδης, ἡ δὲ καπνώδης, ὥς φαμεν, εἰσίν· δύο δὲ καὶ τὰ
εἴδη τῶν ἐν τῇ γῇ γινομένων, τὰ μὲν ὀρυκτὰ τὰ δὲ μεταλ-
3 λευτά. 3. Ἡ μὲν οὖν ξηρὰ ἀναθυμίασις ἐκπυροῦσα ποιεῖ τὰ
ὀρυκτὰ πάντα, οἷον λίθων τε γένη τὰ ἄτηκτα καὶ σανδαράκην
καὶ ὤχραν καὶ μίλτον καὶ θεῖον καὶ τἆλλα τὰ τοιαῦτα, τὰ δὲ
πλεῖστα τῶν ὀρυκτῶν ἐστὶ τὰ μὲν κονία κεχρωματισμένη, τὰ
δὲ λίθος ἐκ τοιαύτης γεγονὼς συστάσεως, οἷον τὸ κινναβάρι.
4 4. Τῆς δ' ἀναθυμιάσεως τῆς ἀτμιδώδους, ὅσα μεταλλεύεται,
καὶ ἔστιν ἢ χυτὰ ἢ ἐλατά, οἷον σίδηρος, χαλκός, χρυσός.
ποιεῖ δὲ ταῦτα πάντα ἡ ἀναθυμίασις ἡ ἀτμιδώδης ἐγκατα-
κλειομένη, καὶ μάλιστα ἐν τοῖς λίθοις, διὰ ξηρότητα εἰς ἓν
συνθλιβομένη καὶ πηγνυμένη, οἷον δρόσος ἢ πάχνη, ὅταν
ἀποκριθῇ. ἐνταῦθα δὲ πρὶν ἀποκριθῆναι γεννᾶται ταῦτα.
5 5. Διὸ ἔστι μὲν ὡς ὕδωρ ταῦτα, ἔστι δ' ὡς οὔ· δυνάμει μὲν

terrae visceribus inclusa. Duas enim corporum differentias genere provocat, quoniam duplex sit et exsistat, quemadmodum et in sublimi loco. 2. Duae namque (uti diximus) sunt exhalationes, altera vaporosa, altera fumosa: duo etiam genera eorum, quae in terra fiunt, fossilia ac metalla. 3. Sicca igitur exhalatio, ardore incensa, fossilia omnia efficit, ut lapidum genera non liquabilia, et sandaracam, et ochram, et rubricam, et sulphur et eiusdem modi alia. Ac pleraque fossilium sunt alia pulvis colore tinctus, alia lapis ex tali coortus concretione, quemadmodum cinnabari. 4. Exhalatione vaporosa provocantur, quotquot fodiuntur metalla, eaque aut fusilia sunt aut ductilia, qualia sunt ferrum, aes, aurum. Haec omnia exhalatio vaporosa generat, inclusa praesertim lapidibus, ac propter siccitatem in unum compressa et coagulata, tamquam ros et pruina, cum fuerit secreta. Anteaquam vero secernatur, haec omnia generat. 5. Quamobrem haec quodammodo aqua sunt, quodammodo non sunt. Materia enim

γὰρ ἡ ὕλη ὕδατος ἦν, ἔστι δ' οὐκέτι· οὐδ' ἐξ ὕδατος γενομένου διά τι πάθος, ὥσπερ οἱ χυμοί. οὐ γὰρ οὕτω γίνεται τὸ μὲν χαλκὸς τὸ δὲ χρυσός, ἀλλὰ πρὶν γενέσθαι παγείσης τῆς ἀναθυμιάσεως ἕκαστα τούτων ἐστίν. 6. Διὸ καὶ πυροῦται 6
πάντα καὶ γῆν ἔχει· ξηρὰν γὰρ ἔχει ἀναθυμίασιν. ὁ δὲ χρυσὸς μόνος οὐ πυροῦται. κοινῇ μὲν οὖν εἴρηται περὶ πάντων αὐτῶν, ἰδίᾳ δ' ἐπισκεπτέον προχειριζομένοις περὶ ἕκαστον γένος.

potestate quidem aquea est: re vera autem non est, neque ex aqua affectione aliqua exorta, veluti sapores. Neque enim hac ratione fiunt hoc quidem aes, illud vero aurum: sed horum singula exhalatione prius concreta, quam in aquam converteretur, exsistunt. 6. Quocirca etiam omnia igniuntur ac terram continent, siquidem siccam exhalationem. Aurum vero solum non inceenditur. Ac de omnibus quidem hisce communiter dictum est: singula vero genera proponentes, quae unicuique propria sunt, considerare debemus.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ
ΜΕΤΕΩΡΟΛΟΓΙΚΩΝ Δ.

[p. 378, b. ed. Bekk.] [p. 359 C. ed. Cas.]

1 I. Ἐπεὶ δὲ τέτταρα διώρισται αἴτια τῶν στοιχείων,
τούτων δὲ κατὰ τὰς συζυγίας καὶ τὰ στοιχεῖα τέτταρα συμ-
βέβηκεν εἶναι, ὧν τὰ μὲν δύο ποιητικά, τὸ θερμὸν καὶ τὸ
2 ψυχρόν, τὰ δὲ δύο παθητικά, τὸ ξηρὸν καὶ τὸ ὑγρόν. 2. Ἡ
δὲ πίστις τούτων ἐκ τῆς ἐπαγωγῆς· φαίνεται γὰρ ἐν πᾶσιν ἡ
μὲν θερμότης καὶ ψυχρότης ὁρίζουσαι καὶ συμφύουσαι καὶ
μεταβάλλουσαι τὰ ὁμογενῆ καὶ τὰ μὴ ὁμογενῆ, καὶ ὑγραίνου-
σαι καὶ ξηραίνουσαι καὶ σκληρύνουσαι καὶ μαλάττουσαι, τὰ
δὲ ξηρὰ καὶ ὑγρὰ ὁριζόμενα καὶ τἆλλα τὰ εἰρημένα πάθη
πάσχοντα αὐτά τε καθ' αὑτὰ καὶ ὅσα κοινὰ ἐξ ἀμφοῖν σώ-
3 ματα συνέστηκεν. 3. Ἔτι δ' ἐκ τῶν λόγων δῆλον, οἷς ὁρι-
ζόμεθα τὰς φύσεις αὐτῶν· τὸ μὲν γὰρ θερμὸν καὶ ψυχρὸν

Cap. I. Quoniam autem elementorum causae quatuor sunt constitutae, ex quarum coniugationibus evenit, ut quatuor quoque exsisterent elementa, duae illarum efficiendi vim habent, calor et frigus, duae vero patiendi, siccitas et humiditas. 2. Id quod inductione probatur. Calor enim et frigus, tum ea, quae eiusdem, tum quae diversi generis sunt, determinare, coniungere, immutare, humectare, exsiccare, durare, emollire in omnibus videntur: humida autem et sicca tum ipsa per se, tum quae communiter ex utrisque concreta sunt corpora, terminari, et aliis, quae dictae sunt, qualitatibus affici. 3. Constat vero etiam ex definitionibus, quibus eorum naturas definimus. Calidum enim et frigidum

ὡς ποιητικὰ λέγομεν (τὸ γὰρ συγκριτικὸν ὥσπερ ποιητικόν τί
ἐστι), τὸ δὲ ὑγρὸν καὶ ξηρὸν παθητικόν (τὸ γὰρ εὐόριστον
καὶ δυσόριστον τῷ πάσχειν τι λέγεται τὴν φύσιν αὐτῶν). 4. Ὅτι 4
μὲν οὖν τὰ μὲν ποιητικὰ τὰ δὲ παθητικά, φανερόν· διωρι-
σμένων δὲ τούτων ληπτέον ἂν εἴη τὰς ἐργασίας αὐτῶν, αἷς
ἐργάζονται τὰ ποιητικά, καὶ τῶν παθητικῶν τὰ εἴδη. 5. Πρῶ- 5
τον μὲν οὖν καθόλου ἡ ἁπλῆ γένεσις καὶ ἡ φυσικὴ μεταβολὴ
τούτων τῶν δυνάμεών ἐστιν ἔργον, καὶ ἡ ἀντικειμένη φθορὰ
κατὰ φύσιν. αὗται μὲν οὖν τοῖς τε φυτοῖς ὑπάρχουσι καὶ ζῴοις
καὶ τοῖς μέρεσιν αὐτῶν. 6. Ἔστι δ' ἡ ἁπλῆ καὶ φυσικὴ γένε- 6
σις μεταβολὴ ὑπὸ τούτων τῶν δυνάμεων, ὅταν ἔχωσι λόγον ἐκ
τῆς ὑποκειμένης ὕλης ἑκάστῃ φύσει· αὗται δ' εἰσὶν αἱ εἰρη-
μέναι δυνάμεις παθητικαί. γεννῶσι δὲ τὸ θερμὸν καὶ ψυχρὸν
κρατοῦντα τῆς ὕλης· ὅταν δὲ μὴ κρατῇ, κατὰ μέρος μὲν μώ-
λυσις καὶ ἀπεψία γίνεται. 7. Τῇ δ' ἁπλῇ γενέσει ἐναντίον 7
μάλιστα κοινὸν σῆψις· πᾶσα γὰρ ἡ κατὰ φύσιν φθορὰ εἰς
τοῦθ' ὁδός ἐστιν, οἷον γῆρας καὶ αὔανσις. τέλος δὲ τῶν ἄλ-

veluti afficientia dicimus: siquidem, quod congregare aptum est, efficientis cuiusdam habet rationem. Humidum autem et siccum patibilia. Facile enim et difficile terminari res dicuntur, quod earum natura aliquid perpetiatur. 4. Perspicuum itaque est in aliis efficiendi vim inesse, in aliis patiendi. Quibus constitutis efficientium opera consideranda sunt, itemque patibilium species. 5. Principio igitur, universim ortus simplex et naturalis mutatio harum facultatum est opus: is praeterea qui adversatur, naturalis interitus. Ac ea quidem stirpibus atque animalibus conveniunt, ac partibus eorum. 6. Simplex vero et naturalis ortus ab his facultatibus, quum proportionem habuerint, mutatio est, ex subiecta cuique naturae materia. Hae autem sunt facultates patibiles iamiam commemoratae. Calor vero et frigus materiam vincendo generant. Cum autem non vincunt, ex parte quidem imperfecta elixatio et inconcoctio efficitur. 7. Generationi simplici maxime oppositum est communiter putredo. Naturalis enim omnis interitus, ut senectus et ariditas ad hanc est via.

λων ἁπάντων σαπρότης, ἂν μή τι βίᾳ φθαρῇ τῶν φύσει
συνεστώτων· ἔστι γὰρ καὶ σάρκα καὶ ὀστοῦν καὶ ὁτιοῦν κατα-
καῦσαι, ὧν τὸ τέλος τῆς κατὰ φύσιν φθορᾶς σῆψίς ἐστιν.
8 8. Διὸ ὑγρὰ πρῶτον, εἶτα ξηρὰ τέλος γίνεται τὰ σηπόμενα·
ἐκ τούτων γὰρ ἐγένετο, καὶ ὡρίσθη τῷ ὑγρῷ τὸ ξηρὸν ἐργα-
ζομένων τῶν ποιητικῶν. γίνεται δ' ἡ φθορά, ὅταν κρατῇ τοῦ
9 ὁρίζοντος τὸ ὁριζόμενον διὰ τὸ περιέχον. 9. Οὐ μὴν ἀλλ'
ἰδίως λέγεται σῆψις ἐπὶ τῶν κατὰ μέρος φθειρομένων, ὅταν
χωρισθῇ τῆς φύσεως· διὸ καὶ σήπεται πάντα τἆλλα πλὴν πυ-
ρός· καὶ γὰρ γῆ καὶ ὕδωρ καὶ ἀὴρ σήπεται· πάντα γὰρ ὕλη
10 τῷ πυρί ἐστι ταῦτα. 10. Σῆψις δ' ἐστὶ φθορὰ τῆς ἐν ἑκά-
στῳ ὑγρῷ οἰκείας καὶ κατὰ φύσιν θερμότητος ὑπ' ἀλλοτρίας
11 θερμότητος· αὕτη δ' ἐστὶν ἡ τοῦ περιέχοντος. 11. Ὥστ'
ἐπεὶ κατ' ἔνδειαν πάσχει θερμοῦ, τὸ δὲ ἐνδεὲς τοιαύτης
δυνάμεως ψυχρὸν πᾶν, ἄμφω ἂν αἴτια εἴη, καὶ κοινὸν το
πάθος ἡ σῆψις, ψυχρότητός τε οἰκείας καὶ θερμότητος ἀλλο-
12 τρίας. 12. Διὰ τοῦτο γάρ, καὶ ξηρότερα γίνεται τὰ σηπόμενα

Caeterorum vero omnium, quae natura constant, finis est putredo, nisi si quid vi interierit, quippe cum fieri possit, ut et caro et os, et quidvis aliud exuratur, quorum naturalis interitus finis putredo est. 8. Idcirco humida primum, deinde sicca, quae putrescunt, ad extremum redduntur. Ex his enim orta sunt, et humore siccitas determinata est, efficientium opera. Interitus autem fit, cum id quod determinatur, eo quod determinat, superius est, ob id quod ambit. 9. Atqui putredo in iis proprie dicitur, quae ex parte intereunt, cum a natura discesserint. Idcirco et caetera omnia uno igne excepto putrescunt. Nam et terra putrescit, et aqua et aër: quandoquidem materia ignis haec sunt omnia. 10. Putredo autem est eius, qui rei cuiusque humidae proprius est, et naturalis calor, ab alieno calore interitus: hic vero eius est, quod ambit. 11. Quam ob causam cum caloris penuria patiatur, idque omne, quod hac facultate destituitur, frigidum sit, efficitur, ut utrumque sit causa, et communis affectio putredo sit, tum frigoris proprii, tum alieni caloris. 12. Ob hanc

πάντα, καὶ τέλος γῆ καὶ κόπρος· ἐξιόντος γὰρ τοῦ οἰκείου θερμοῦ
συνεξατμίζει τὸ κατὰ φύσιν ὑγρόν, καὶ τὸ σπῶν τὴν ὑγρότητα
οὐκέτ' ἔστιν· ἐπάγει γὰρ ἕλκουσα ἡ οἰκεία θερμότης. 13. *Καὶ* 13
ἐν τοῖς ψύχεσι δ' ἧττον σήπεται ἢ ἐν ταῖς ἀλέαις· ἐν μὲν γὰρ
τῷ χειμῶνι ὀλίγον ἐν τῷ περιέχοντι ἀέρι καὶ ὕδατι τὸ θερ-
μόν, ὥστ' οὐδὲν ἰσχύει, ἐν δὲ τῷ θέρει πλεῖον. 14. *Καὶ οὔτε* 14
τὸ πεπηγός (μᾶλλον γὰρ ψυχρὸν ἢ ὁ ἀὴρ θερμός· οὔκουν
κρατεῖται, τὸ δὲ κινοῦν κρατεῖ), οὔτε τὸ ζέον ἢ θερμόν· ἐλάτ-
των γὰρ ἡ ἐν τῷ ἀέρι θερμότης τῆς ἐν τῷ πράγματι, ὥστ'
οὐ κρατεῖ οὐδὲ ποιεῖ μεταβολὴν οὐδεμίαν. 15. *Ὁμοίως δὲ καὶ* 15
τὸ κινούμενον καὶ ῥέον ἧττον σήπεται τοῦ ἀκινητίζοντος·
ἀσθενεστέρα γὰρ γίνεται ἡ ὑπὸ τῆς ἐν τῷ ἀέρι θερμότητος
κίνησις τῆς ἐν τῷ πράγματι προϋπαρχούσης, ὥστε οὐθὲν ποιεῖ
μεταβάλλειν. 16. *Ἡ δ' αὐτὴ αἰτία καὶ τοῦ τὸ πολὺ ἧττον* 16
τοῦ ὀλίγου σήπεσθαι· ἐν γὰρ τῷ πλείονι πλεῖόν ἐστι πῦρ οἰ-
κεῖον καὶ ψυχρόν; ἢ ὥστε κρατεῖν τὰς ἐν τῷ περιεστῶτι δυ-
νάμεις. 17. *Διὸ καὶ ἡ θάλασσα κατὰ μέρος μὲν διαιρουμένη* 17

enim causam et sicciora fiunt quaecunque putrescunt, et ad extremum terra et fimus. Humore enim naturali una cum proprio calore exeunte, nihil fere adest, quod humorem alliciat, cum naturalis sit calor, qui eum trahendo allicit. 13. Ac frigidis quidem temporibus res minus putrent, quam calidis. Exiguus namque per hiemem est calor in continente aëre et aqua: quare nihil pollet, aestate autem magis. 14. Neque id quod conglaciavit: nam magis frigidum est, quam aër calidus: idcirco non vincitur: id autem, quod movet, vincit. Nec id quod fervet aut calet: minor enim calor est, qui in aëre, quam qui in re. Quapropter non vincit, nec ullam facit mutationem. 15. Eodem modo, quod movetur et fluit, minus putret, quam quod in motione non est. Nam caloris, qui est in aëre, imbecillior fit motus, quam eius, qui in re prius inest: ideo nullam facit mutationem. 16. Eadem quoque causa est, cur id quod multum est, minus putrescat, quam quod exiguum. Nam in re ampliore ignis amplior naturalis et frigus inest amplius, quam ut facultates vincere posset, quae in eo sunt,

ταχὺ σήπεται, ἅπασα δ' οὔ, καὶ τἆλλα ὕδατα ὡσαύ-
18 τως. 18. Καὶ ζῷα ἐγγίνεται τοῖς σηπομένοις διὰ τὸ τὴν ἀπο-
κεκριμένην θερμότητα φυσικὴν οὖσαν συνιστάναι τὰ ἐκκρι-
θέντα. τί μὲν οὖν ἐστὶ γένεσις καὶ τί φθορά, εἴρηται.
1 II. Λοιπὸν δ' εἰπεῖν τὰ ἐχόμενα εἴδη, ὅσα αἱ εἰρημέναι
δυνάμεις ἐργάζονται ἐξ ὑποκειμένων τῶν φύσει συνεστώτων
ἤδη. ἔστι δὴ θερμοῦ μὲν πέψις, πέψεως δὲ πέπανσις, ἕψησις,
ὄπτησις· ψυχρότητος δὲ ἀπεψία, ταύτης δὲ ὠμότης, μώλυσις,
2 στάτευσις. 2. Δεῖ δ' ὑπολαμβάνειν μὴ κυρίως ταῦτα λέγε-
σθαι τὰ ὀνόματα τοῖς πράγμασιν, ἀλλ' οὐ κεῖται καθόλου
τοῖς ὁμοίοις, ὥστε οὐ ταῦτα ἀλλὰ τοιαῦτα δεῖ νομίζειν εἶναι
3 τὰ εἰρημένα εἴδη. εἴπωμεν δ' αὐτῶν ἕκαστον τί ἐστίν. 3. Πέ-
ψις μὲν οὖν ἐστὶ τελείωσις ὑπὸ τοῦ φυσικοῦ καὶ οἰκείου θερ-
μοῦ ἐκ τῶν ἀντικειμένων παθητικῶν· ταῦτα δ' ἐστὶν ἡ οἰκεία
ἑκάστῳ ὕλη. ὅταν γὰρ πεφθῇ, τετελείωταί τε καὶ γέγονεν.
4 4. Καὶ ἡ ἀρχὴ τῆς τελειώσεως ὑπὸ θερμότητος τῆς οἰκείας

quod circumstat. 17. Quamobrem et mare per partes divisum celeriter putrescit, universum autem minime. Eodemque modo aliae aquae. 18. Putridis etiam in rebus animalia innascuntur propterea, quod, qui naturalis est calor secretus ea, quae excreta sunt, cogat. Quid igitur ortus sit ac quid interitus, dictum est.

Cap. II. Restat, ut eas, quae consequuntur, species tradamus, quas eae, quae traditae sunt facultates ex eorum, quae natura iam constant, subiectis efficiant. Est autem caloris quidem concoctio, concoctionis vero maturatio, elixatio, praeterea assatio: frigoris vero inconcoctio, et eius cruditas, imperfecta elixatio, imperfecta assatio. 2. Nomina autem haec proprie rebus non imponi censendum est; cum similibus non universe posita sint. Quare eas, quae dictae sunt, species non has esse censendum est, sed eius modi. Quid autem singulae sint, dicamus. 3. Concoctio igitur perfectio est, a proprio ac naturali calore ex oppositis patibilibus. Haec autem sunt subiecta cuique rei materia: nam, cum concocta sunt, perfecta sunt ac genita. 4. Ac perfectionis

συμβαίνει, κἂν διά τινος τῶν ἐκτὸς βοηθείας συνεπιτελεσθῇ, οἷον ἡ τροφὴ συμπέττεται διὰ λουτρῶν καὶ ἄλλων τοιούτων· ἀλλ' ἥ γε ἀρχὴ ἡ ἐν αὐτῷ θερμότης ἐστίν. 5. Τὸ δὲ τέλος τοῖς 5
μὲν ἡ φύσις ἐστί, φύσις δὲ ἣν λέγομεν ὡς εἶδος καὶ οὐσίαν· τοῖς δ' εἰς ὑποκειμένην τινὰ μορφὴν τὸ τέλος ἐστὶ τῆς πέψεως, ὅταν τοιονδὶ γένηται καὶ τοσονδὶ τὸ ὑγρὸν ἢ ὀπτώμενον ἢ ἑψόμενον ἢ σηπόμενον ἢ ἄλλως πως θερμαινόμενον· τότε γὰρ χρήσιμόν ἐστι καὶ πεπέφθαι φαμέν, ὥσπερ τὸ γλεῦκος καὶ τὰ ἐν τοῖς φύμασι συνιστάμενα, ὅταν γένηται πῦον, καὶ τὸ δάκρυον, ὅταν γένηται λήμη. ὁμοίως δὲ καὶ τἆλλα. 6. Συμβαίνει δὲ τοῦτο 6
πάσχειν ἅπασιν, ὅταν κρατηθῇ ἡ ὕλη καὶ ἡ ὑγρότης· αὕτη γάρ ἐστιν ἡ ὁριζομένη ὑπὸ τῆς ἐν τῇ φύσει θερμότητος. ἕως γὰρ ἐνῇ ἐν αὐτῇ ὁ λόγος, φύσις τοῦτ' ἔστιν. Διὸ καὶ ὑγιείας σημεῖα τὰ τοιαῦτα, καὶ οὖρα καὶ ὑποχωρήσεις καὶ ὅλως τὰ περιττώματα. καὶ λέγεται πεπέφθαι, ὅτι δηλοῖ κρατεῖν τὴν θερμότητα τὴν οἰκείαν τοῦ ἀορίστου. 7. Ἀνάγκη δὲ τὰ πετ- 7
τόμενα παχύτερα καὶ θερμότερα εἶναι· τοιοῦτον γὰρ ἀποτελεῖ

principium a calore proprio proficiscitur, etiam si exteriori aliquo adiumento compleatur. Cibus enim per balnea et eius generis alia concoquitur, sed tamen principium est calor, qui ipsi inest. 5. At vero finis aliis natura est (natura enim, quam speciem et essentiam dicimus), aliis in subiectam quandam formam concoctionis finis terminatur, cum humidum aut assatum, aut elixum, aut putrefactum, aut quoquo alio modo excalefactum, tale tantumque evaserit. Tunc enim utile est ac concoctum dicimus, veluti mustum, et quae in tuberculis coëunt, cum suppuruerint, et lacrymae, cum densior materia oborta, ac similiter alia. 6. Omnibus autem, ut sic afficiantur, accidit, cum materia et humor fuerit evictus. Etenim is est, qui a calore naturali determinatur. Nam dum ratio ipsi inest, natura hoc est. Quocirca et sanitatis signa sunt eius modi, et urinae, et alvi deiectiones et omnia excrementa. Ac dicuntur concocta, quod a proprio calore indeterminatum humorem indicent. 7. Omnia autem, quae concoquuntur, crassiora esse et calidiora, necesse est. Nam quod

8 τὸ θερμόν, εὐογκότερον καὶ παχύτερον καὶ ξηρότερον. 8. Πέψις μὲν οὖν τοῦτ' ἐστίν, ἀπεψία δὲ ἀτέλεια δι' ἔνδειαν τῆς οἰκείας θερμότητος· ἡ δ' ἔνδεια τῆς θερμότητος ψυχρότης ἐστίν· ἡ δ' ἀτέλεια ἐστὶ τῶν ἀντικειμένων παθητικῶν, ἥπερ ἐστὶν ἑκάστῳ φύσει ὕλη. πέψις μὲν οὖν καὶ ἀπεψία διωρίσθω τοῦτον τὸν τρόπον.

1 III. Πέπανσις δ' ἐστὶ πέψις τις· ἡ γὰρ τῆς ἐν τοῖς περικαρπίοις τροφῆς πέψις πέπανσις λέγεται. ἐπεὶ δ' ἡ πέψις τελείωσίς τις, τότε ἡ πέπανσις τελεία ἐστίν, ὅταν τὰ ἐν τῷ περικαρπίῳ σπέρματα δύνηται ἀποτελεῖν τοιοῦτον ἕτερον οἷον αὐτό. καὶ γὰρ ἐπὶ τῶν ἄλλων τὸ τέλειον οὕτω λέγομεν.
2 2. Περικαρπίου μὲν οὖν αὕτη πέπανσις, λέγεται δὲ καὶ ἄλλα πολλὰ πέπονα τῶν πεπεμμένων, κατὰ μὲν τὴν αὐτὴν ἰδέαν, μεταφορᾷ δέ, διὰ τὸ μὴ κεῖσθαι, καθάπερ εἴρηται καὶ πρότερον, ὀνόματα καθ' ἑκάστην τελείωσιν περὶ τὰ ὁριζόμενα
3 ὑπὸ τῆς φυσικῆς θερμότητος καὶ ψυχρότητος. 3. Ἔστι δὲ ἡ φυμάτων καὶ φλέγματος καὶ τῶν τοιούτων πέπανσις ἡ ὑπὸ

eius modi est, calor corpulentius reddit et crassius et siccius. 8. Concoctio igitur hoc est: inconcoctio autem imperfectio est, ob proprii caloris defectum: caloris vero defectio frigus est. Imperfectio autem est oppositorum patibilium, quae natura cuique sunt materia. Concoctio itaque et inconcoctio hoc modo sint definitae.

Cap. III. Maturatio autem est quaedam concoctio. Nam alimenti, quod in fructibus inest, concoctio, maturatio dicitur. Quoniam autem concoctio perfectio quaedam est, tunc maturatio perfecta est, cum semina, quae in fructu sunt, aliud tale perficere potuerint, qualis ipse est. Nam et in aliis perfectum sic dicimus. 2. Maturatio igitur fructus est: ex iis autem, quae concocta sunt, multa etiam alia, eadem quidem cogitationis forma, sed translatione dicuntur matura, propterea quod nomina (uti antea monuimus) cuique perfectioni in his, quae naturali calore et frigore sunt determinata, non sunt indita. 3. Tuberculorum autem et pituitae et huius generis rerum maturatio, eius, qui inest, concoctio est, quae

τοῦ φυσικοῦ θερμοῦ τοῦ ἐνόντος ὑγροῦ πέψις· ἀδύνατον γὰρ
ὁρίζειν μὴ κρατοῦν. 4. Ἐκ μὲν οὖν τῶν πνευματικῶν ὑδα- 4
τώδη, ἐκ δὲ τῶν τοιούτων τὰ γεηρὰ συνίσταται, καὶ ἐκ λεπτῶν
ἀεὶ παχύτερα γίνεται πεπαινόμενα πάντα. καὶ τὰ μὲν εἰς αὑτὴν
ἡ φύσις ἄγει κατὰ τοῦτο, τὰ δ' ἐκβάλλει. 5. Πέπανσις μὲν 5
οὖν εἴρηται τί ἐστίν, ὠμότης δ' ἐστὶ τὸ ἐναντίον· ἐναντίον
δὲ πεπάνσει ἀπεψία τῆς ἐν τῷ περικαρπίῳ τροφῆς· αὕτη δ'
ἐστὶν ἡ ἀόριστος ὑγρότης. διὸ ἢ πνευματικὴ ἢ ὑδατώδης ἢ
τῶν ἐξ ἀμφοῖν ἐστὶν ἡ ὠμότης. 6. Ἐπεὶ δ' ἡ πέπανσις τε- 6
λείωσίς τίς ἐστιν, ἡ ὠμότης ἀτέλεια ἔσται. γίνεται δ' ἀτέλεια
δι' ἔνδειαν τοῦ φυσικοῦ θερμοῦ καὶ ἀσυμμετρίαν πρὸς τὸ
ὑγρὸν τὸ πεπαινόμενον. 7. Οὐδὲν δ' ὑγρὸν αὐτὸ καθ' αὑτὸ 7
πεπαίνεται ἄνευ ξηροῦ· ὕδωρ γὰρ οὐ παχύνεται μόνον τῶν
ὑγρῶν. συμβαίνει δὲ τοῦτο ἢ τῷ τὸ θερμὸν ὀλίγον εἶναι ἢ τῷ
τὸ ὁριζόμενον πολύ· διὸ καὶ λεπτοὶ οἱ χυμοὶ τῶν ὠμῶν, καὶ
ψυχροὶ μᾶλλον ἢ θερμοί, καὶ ἄβρωτοι καὶ ἄποτοι. 8. Λέγε- 8
ται δὲ καὶ ἡ ὠμότης ὥσπερ καὶ ἡ πέπανσις, πολλαχῶς. ὅθεν

a naturali efficitur calore. Nam quod non vincit, terminare nequit. 4. Itaque ex aëreis aquam, ex eius modi autem terrea concrescunt, et ex tenuibus semper fiunt crassiora, quaecunque maturescunt. Atque alia quidem per hoc in se adducit natura, alia expellit. 5. Maturatio igitur quid sit, dictum est: cruditas autem contrarium est: maturationis autem contrarium est alimenti, quod fructibus inest, inconcoctio. Hoc vero est indefinitus humor. Quamobrem spirituosa, aut aquea, aut ex utroque constat cruditas. 6. Cum autem maturatio perfectio sit quaedam, cruditas erit imperfectio. Fit vero imperfectio propter naturalis caloris defectum atque commensum humori ad maturitatem pergenti minime respondentem. 7. Porro nullum humidum per se sine arido maturum fit: etenim aqua ex humidis sola non crassescit. Quod ideo evenire solet, quia vel exiguum calorem vel magnam humoris qui definitur copiam habeat; et proinde crudorum succus praetenuis est et gelidus potius quam tepidus, atque esu ac potu inutilis. 8. Caeterum ipsa quoque cruditas perinde ac maturatio multifariam dicitur:

καὶ οὖρα καὶ ὑποχωρήσεις καὶ κατάῤῥοι ὠμοὶ λέγονται διὰ τὸ
αὐτὸ αἴτιον· τῷ γὰρ μὴ κεκρατῆσθαι ὑπὸ τῆς θερμότητος
9 μηδὲ συνεστάναι ὠμὰ πάντα προσαγορεύεται. 9. Πόῤῥω δὲ
προϊόντων καὶ κέραμος ὠμὸς καὶ γάλα ὠμὸν καὶ ἄλλα πολλὰ
λέγεται, ἐὰν δυνάμενα μεταβάλλειν καὶ συνίστασθαι ὑπὸ θερ-
μότητος ἀπαθῆ ᾖ. διὸ τὸ ὕδωρ ἑφθὸν μὲν λέγεται, ὠμὸν δ'
10 οὔ, ὅτι οὐ παχύνεται. 10. Πέπανσις μὲν οὖν καὶ ὠμότης εἴ-
ρηται τί ἐστι, καὶ διὰ τί ἐστιν ἑκάτερον αὐτῶν· ἕψησις δ'
ἐστὶ τὸ μὲν ὅλον πέψις ὑπὸ θερμότητος ὑγρᾶς τοῦ ἐνυπάρχον-
τος ἀορίστου ἐν τῷ ὑγρῷ, λέγεται δὲ τοὔνομα κυρίως μόνον
ἐπὶ τῶν ἑψομένων. τοῦτο δ' ἂν εἴη, ὥσπερ εἴρηται, πνευμα-
11 τῶδες ἢ ὑδατῶδες. 11. Ἡ δὲ πέψις γίνεται ἀπὸ τοῦ ἐν τῷ
ὑγρῷ πυρός· τὸ γὰρ ἐπὶ τῶν τηγάνων ὀπτᾶται· ὑπὸ γὰρ τοῦ
ἔξωθεν θερμοῦ πάσχει, ἐν ᾧ δ' ἐστὶν ὑγρῷ, ποιεῖ ἐκεῖνο
12 μᾶλλον ξηρόν, εἰς αὐτὸ ἀναλαμβάνον. 12. Τὸ δ' ἑψόμενον
τοὐναντίον ποιεῖ· ἐκκρίνεται γὰρ ἐξ αὐτοῦ τὸ ὑγρὸν ὑπὸ τῆς
ἐν τῷ ἔξω ὑγρῷ θερμασίας. διὸ ξηρότερα τὰ ἑφθὰ τῶν ὀπτῶν·
οὐ γὰρ ἀνασπᾷ εἰς αὐτὰ τὸ ὑγρὸν τὰ ἑψόμενα· κρατεῖ γὰρ

unde et destillationes et urinae et alvi sedimina cruda dicuntur eadem de causa; idcirco enim cruda nuncupantur omnia, quod a calore nec vincantur nec consistant. 9. Quodsi longius progredi velimus, et fictile et lac et multa alia cruda dicuntur, si cum a calore transmutari ac consistere possint, inaffecta permaneant. Quocirca elixa dicitur aqua, sed cruda minime, quod crassa non fiat. 10. Quid igitur sit maturatio atque cruditas, et cur sit utraque, dictum est. Elixatio autem in universum quidem est indefiniti in humore concoctio ab humido calore facta. Sed vocabulum de elixis solum proprie dici solet: indefinitum autem aëreum, uti diximus, vel aqueum esse potest. 11. Fit autem elixatio ab igne, qui in humore est. Quod enim in sartagine igni admovetur, torretur; nam ab externo calore patitur: humorem autem illum, in quo est, plenius aridum ad se trahendo reddit. 12. Quod autem elixatur, contra efficit: nam calor, quem externus humor habet, ab eo humorem foras pellit. Quamobrem elixa assis aridiora

ἡ ἔξωθεν θερμότης τῆς ἐντός· εἰ δ' ἐκράτει ἡ ἐντός, εἷλκεν ἂν
εἰς ἑαυτήν. 13. Ἔστι δ' οὐ πᾶν σῶμα ἑψητόν· οὔτε γὰρ 13
ἐν ᾧ μηθέν ἐστιν ὑγρόν, οἷον ἐν λίθοις, οὔτ' ἐν οἷς ἔνεστι
μέν, ἀλλ' ἀδύνατον κρατηθῆναι διὰ πυκνότητα, οἷον ἐν τοῖς
ξύλοις· ἀλλ' ὅσα τῶν σωμάτων ἔχει ὑγρότητα παθητικὴν ὑπὸ
τῆς ἐν τῷ ὑγρῷ πυρώσεως. 14. Λέγεται δὲ καὶ χρυσὸς ἕψε- 14
σθαι καὶ ξύλον καὶ ἄλλα πολλά, κατὰ μὲν τὴν ἰδέαν οὐ τὴν
αὐτήν, μεταφορᾷ δέ· οὐ γὰρ κεῖται ὀνόματα ταῖς διαφοραῖς.
15. Καὶ τὰ ὑγρὰ δὲ ἕψεσθαι λέγομεν, οἷον γάλα καὶ γλεῦκος, 15
ὅταν ὁ ἐν τῷ ὑγρῷ χυμὸς εἰς εἶδός τι μεταβάλλῃ ὑπὸ τοῦ
κύκλῳ καὶ ἔξωθεν πυρὸς θερμαίνοντος, ὥστε τρόπον τινὰ
παραπλήσιον τῇ εἰρημένῃ ἑψήσει ποιεῖ. 16. Τέλος δ' οὐ 16
ταὐτὸ πᾶσιν, οὔτε ἑψομένοις οὔτε πεττομένοις, ἀλλὰ τοῖς μὲν
πρὸς ἐδωδήν, τοῖς δὲ πρὸς ῥόφησιν, τοῖς δὲ πρὸς ἄλλην χρεί-
αν, ἐπεὶ καὶ τὰ φάρμακα ἕψειν λέγομεν. 17. Ὥστε ὅσα παχύ- 17
τερα δύναται γίνεσθαι ἢ ἐλάττω ἢ βαρύτερα, ἢ τὰ μὲν αὐτῶν

sunt, non enim quae elixantur ad se humorem attrahunt, quando externus calor interdum vincit. Quodsi praevaleret internus, humorem ad se traheret. 13. Porro non omne corpus elixabile est: nam neque id, in quo nihil est humoris, ceu lapis, neque id, in quo humor quidem inest, sed densitatis ratione vinci non potest, ut lignum, elixari potest. Sed e corporibus ea duntaxat elixari solent, quae humiditatem habent eius modi, ut ab igni, qui in humore est, pati queant. 14. At aurum, lignum et pleraque alia elixari dicuntur, forma quidem non eadem, sed translatione: non enim differentiis propria indita sunt vocabula. 15. Liquida quoque, ceu lac ac mustum elixari dicimus, ubi circumdans: et forinsecus excalefaciens ignis saporem, qui in humore consistit, in aliam quandam saporis speciem transmutat. Quare modo quodam simile quiddam dictae elixationi committit. 16. Finem autem non eundem nacta sunt omnia, nec quae elixantur nec quae concoquuntur: sed aliorum finis in esitatione, aliorum in sorbitione, aliorum in alio usu consistit, quandoquidem vel medicamenta ipsa elixari dicimus. 17. Quare elixabilia omnia sunt, quaecunque

τοιαῦτα τὰ δ᾽ ἐναντία, διὰ τὸ διακρινόμενα τὰ μὲν παχύνεσθαι
τὰ δὲ λεπτύνεσθαι, ὥσπερ τὸ γάλα εἰς ὀρρὸν καὶ πυτίαν,
πάντα ἑψητά ἐστιν. τὸ δ᾽ ἔλαιον οὐχ ἕψεται αὐτὸ καθ᾽ αὑτὸ,
18*ὅτι τούτων οὐθὲν πάσχει.* 18. *Ἡ μὲν οὖν κατὰ τὴν ἕψησιν*
λεγομένη σῆψις τοῦτ᾽ ἐστίν· καὶ οὐθὲν διαφέρει ἐν ὀργάνοις
τεχνικοῖς ἢ φυσικοῖς, ἐαν γίνηται· διὰ τὴν αὐτὴν γὰρ αἰτίαν
19*πάντα ἔσται.* 19. *Μώλυσις δ᾽ ἀπεψία μὲν ἡ ἐναντία ἑψήσει·*
εἴη δ᾽ ἂν ἐναντία ἥ τε πρώτη λεχθεῖσα ἀπεψία τοῦ ἐν τῷ
σώματι ἀορίστου δι᾽ ἔνδειαν τῆς ἐν τῷ ὑγρῷ τῷ πέριξ θερ-
20*μότητος.* 20. *Ἡ δ᾽ ἔνδεια μετὰ ψυχρότητος ὅτι ἐστίν, εἴρη-*
ται· γίνεται δὲ διὰ κίνησιν ἄλλην· ἐκκρούεται γὰρ ἡ πέττουσα,
καὶ ἡ ἔνδεια δὲ ἢ διὰ τὸ πλῆθος τῆς ἐν τῷ ὑγρῷ ψυχρό-
τητος, ἢ διὰ τὸ ἐν τῷ ἑψομένῳ πλῆθος· τότε γὰρ συμβαίνει
τὴν ἐν τῷ ὑγρῷ θερμότητα πλείω μὲν εἶναι ἢ ὥστε μὴ κινῆσαι,
ἐλάττω δὲ ἢ ὥστε ὁμαλῦναι καὶ συμπέψαι. διὸ σκληρότερα
μὲν τὰ μεμωλυσμένα γίνεται τῶν ἑφθῶν, τὰ δ᾽ ὑγρὰ διωρι-

crassiora vel minora vel graviora; aut eorum quaedam eius modi, quaedam diversa fieri possunt, propterea quod eorum, quae disgregantur, alia crassa sunt, alia tenuia, quomodo lac in serum atque caseum distribuitur. Oleum autem per se ipsum non elixatur, quod horum nihil subeat. 18. Igitur concoctio ea, quae elixatio nuncupatur, id est; nihilque interest, instrumentis arte an natura paratis fiat: eadem enim de causa fient omnia. 19. Inquinatio autem inconcoctio elixationi adversa. Fuerit autem, cum ei de qua priore loco disseruimus adversari dicatur, inconcoctio infiniti in corpore, quam caloris humoris circumfusi penuria committit. 20. Caloris autem penuria frigus habere admistum, dictum est: per alium tamen quam frigus motum fit. Nam calor ille, cui coquendi officium delegatum est, depellitur ac obfuscatur; atque penuria illa per copiam frigoris vel in humore circumiacente vel in eo, quod elixatur. Tunc enim evenit, ut calor, qui humori inest, amplior sit quam ut non moveat, sed minor quam ut aequabilitatem afferre atque concoquere possit. Unde fit, ut inquinata elixis duriora sint, et humida siccentibus magis definita.

σμένα μᾶλλον. 21. Ἕψησις μὲν οὖν καὶ μώλυσις εἴρηται, 21
καὶ τί ἐστι καὶ διὰ τί ἐστιν· ὄπτησις δ' ἐστὶ πέψις ὑπὸ θερ-
μότητος ξηρᾶς καὶ ἀλλοτρίας· διὰ τοῦτο κἂν ἕψων τις ποιῇ
μεταβάλλειν καὶ πέττεσθαι, μὴ ὑπὸ τῆς τοῦ ὑγροῦ θερμότη-
τος, ἀλλ' ὑπὸ τῆς τοῦ πυρός, ὅταν τελεσθῇ, ὀπτὸν γίνεται
καὶ οὐχ ἑφθόν, καὶ τῇ ὑπερβολῇ προσκεκαῦσθαι λέγεται. ὑπὸ
ξηρᾶς δὲ θερμότητος γίνεται, ὅταν ξηρότερον γίνηται ἐπιτε-
λεσθέν. 22. Διὸ καὶ τὰ ἐκτὸς ξηρότερα τῶν ἐντός· τὰ δ' 22
ἑφθὰ τοὐναντίον. καὶ ἔργον ἐπὶ τῶν χειροκμήτων τὸ ὀπτῆσαι
μεῖζον ἢ ἑψῆσαι. χαλεπὸν γὰρ τὰ ἐντὸς καὶ τὰ ἐκτὸς ὁμαλῶς
θερμαίνειν. ἀεὶ γὰρ τὰ ἐγγύτερον τοῦ πυρὸς ξηραίνεται θᾶτ-
τον, ὥστε καὶ μᾶλλον. 23. Συνιόντων οὖν τῶν ἔξω πόρων 23
οὐ δύναται ἐκκρίνεσθαι τὸ ἐνυπάρχον ὑγρόν, ἀλλ' ἐγκατακλεί-
εται, ὅταν οἱ πόροι μύσωσιν. 24. Ὄπτησις μὲν οὖν καὶ ἕψη- 24
σις γίνονται μὲν τέχνῃ, ἔστι δ', ὥσπερ λέγομεν, τὰ εἴδη κα-
θόλου ταὐτὰ καὶ φύσει· ὅμοια γὰρ τὰ γινόμενα πάθη, ἀλλ'
ἀνώνυμα· μιμεῖται γὰρ ἡ τέχνη τὴν φύσιν, ἐπεὶ καὶ ἡ τῆς

21. Quid igitur et cur elixatio sit atque inquinatio, dictum est; assatio vero concoctio est, quae ab arido et alieno calore efficitur. Ea de causa, cum quis elixare quippiam nititur, si id non ab humoris caliditate, sed ab igneo calore mutari atque concoqui faciat, ubi perfectum est, assum fit, non elixum, et exsuperantia insuper adustum esse dicitur. Ubi autem perfectum siccius evadit, a calore sicco fit. 22. Quo fit, ut partes extimae intimis fiant aridiores; id quod in elixis contra evenit. Atque in iis, quae manuum ope confici solent, plus negotii assatio quam elixatio invenit, quippe cum summas et internas rei partes aequabiliter excalefacere perarduum sit. Nam quae igni magis sunt propinquae, semper ocius siccent, quare et impensius. 23. Cum igitur foramina illa, quae extra prominent, coëunt adductanturque, contentus humor exprimi non potest, sed intercluditur, ubi meatus connivent. 24. Igitur assatio et elixatio arte quidem efficiuntur, sed natura quoque, sicut dicimus, species universaliter eaedem fiunt. Nam affectus qui fiunt, tametsi nomine careant, haudquaquam tamen

τροφῆς ἐν τῷ σώματι πέψις ὁμοία ἑψήσει ἐστίν· καὶ γὰρ ἐν ὑγρῷ καὶ θερμῷ ὑπὸ τῆς τοῦ σώματος θερμότητος γίνεται.
25*καὶ ἀπεψίαι ἔνιαι ὅμοιαι τῇ μωλύσει. 25. Καὶ ζῷον οὐκ ἐγγίνεται ἐν τῇ πέψει, ὥσπερ τινές φασιν, ἀλλ' ἐν τῇ ἀποκρίσει σηπομένῃ ἐν τῇ κάτω κοιλίᾳ, εἶτ' ἐπανέρχεται ἄνω· πέττεται μὲν γὰρ ἐν τῇ ἄνω κοιλίᾳ, σήπεται δ' ἐν τῇ κάτω*
26*τὸ ἀποκριθέν· δι' ἣν δ' αἰτίαν, εἴρηται ἐν ἑτέροις. 26. Ἡ μὲν οὖν μώλυσις τῇ ἑψήσει ἐναντίον· τῇ δὲ ὡς ὀπτήσει λεγομένῃ πέψει ἔστι μέν τι ἀντικείμενον ὁμοίως ἀνωνυμώτερον δέ. εἴη δ' ἂν ὅμοιον, εἰ γένοιτο στάτευσις ἀλλὰ μὴ ὄπτησις δι' ἔνδειαν θερμότητος, ἣ συμβαίη ἂν ἢ δι' ὀλιγότητα τοῦ ἔξω πυρὸς ἢ διὰ τὸ πλῆθος τοῦ ἐν τῷ ὀπτωμένῳ ὕδατος· τότε γὰρ πλείων μέν ἐστιν ἢ ὥστε μὴ κινῆσαι, ἐλάττων δ' ἢ ὥστε*
27*πέψαι. 27. Τί μὲν οὖν ἐστι πέψις καὶ ἀπεψία, καὶ πέπανσις καὶ ὠμότης, καὶ ἕψησις καὶ ὄπτησις τἀναντία τούτοις, εἴρηται.*

dissimiles sunt, cum ars naturae aemula sit. Quandoquidem et cibi in corpore concoctio elixationi persimilis habetur, quippe cum in calido et humido a corporis calore fiat, et inconcoctio inquinationi. 25. Nec in ipsa concoctione nascuntur vermes, sicuti quidam aiunt, sed in excrementis, quae in alvo putrent inferiore geniti, in sublime postea sese attollunt. Nam in superiore ventriculo concoctio efficitur: at quod secrevit natura, id in inferiore putrescit. Quam autem ob causam dictum est alias. 26. Inquinatio igitur elixationi adversatur: at ei concoctioni, quae assatio nominitatur, quippiam pari modo oppositum est, sed eius modi, ut difficilius sibi, quam illa, nomen inveniat. Fuerit autem perinde ac si excaldatio fiat, non assatio, propter caloris indigentiam; quae aut exterioris ignis paucitate aut in re assanda humoris diluti copia accidere potest. Nam calor tum maior est, quam ut motum non excitet, minor, quam ut concoquere valeat. 27. Quid igitur sit concoctio et inconcoctio, maturatio et cruditas, elixatio et assatio, et his contraria, dictum est.

IV. *Τῶν δὲ παθητικῶν, τοῦ ὑγροῦ καὶ τοῦ ξηροῦ, λεκτέον* 1
*τὰ εἴδη. εἰσὶ δ' αἱ μὲν ἀρχαὶ τῶν σωμάτων αἱ παθητικαὶ
ὑγρὸν καὶ ξηρόν, τὰ δ' ἄλλα μικτὰ μὲν ἐκ τούτων, ὁποτέρου
δὲ μᾶλλον, τούτου μᾶλλον τὴν φύσιν ἐστίν, οἷον τὰ μὲν ξηροῦ
μᾶλλον, τὰ δ' ὑγροῦ.* 2. *Πάντα δὲ τὰ μὲν ἐντελεχείᾳ ἔσται,* 2
τὰ δ' ἐν τῷ ἀντικειμένῳ· ἔχει δ' οὕτω τῆξις πρὸς τὸ τηκτόν.
3. *Ἐπεὶ δ' ἐστὶ τὸ μὲν ὑγρὸν εὐόριστον, τὸ δὲ ξηρὸν δυσόρι-* 3
*στον, ὅμοιόν τι τῷ ὄψῳ καὶ τοῖς ἡδύσμασι πρὸς ἄλληλα πά-
σχουσιν· τὸ γὰρ ὑγρὸν τῷ ξηρῷ αἴτιον τοῦ ὁρίζεσθαι καὶ
ἑκάτερον ἑκατέρῳ οἷον κόλλα γίνεται, ὥσπερ καὶ Ἐμπεδοκλῆς
ἐποίησεν ἐν τοῖς φυσικοῖς· ἄλφιτον ὕδατι κολλήσας. καὶ
διὰ τοῦτο ἐξ ἀμφοῖν ἐστὶ τὸ ὡρισμένον σῶμα.* 4. *Λέγεται* 4
*δὲ τῶν στοιχείων ἰδιαίτατα ξηροῦ μὲν γῆ, ὑγροῦ δὲ ὕδωρ.
διὰ τοῦτο ἅπαντα τὰ ὡρισμένα σώματα ἐνταῦθα οὐκ ἄνευ γῆς
καὶ ὕδατος· ὁποτέρου δὲ πλεῖον, κατὰ τὴν δύναμιν τούτου
ἕκαστον φαίνεται.* 5. *Καὶ ἐν γῇ καὶ ἐν ὕδατι ζῷα μόνον* 5
ἐστίν, ἐν ἀέρι δὲ καὶ πυρὶ οὐκ ἔστιν, ὅτι τῶν σωμάτων ὕλη

Cap. IV. Passivorum autem, aridi inquam et humidi, species dicamus oportet. Sunt autem passiva corporum primordia humidum ac siccum, caetera vero ex his temperata quidem sunt, sed magis eius per naturam sunt ex quo largius, quemadmodum alia magis sicci, alia magis humidi. 2. Haec autem omnia partim actu erunt, partim in contrario: quo pacto eliquatio et eliquabile sese habent. 3. Cum autem humidum facile et siccum aegre definiantur, haud aliter se quam obsonium et condimenta vicissim habent. Nam humidum arido, ut definiatur, causa est: et alterutrum alteri est glutinis ad instar. Id quod Empedocles etiam in naturalibus adseruit, farinam aqua agglutinans. Et ea de causa definitum corpus utroque constat. 4. Porro ex omni elementorum genere peculiarissime sicco quidem terra, humido autem aqua tribuitur. Eam ob rem omnia ista definita corpora non sine terra et aqua consistunt. Sed potentia quodque huius esse videtur, cuius plus habuerit. 5. Quin etiam animantes in terra et aqua solum sunt, in aëre autem et igni non sunt, propterea quod

6 ταῦτα. 6. Τῶν δὲ σωματικῶν παθημάτων ταῦτα πρῶτα
ἀνάγκη ὑπάρχειν τῷ ὡρισμένῳ, σκληρότητα ἢ μαλακότητα·
ἀνάγκη γὰρ τὸ ἐκ ξηροῦ καὶ ὑγροῦ ἢ σκληρὸν εἶναι ἢ μαλα-
7 κόν. 7. Ἔστι δὲ σκληρὸν μὲν τὸ μὴ ὑπεῖκον εἰς αὑτὸ κατὰ
τὸ ἐπίπεδον, μαλακὸν δὲ τὸ ὑπεῖκον τῷ μὴ ἀντιπεριΐστασθαι.
τὸ γὰρ ὕδωρ οὐ μαλακόν· οὐ γὰρ ὑπείκει τῇ θλίψει τὸ ἐπί-
8 πεδον εἰς βάθος, ἀλλ' ἀντιπεριΐσταται. 8. Ἁπλῶς μὲν οὖν
σκληρὸν ἢ μαλακὸν τὸ ἁπλῶς τοιοῦτον, πρὸς ἕτερον δὲ τὸ
πρὸς ἐκεῖνο τοιοῦτον. πρὸς μὲν οὖν ἄλληλα ἀόριστά ἐστι τῷ
9 μᾶλλον καί ἧττον. 9. Ἐπεὶ δὲ πρὸς τὴν αἴσθησιν πάντα
κρίνομεν τὰ αἰσθητά, δῆλον ὅτι καὶ τὸ σκληρὸν καὶ τὸ μα-
λακὸν ἁπλῶς πρὸς τὴν ἁφὴν ὡρίκαμεν, ὡς μεσότητι χρώμενοι
τῇ ἁφῇ. διὸ τὸ μὲν ὑπερβάλλον αὐτῆς σκληρόν, τὸ δ' ἐλλεῖ-
πον μαλακὸν εἶναί φαμεν.

1 V. Ἀνάγκη δὲ σκληρὸν ἢ μαλακὸν εἶναι τὸ ὡρισμένον
σῶμα οἰκείῳ ὅρῳ· ἢ γὰρ ὑπείκει ἢ μή· ἔτι πεπηγὸς εἶναι·

aqua et terra corporum materies sunt. 6. Ex corporibus autem affectibus hi, durities inquam aut mollities, primi definitae rei competant est necesse. Nam quod ex arido constat et humido, durum aut molle necessario evadit. 7. Est autem durum, quod per summa in sese non refugit, molle quod in sese obluctando refugit. Aqua etenim haudquaquam mollis est, quippe cuius pars summa compressu intro minime cedat, sed circum obsistat 8. Itaque absolute durum aut molle est, quod absolute est eius modi: ratione ad aliud vero durum aut molle, quod respectu illius tale est. Haec ergo inter sese vicissim collata indefinita sunt, quod magis atque minus dura molliave sint. 9. Sed cum sensilia cuncta sensu diiudicentur, nos tam durum quam molle simpliciter tactu eodem, veluti mediocritate quadam utentes, definivisse constat. Quocirca rem omnem, quae tactum edomat, duram, quae vero subterfugit, mollem esse dicimus.

Cap. V. Corpus autem omne suo definitum termino durum sit aut molle necesse est; nam aut in sese cedit aut nequaquam. Ad haec concretum sit oportet: hac enim re definitur

τούτῳ γὰρ ὁρίζεται. ὥστ' ἐπεὶ πᾶν μὲν τὸ ὡρισμένον καὶ συν-
εστηκὸς ἢ μαλακὸν ἢ σκληρόν, ταῦτα δὲ πήξει ἐστίν, ἅπαντ'
ἂν εἴη τὰ σώματα τὰ σύνθετα καὶ ὡρισμένα οὐκ ἄνευ πήξεως·
πήξεως οὖν πέρι ῥητέον. 2. Ἔστι δὲ τὰ αἴτια τὰ περὶ τὴν ὕλην 2
δύο, τό τε ποιοῦν καὶ τὸ πάθος, τὸ μὲν ποιοῦν ὡς ὅθεν ἡ
κίνησις, τὸ δὲ πάθος ὡς εἶδος. ὥστε καὶ πήξεως καὶ διαχύσεως,
καὶ τοῦ ξηραίνεσθαι καὶ τοῦ ὑγραίνεσθαι. 3. Ποιεῖ δὲ τὸ ποι- 3
οῦν δυσὶ δυνάμεσι, καὶ πάσχει τὸ πάσχον παθήμασι δυσίν,
ὥσπερ εἴρηται· ποιεῖ μὲν θερμῷ καὶ ψυχρῷ, τὸ δὲ πάθος ἢ
παρουσίᾳ ἢ ἀπουσίᾳ θερμοῦ ἢ ψυχροῦ. 4. Ἐπεὶ δὲ τὸ πή- 4
γνυσθαι ξηραίνεσθαί πώς ἐστι, περὶ τούτου εἴπωμεν πρῶτον.
τὸ δὴ πάσχον ἢ ὑγρὸν ἢ ξηρὸν ἢ ἐκ τούτων. τιθέμεθα δὲ ὑγροῦ
σῶμα ὕδωρ, ξηροῦ δὲ γῆν· ταῦτα γὰρ τῶν ὑγρῶν καὶ ξηρῶν
παθητικά. διὸ καὶ τὸ ψυχρὸν τῶν παθητικῶν μᾶλλον· ἐν τού-
τοις γάρ ἐστι· καὶ γὰρ ἡ γῆ καὶ τὸ ὕδωρ ψυχρὸν ὑπόκειται.
5. Ποιητικὸν δὲ τὸ ψυχρὸν ὡς φθαρτικὸν ἢ ὡς κατὰ συμβεβη- 5

Quare cum res omnis definita atque consistens vel mollis vel dura sit, concretionisque opera evadat eius modi, nulla composita definitaque corpora sine concretione esse queunt. Ergo de concretione dicendum. 2. Duae igitur circa materiam causae sunt, id quod agendi facultatem obtinet et affectus ipse; hic ut species ac forma, illud ut id a quo proficiscitur pendetque motus. Quare et concretionis et dissolutionis et adsiccationis et humectationis causae totidem erunt. 3. Porro agens duplici potentia agit, et patiens duabus itidem patitur affectionibus, uti dictum est. Nam agens calore agit et frigore: at caloris frigorisve aut absentia aut praesentia passionem fieri constat. 4. Sed cum concretio ferme sit adsiccatio, de hac prius dicamus. Quod itaque patitur, aut humidum aut siccum aut ex utroque conflatum est: atque aquam humidi, terram sicci corpus esse statuimus, quippe quae inter humida et sicca maxime sint passiva. Quocirca et frigus magis passivorum est: in his enim inest, quandoquidem aërem et aquam frigida esse supponimus. 5. At frigus activum est, quatenus corrumpere aut aliud quidpiam per accidens efficere potest, quemadmodum supra

κός, καθάπερ εἴρηται πρότερον· ἐνίοτε γὰρ καὶ κάειν λέγεται
καὶ θερμαίνειν τὸ ψυχρόν, οὐχ ὡς τὸ θερμόν, ἀλλὰ τῷ συνάγειν
6 ἢ ἀντιπεριϊστάναι τὸ θερμόν. 6. Ξηραίνεται δὲ ὅσα ἐστὶν
ὕδωρ καὶ ὕδατος εἴδη, ἢ ἔχει ὕδωρ εἴτ' ἐπακτὸν εἴτε συμφυές.
λέγω δ' ἐπακτὸν μὲν οἷον ἐν ἐρίῳ, σύμφυτον δ' οἷον ἐν γάλακτι.
7 7. Ὕδατος δ' εἴδη τὰ τοιάδε, οἶνος, οὖρον, ὀρρός, καὶ ὅλως
ὅσα μηδεμίαν ἢ βραχεῖαν ἔχει ὑπόστασιν, μὴ διὰ γλισχρότητα·
ἐνίοις μὲν γὰρ αἴτιον τοῦ μὴ ὑφίστασθαι μηθὲν ἡ γλισχρότης,
8 ὥσπερ ἐλαίῳ ἢ πίττῃ. 8. Ξηραίνεται δὲ πάντα ἢ θερμαινόμενα
ἢ ψυχόμενα, ἀμφότερα δὲ θερμῷ, καὶ ὑπὸ τῆς ἐντὸς θερμό-
τητος ἢ τῆς ἔξω· καὶ γὰρ τὰ τῇ ψύξει ξηραινόμενα, ὥσπερ
ἱμάτιον, ἐὰν ᾖ κεχωρισμένον αὐτὸ καθ' αὑτὸ τὸ ὑγρόν, ὑπὸ
τοῦ ἐντὸς θερμοῦ συνεξατμίζοντος τὸ ὑγρὸν ξηραίνεται, ἂν
ὀλίγον ᾖ τὸ ὑγρόν, ἐξιούσης τῆς θερμότητος ὑπὸ τοῦ περιεστῶ-
9 τος ψυχροῦ. 9. Ξηραίνεται μὲν οὖν, ὥσπερ εἴρηται, ἅπαντα
ἢ θερμαινόμενα ἢ ψυχόμενα, καὶ πάντα θερμῷ, ἢ τῷ ἐντὸς ἢ
τῷ ἐκτὸς συνεξατμίζοντι τὸ ὑγρόν. λέγω δ' ἐκτὸς μέν, ὥσπερ τὰ

dictum est. Nam interdum et urere et excalefacere dicitur, non tamen perinde ut calor, sed quia calorem cogit et in idem contrahit aut eidem circumobsistit. 6. Quae autem aqua aut aquae sunt species, aut aquam sive adventitiam habent sive insitam, siccescunt. Adventitiam autem voco eam, quae in lanam sese insinuat, insitam quam humor habet lactis. 7. Aquae vero species sunt huius modi, vinum, urina, serum et omnino quaecunque nullum aut certe exiguum sedimen, nec id tenacitatis ratione habent. Nam tenacitas causa est, ut quibusdam nihil subsideat; id quod oleo ac pici accidit. 8. Siccescunt autem omnia, dum aut calefiunt aut refrigerantur: utrumque tamen calor efficit vel internus vel externus. Etenim quae frigore siccescunt veluti vestis, quandoquidem, cum humida est, seorsim ipsa per se maneat, ab interiori calore humorem secum educente resiccantur, si humor exiguus sit, calore ob circumfusum frigus egrediente. 9. Siccescunt igitur universa, dum vel calefiunt vel refrigerantur, quae omnia calore vel interno vel externo humorem secum educente fiunt: externo, ut cum

ἑψόμενα, ἐντὸς δέ, ὅταν ἀφαιρεθέντος ὑφ᾽ ἧς ἔχει θερμότητος ἀναλωθῇ ἀποπνεούσης. περὶ μὲν οὖν τοῦ ξηραίνεσθαι εἴρηται.

1 VI. Τὸ δ᾽ ὑγραίνεσθαί ἐστιν ἓν μὲν τὸ ὕδωρ γίνεσθαι συνιστάμενον, ἓν δὲ τὸ τήκεσθαι τὸ πεπηγός· τούτων δὲ συνίσταται μὲν ψυχόμενον τὸ πνεῦμα· περὶ δὲ τήξεως ἅμα καὶ πήξεως ἔσται δῆλον.
2 2. Πήγνυται δὲ ὅσα πήγνυται ἢ ὕδατος ὄντα ἢ γῆς καὶ ὕδατος καὶ ταῦτα ἢ θερμῷ ξηρῷ ἢ ψυχρῷ. διὸ καὶ λύεται τοῖς ἐναντίοις ὅσα λύεται τῶν ὑπὸ θερμοῦ παγέντων ἢ ὑπὸ ψυχροῦ· τὰ μὲν γὰρ ὑπὸ ξηροῦ θερμοῦ παγέντα ὑπὸ ὕδατος λύεται, ὅ ἐστιν ὑγρὸν ψυχρόν, τὰ δὲ ὑπὸ ψυχροῦ παγέντα ὑπὸ πυρὸς λύεται, ὅ ἐστι θερμόν. πήγνυσθαι δ᾽ ἔνια δόξειεν ἂν ὑπὸ ὕδατος, οἷον τὸ μέλι τὸ ἑφθόν· πήγνυται δ᾽ οὐχ ὑπὸ τοῦ ὕδατος, ἀλλ᾽ ὑπὸ τοῦ ἐν αὐτῷ ψυχροῦ.
3 3. Ὅσα μὲν οὖν ἐστιν ὕδατος, οὐ πήγνυται ὑπὸ πυρός. λύεται γὰρ ὑπὸ πυρός, τὸ δ᾽ αὐτὸ τῷ αὐτῷ κατὰ ταὐτὸ οὐκ ἔστιν αἴτιον τοῦ ἐναντίου. ἔτι τῷ ἀπιέναι τὸ θερμὸν πήγνυται, ὥστε δῆλον ὅτι τῷ εἰσιέναι λυθήσεται· ὥστε ποιοῦντος τοῦ ψυχροῦ πήγνυται.

humor a calore quem in sese continet respirante eximitur absumiturque. Dictum est igitur de adsiccatione.

Cap. VI. At humectatio uno quidem modo accidit, cum quid in aquam consistit, altero, cum id eliquatur, quod prius concreverat. Horum autem est spiritus, qui frigore densatur. De eliquatione autem pariter atque concretione perspicuum fiet. 2 Quaecunque autem concrescunt, ea omnia, quum aut ad aquam aut ad terram et aquam spectent, concrescunt, idque vel calore sicco vel frigore. Quocirca etiam quaecunque calore vel frigore concreta solvuntur, contrariis solvi solent. Nam quae calore sicco concrevere, aqua solvuntur, quae humor algidus est; quae vero frigore igni, qui calidus est. At nonnulla aquae ope concrescere videntur: quod genus est mel decoctum: verum id non ab aqua sed a frigore aquae indito provenit. 3. Quae igitur ad aquam spectant, fervore ignis concrescere nequeunt: nam ab igne solvuntur: idem autem eidem secundum idem contrarii causa non est. Ad haec quia calor egreditur, res concrescunt, unde fit, ut quia ingreditur, reso-

4 4. *Διὸ οὐ παχύνεται τὰ τοιαῦτα πηγνύμενα· ἡ γὰρ πάχυνσις
ὑγροῦ μὲν ἀπιόντος γίνεται, τοῦ ξηροῦ δὲ συνισταμένου· ὕδωρ
5 δὲ τῶν ὑγρῶν οὐ παχύνεται μόνον.* 5. *Ὅσα δὲ κοινὰ γῆς
καὶ ὕδατος, καὶ ὑπὸ πυρὸς πήγνυται καὶ τοῦ ψυχροῦ, παχύ-
νεται δ' ὑπ' ἀμφοῖν, ἔστι μὲν ὡς τὸν αὐτὸν τρόπον, ἔστι δ'
ὡς ἄλλως, ὑπὸ μὲν θερμοῦ τὸ ὑγρὸν ἐξάγοντος (ἐξατμίζοντος
γὰρ τοῦ ὑγροῦ παχύνεται τὸ ξηρὸν καὶ συνίσταται), ὑπὸ δὲ
τοῦ ψυχροῦ τὸ θερμὸν ἐκθλίβοντος, μεθ' οὗ τὸ ὑγρὸν συν-
6 απέρχεται συνεξατμίζον.* 6. *Ὅσα μὲν οὖν μαλακὰ ἀλλὰ μὴ
ὑγρὰ, οὐ παχύνεται ἀλλὰ πήγνυται ἐξιόντος τοῦ ὑγροῦ, οἷον
ὁ ὀπτώμενος κέραμος· ὅσα δὲ ὑγρὰ τῶν μικτῶν, καὶ παχύ-
7 νεται, οἷον γάλα.* 7. *Πολλὰ δὲ καὶ ὑγραίνεται πρῶτον, ὅσα
ἢ παχέα ἢ σκληρὰ ὑπὸ ψυχροῦ προϋπῆρχεν ὄντα, ὥσπερ καὶ
ὁ κέραμος τὸ πρῶτον ὀπτώμενος ἀτμίζει καὶ μαλακώτερος
8 γίνεται· διὸ καὶ διαστρέφεται ἐν τοῖς καμίνοις.* 8. *Ὅσα μὲν
οὖν ὑπὸ ψυχροῦ πήγνυται τῶν κοινῶν γῆς καὶ ὕδατος, πλεῖον*

lutionem fieri constet. Quare agente frigore res concrescunt cogunturque. 4. Quocirca eius modi omnia concrescunt, haudquaquam spissari solent. Nam cum partes humidae evanescunt et siccae coagmentantur, spissatio oboritur. Sola autem ex humidorum genere aqua non spissatur. 5. At quae terrae et aquae communia sunt, tam igne quam frigore concrescunt, atque ab utroque spissantur, quod partim eodem modo partim diverso fit: a calore quidem, qui humorem educit (nam evaporante humore pars arida spissatur atque consistit), a frigore vero, quod calorem exprimit atque discutit, quocum evaporans simul humor abit. 6. Quaecunque igitur mollia sunt, sed non liquida, abeunte humore non spissantur sed concrescunt, ut fictile coctum. At e mistorum numero quaecunque liquida sunt, ceu lac, spissantur. 7. Pleraque autem et humefiunt prius, quae frigus ante spissa durave reddiderat, quemadmodum et fictile dum coquitur, primum evaporat atque molliusculum redditur, ob idque in fumis pervertitur. 8. Ex iis igitur, quae cum aquae et terrae communia sint, plus tamen terrae habeant, frigoris opera concrescunt; quae ideo concrescere solent, quod

δὲ ἐχόντων γῆς, τὰ μὲν τῷ τὸ θερμὸν ἐξεληλυθέναι πηγνύ-
μενα, ταῦτα τήκεται θερμῷ εἰσιόντος πάλιν τοῦ θερμοῦ, οἷον
ὁ πηλὸς ὅταν παγῇ· ὅσα δὲ διὰ ψύξιν, καὶ τοῦ θερμοῦ συν-
εξατμίσαντος ἅπαντος, ταῦτα δὲ ἄλυτα μὴ ὑπερβαλλούσῃ θερ-
μότητι, ἀλλὰ μαλάττεται, οἷον σίδηρος καὶ κέρας. 9. Τήκε- 9
ται δὲ καὶ ὁ εἰργασμένος σίδηρος, ὥστε ὑγρὸς γίνεσθαι καὶ
πάλιν πήγνυσθαι. καὶ τὰ στομώματα ποιοῦσιν οὕτως. ὑφίστα-
ται γὰρ καὶ ἀποκαθαίρεται κάτω ἡ σκωρία· ὅταν δὲ πολλάκις
πάθῃ καὶ καθαρὸς γένηται, τοῦτο στόμωμα γίνεται. 10. Οὐ 10
ποιοῦσι δὲ πολλάκις αὐτὸ διὰ τὸ ἀπουσίαν γίνεσθαι πολλὴν
καὶ τὸν σταθμὸν ἐλάττω ἀποκαθαιρομένου. ἔστι δ' ἀμείνων
σίδηρος ὁ ἐλάττω ἔχων ἀποκάθαρσιν. 11. Τήκεται δὲ καὶ ὁ 11
λίθος ὁ πυρίμαχος ὥστε στάζειν καὶ ῥεῖν· τὸ δὲ ῥέον, ὅταν
πηχθῇ, πάλιν γίνεται σκληρόν. καὶ αἱ μύλαι τήκονται ὥστε
ῥεῖν. τὸ δὲ ῥέον πηγνύμενον τὸ μὲν χρῶμα μέλαν, ὅμοιον δὲ
γίνεται τῇ τιτάνῳ. τήκονται δὲ καὶ ὁ πηλὸς καὶ ἡ γῆ. 12. Ὅσα 12

calor egrediatur; ea calore liquefiunt, eodem rursum ingrediente, veluti lutum, ubi in gelu concrevit. Quae autem ob refrigerationem, et quia simul universus calor evaporavit, concrescunt, ea solvi nonnisi caloris exsuperantia queunt, sed mollescere solent, ut cornu atque ferrum. 9. Liquefit autem ferrum quoque elaboratum, adeo ut liquidum reddatur et rursum concrescat. Nec secus chalybem faciunt: ferri namque faex innatat atque demitur, ut sincerius ferrum fiat. Ubi autem saepe defaecatum fuit ac purum mundumque evasit, fit chalybs. 10. Sed id nequaquam saepenumero agunt, propterea quod dum depurgatur, substantiae plurimum defluit libramentumque minus efficitur. At ferrum eo praestantius est, quo minus habet excrementi. 11. Item et lapis ille, quem pyrimachum vocant, in tantum eliquatur, ut stillet fluatque. Quod autem fluxerat, ubi concreverit, rursum durescere solet. Quin etiam lapides molares adeo colliquescant ut diffluant. Caeterum dum id quod concreverat fluit, tametsi calore est atro, calcis tamen in modum albicat. Porro tam terra, quam lutum liquefieri possunt. 12. Eorum autem, quae calore arido coguntur,

δ' ὑπὸ θερμοῦ ξηροῦ πήγνυται, τὰ μὲν ἄλυτα, τὰ δὲ λυτὰ
ὑγρῷ. κέραμος μὲν οὖν καὶ λίθων ἐνίων γένη, ὅσοι ὑπὸ πυρὸς
τῆς γῆς συγκαυθείσης γίνονται, οἷον οἱ μυλίαι, ἄλυτα, νίτρον
13 δὲ καὶ ἅλες λυτὰ ὑγρῷ, οὐ παντὶ δὲ ἀλλὰ ψυχρῷ. 13. Διὸ
ὕδατι καὶ ὅσα ὕδατος εἴδη τήκονται, ἐλαίῳ δ' οὐ τήκεται· τῷ
γὰρ ξηρῷ θερμῷ ἐναντίον ψυχρὸν ὑγρόν. εἰ οὖν ἔπηξε θάτε-
ρον, θάτερον λύσει· οὕτω γὰρ τἀναντία ἔσται αἴτια τῶν
ἐναντίων.

1 VII. *Παχύνεται* μὲν οὖν ὑπὸ πυρὸς μόνον, ὅσα ὕδατος
πλεῖον ἔχει ἢ γῆς, πήγνυται δέ, ὅσα γῆς. διὸ καὶ τὸ νίτρον
2 καὶ οἱ ἅλες γῆς εἰσὶ μᾶλλον, καὶ λίθος καὶ κέραμος. 2. Ἀπο-
ρώτατα δ' ἔχει ἡ τοῦ ἐλαίου φύσις. εἰ μὲν γὰρ ὕδατος ἔχει
πλέον, ἔδει πήγνυσθαι ὑπὸ ψυχροῦ, ὡς οἱ πάγοι, εἰ δὲ γῆς
πλεῖον, ὑπὸ πυρός, ὡς ὁ κέραμος· νῦν δὲ πήγνυται μὲν ὑπ'
3 οὐδετέρου, παχύνεται δ' ὑπ' ἀμφοῖν. 3. Αἴτιον δ' ἐστίν, ὅτι
ἀέρος ἐστὶ πλῆρες. διὸ καὶ ἐν τῷ ὕδατι ἐπιπολάζει· καὶ γὰρ ὁ
ἀὴρ φέρεται ἄνω. τὸ μὲν οὖν ψυχρὸν ἐκ τοῦ ἐνόντος πνεύματος

quaedam humoris vi solvi nequeunt, quaedam queunt. Fictile igitur et nonnulla lapidum genera, qui terra fervore ignis deusta fiunt, veluti molae, solutionem haudquaquam admittunt: at sal atque nitrum humore solvuntur, non tamen quolibet, sed algido. 13. Et idcirco aqua et aquae generibus omnibus eliquantur; oleo non eliquantur. Nam calori sicco frigus humidum adversatur. Ergo si alterum cogit, resolvet alterum. Ita enim contrariorum effectuum contrariae erunt causae.

Cap. VII. Quae igitur plus aquae habent, quam terrae, igni solummodo spissantur, quae vero terrae, concrescunt. Quocirca nitrum, sal, lapis et fictile ad terram potius quam ad aquam spectant. 2. Olei autem natura perquam ambigua est. Nam si plus haberet aquae, ut a frigore glaciei modo cogeretur, oporteret: sin vero terrae, ab igni perinde ac fictile. Nunc autem a neutro cogi, sed ab utroque spissari videtur. 3. Cuius rei causa est, quod aëre sit refertum. Quapropter et aquae per summa insidet: etenim aër, quem continet, sursum versus effertur. Frigus igitur dum e spiritu, qui inter

ὕδωρ ποιοῦν παχύνει· ἀεὶ γάρ, ὅταν μιχθῇ ὕδωρ καὶ ἔλαιον,
ἀμφοῖν γίνεται παχύτερον. 4. Ὑπὸ δὲ πυρὸς καὶ χρόνου πα- 4
χύνεται καὶ λευκαίνεται, λευκαίνεται μὲν ἐξατμίζοντος εἴ τι
ἐνῆν ὕδατος, παχύνεται δὲ διὰ τὸ μαραινομένου τοῦ θερμοῦ
ἐκ τοῦ ἀέρος γίνεσθαι ὕδωρ. 5. Ἀμφοτέρως μὲν οὖν τὸ αὐτὸ 5
γίνεται πάθος, καὶ διὰ τὸ αὐτό, ἀλλ᾽ οὐχ ὡσαύτως. παχύνεται
μὲν οὖν ὑπ᾽ ἀμφοτέρων, ξηραίνεται δ᾽ ὑπ᾽ οὐδετέρου· οὔτε
γὰρ ὁ ἥλιος οὔ τε τὸ ψῦχος ξηραίνει· οὐ μόνον διότι γλίσχρον,
ἀλλὰ καὶ διότι ἀέρος ἐστίν. οὐ ξηραίνεται δὲ τὸ ἔλαιον οὐδ᾽
ἐξέψεται ὑπὸ πυρός, ὅτι οὐκ ἀτμίζει διὰ γλισχρότητα. 6. Ὅσα 6
δὲ μικτὰ ὕδατος καὶ γῆς, κατὰ τὸ πλῆθος ἑκατέρου ἄξιον λέ-
γεσθαι· οἶνος γάρ τις καὶ πήγνυται καὶ ἕψεται, οἷον τὸ γλεῦκος.
7. Ἀπέρχεται δ᾽ ἀπὸ πάντων τῶν τοιούτων ξηραινομένων τὸ 7
ὕδωρ. σημεῖον δ᾽ ὅτι τὸ ὕδωρ· ἡ γὰρ ἀτμὶς συνίσταται εἰς
ὕδωρ, ἐάν τις βούληται συλλέγειν. ὥστε ὅσοις λείπεταί τι,
τοῦτο γῆς. 8. Ἔνια δὲ τούτων καὶ ὑπὸ ψυχροῦ, ὥσπερ εἴρη- 8

oleum est, aquam elicit, oleum spissat. Semper enim ubi aqua et oleum permista fuerint, quidpiam utroque spissius oritur. 4. Ab igne autem tractuque temporis albescit crassescitque: albescit quidem aqueo humore, si quis insit, evaporante; crassescit vero, quod marcescente calore aër in aquae vicem transeat. 5. Utraque igitur ex parte atque eandem ob causam, verum non eodem modo eadem oritur affectio. Ergo opera utriusque spissatur, a neutro tamen adsiccatur, siquidem neque solis calor neque frigus oleum adsiccare potest, non modo quod tenax lentumque sit, sed etiam quod aëreae sortis. Oleum vero ab igne nec adsiccatur nec decoquitur, quod tenacitatis ratione in fumum evanescere nequeat. 6. Quae autem terra temperantur et aqua, ea iuxta utriusque copiam nuncupentur oportet. Est enim vini genus quoddam, quod concrescit ac decoquitur, ceu mustum. 7. Humor autem aqueus ab omnibus eius modi, dum inarescunt, exit. Aquam autem inesse indicium exstat: nam vapor, si quis eum colligere velit, in aquam consistit. Quare quibuscunque remanet aliquid, id terrenae sortis est. 8. Porro ex his nonnulla etiam frigoris

ται, παχύνεται καὶ ξηραίνεται· τὸ γὰρ ψυχρὸν οὐ μόνον πή-
γνυσι καὶ ξηραίνει, ἀλλὰ καὶ παχύνει· πήγνυσι καὶ ξηραίνει μὲν
τὸ ὕδωρ, παχύνει δὲ τὸν ἀέρα ὕδωρ ποιοῦν. ἡ δὲ πῆξις εἴρηται
9 ξηρασία τις οὖσα. 9. Ὅσα μὲν οὖν μὴ παχύνεται ὑπὸ τοῦ
ψυχροῦ, ἀλλὰ πήγνυται, ὕδατός ἐστι μᾶλλον, οἷον οἶνος καὶ
οὖρον καὶ ὄξος καὶ κονία καὶ ὀρρός· ὅσα δὲ παχύνεται μὴ
ἐξατμίζοντα ὑπὸ πυρός, τὰ μὲν γῆς, τὰ δὲ κοινὰ ὕδατος καὶ
10 ἀέρος, μέλι μὲν γῆς, ἔλαιον δ' ἀέρος. 10. Ἔστι δὲ καὶ τὸ
γάλα καὶ τὸ αἷμα ἀμφοῖν μὲν κοινὰ καὶ ὕδατος καὶ γῆς, μᾶλλον
δὲ τὰ πολλὰ γῆς, ὥσπερ καὶ ἐξ ὅσων ὑγρῶν νίτρον γίνεται καὶ
11 ἅλες. καὶ λίθοι δ' ἔκ τινων συνίστανται τοιούτων. 11. Διὸ
ἐὰν μὴ χωρισθῇ ὁ ὀρρός, ἐκκάεται ὑπὸ τοῦ πυρὸς ἑψόμενος.
τὸ δὲ γεῶδες συνίσταται καὶ ὑπὸ τοῦ ὀποῦ, ἐάν πως ἕψῃ τις,
12 οἷον οἱ ἰατροὶ ὀπίζοντες. 12. Οὕτω δὲ χωρίζεται ὁ ὀρρὸς καὶ ὁ
τυρός. ὁ δὲ χωρισθεὶς ὀρρὸς οὐκέτι παχύνεται, ἀλλὰ ἐκκάεται

vehementia, uti diximus, densantur assiccanturque: siquidem frigus non modo cogit et siccat, sed etiam incrassat. Cogit et siccat quidem aquam, incrassat autem aërem, quem in aquam commutat. Concretionem vero adsiccationem esse quandam diximus. 9. Quae igitur frigore spissari nequeunt, sed concrescunt, ad aquam potius spectant: quod genus sunt vinum, urina, acetum, lixivium, serum. At eorum, quae quamvis non evaporent, fervore tamen ignis crassescunt spissanturque, quaedam terrena sunt, quaedam communiter ad aërem et aquam pertinent, mel quidem ad terram, oleum vero ad aërem. 10. At lac et sanguis utrique aquae et terrae communia sunt, sed magna ex parte plus terrae continent, perinde ut et humores illi, unde sal atque natrum fiunt. Ex quibusdam autem talibus lapides constitui solent. 11. Quocirca serum nisi sequestratum sit, cum decoctionem subit, calore ignis deuritur. Terrena vero portio, si quis aliquantulum decoxerit, uti medici ingesto coagulo faciunt, vi coaguli in caseum densatur. 12. Atque hunc in modum a caseo serum sequestratur. Cum vero sequestratum est, haudquaquam praeterea crassescit, sed aquae modo deuritur. Quod si lac aliquod nihil aut parum habeat

ὥσπερ ὕδωρ. εἰ δέ τι μὴ ἔχει τυρὸν γάλα ἢ ὀλίγον, τοῦτο μᾶλ-
λον ὕδατος καὶ ἄτροφον. 13. Καὶ τὸ αἷμα ὁμοίως· πήγνυται 13
γὰρ τῷ ξηραίνεσθαι ψυχόμενον. ὅσα δὲ μὴ πήγνυται, οἷον τὸ
τῆς ἐλάφου, τὰ τοιαῦτα ὕδατος μᾶλλον, καὶ ψυχρότατα. διὸ
καὶ οὐκ ἔχει ἶνας· αἱ γὰρ ἶνές εἰσι γῆς καὶ στερεόν. ὥστε καὶ
ἐξαιρεθεισῶν οὐ πήγνυται. 14. Τοῦτο δ' ἔσται, ὅτι οὐ ξηραί- 14
νεται· ὕδωρ γὰρ τὸ λοιπόν, ὥσπερ τὸ γάλα τοῦ τυροῦ ἐξαιρε-
θέντος. σημεῖον δέ· τὰ νοσώδη γὰρ αἵματα οὐ θέλει πήγνυσθαι·
ἰχωροειδῆ γάρ, τοῦτο δὲ φλέγμα καὶ ὕδωρ διὰ τὸ ἄπεπτον εἶναι
καὶ ἀκράτητον ὑπὸ τῆς φύσεως. 15. Ἔτι δὲ τὰ μὲν λυτά ἐστιν, οἷον 15
νίτρον, τὰ δὲ ἄλυτα, οἷον κέραμος, καὶ τούτων τὰ μὲν μαλακτά,
οἷον κέρας, τὰ δὲ ἀμάλακτα, οἷον κέραμος καὶ λίθος. 16. Αἴ- 16
τιον δ', ὅτι τὰ ἐναντία τῶν ἐναντίων αἴτια, ὥστ' εἰ πήγνυται
δυοῖν, ψυχρῷ καὶ ξηρῷ, λύεσθαι ἀνάγκη θερμῷ καὶ ὑγρῷ.
17. Διὸ πυρὶ καὶ ὕδατι (ταῦτα γὰρ ἐναντία), ὕδατι μὲν ὅσα 17
πυρὶ μόνῳ, πυρὶ δὲ ὅσα ψυχρῷ μόνῳ· ὥστ' εἰ ὑπ' ἀμφοῖν συμ-

casei, ad aquam potius spectat, atque nullatenus alit. 13. Sanguis quoque haud secus habere sese videtur. Nam quia frigore siccescit, cogitur. At qui cogi nequit, ut cervorum, is ad aquam magis pertinet atque oppido quam frigidus habetur. Atque idcirco fibras habet nullas, quippe cum fibrae ad terram spectent, atque quod solidum est. Quare si etiam illae adimantur, sanguis concrescere nequit. 14. Quod ideo accidit, quia non siccet. Quod enim superest, id perinde atque lac caseo iam exempto aqua exsistit. Signum autem est, quod sanguis vitiatus concrescere non solet, quippe qui saniem prae se fert, quae non nisi pituitosus humor et aqueus est, quod cruda incoctaque et a natura non victa est. 15. Praeterea quaedam solubilia sunt, ut nitrum, quaedam insolubilia, ut fictile. Atque ex his alia mollescunt, ceu cornu, alia minime, veluti fictile et lapis. 16. Causa autem est, quia contrariorum contrariae sunt causae. Quare si res duobus, frigore ac siccitate, concrescunt, calore et humore solvantur necesse est. 17. Unde fit, ut igni et aqua solvantur (ea enim contraria sunt), aqua enim quae igni solo, igni vero quae fri-

18βαίνει πήγνυσθαι, ταῦτ' ἄλυτα μάλιστα. 18. *Γίνεται* δὲ τοι-
αῦτα ὅσα θερμανθέντα ἔπειτα τῷ ψυχρῷ πήγνυται· συμβαίνει
γάρ, ὅταν τὸ θερμὸν ἐξικμάσῃ ἐξιόν, τὸ πλεῖστον ὑγρὸν συν-
θλίβεσθαι πάλιν ὑπὸ τοῦ ψυχροῦ, ὥστε μηδ' ὑγρῷ διδόναι
19δίοδον. 19. *Καὶ* διὰ ταῦτα οὔτε τὸ θερμὸν λύει (ὅσα γὰρ
ὑπὸ ψυχροῦ πήγνυται μόνου, ταῦτα λύει), οὔθ' ὑπὸ ὕδατος
(ὅσα γὰρ ὑπὸ ψυχροῦ πήγνυται, οὐ λύει, ἀλλ' ὅσα ὑπὸ θερ-
20μοῦ ξηροῦ μόνον). 20. *Ὁ* δὲ σίδηρος τακεὶς ὑπὸ θερμοῦ
ψύχει πήγνυται, ὥστε πρὸς πῆξιν ἀμφοτέρων δεῖται· διὸ
ἄλυτον. τὰ δὲ ξύλα ἐστὶ γῆς καὶ ἀέρος· διὸ καυστὰ καὶ οὐ
τηκτὰ οὐδὲ μαλακτά, καὶ ἐπὶ τῷ ὕδατι ἐπιπλεῖ, πλὴν ἐβέ-
21νου. 21. *Αὕτη* δ' οὔ· τὰ μὲν γὰρ ἄλλα ἀέρος ἔχει πλεῖον,
ἐκ δὲ τῆς ἐβένου τῆς μελαίνης διαπέπνευκεν ὁ ἀήρ, καὶ ἔστι
22πλεῖον ἐν αὐτῇ γῆς. 22. *Κέραμος* δὲ γῆς μόνης διὰ τὸ ξηραι-
νόμενος παγῆναι κατὰ μικρόν. οὔτε γὰρ τὸ ὕδωρ εἰσόδους
ἔχει, δι' ὧν μόνον πνεῦμα ἐξῆλθεν, οὔτε πῦρ· ἔπηξε γὰρ

gore. Quare si qua ab ambobus cogi contingat, ea maxime insolubilia sunt. 18. Talia autem evadunt, quaecunque concalefacta prius frigore postea coguntur. Usu enim evenit, ut ubi calor exeundo exhaustus est, rursum humoris plurimum frigoris opera inculcetur, adeo ut ne humori quidem transitum frigus concedat. 19. Atque ob eam causam nec calor ea solvit (quae enim frigore solo concrescunt, haec calor solvit), nec aqua (nam quae frigus cogit, aqua non solvit, sed quae vi caloris aridi solummodo concrevere). 20. At ferrum caloris fervore colliquatum frigore concrescit. Quare utroque ut concrescat indigere conspicitur. Unde fit ut solvi nequeat. Ligna vero terrae sunt et aëris. Quare colliquari aut mollescere nequeunt, uri queunt. Item super aquam innatant omnia, praeterquam ebenus. 21. Quae minime invehitur. Nam caetera aëris plurimum continent: at aër ex ebeno atra respiravit, in qua et terrae maior quam aëris portio inest. 22. Fictile vero ad terram solummodo spectat, quod siccando paulatim concreverit. Quare nec aqua illud solvit (non enim aqua ingredi per foramina illa valet, per quae spiritus solum exivit)

αὐτό. 23. Τί μὲν οὖν ἐστὶ πῆξις καὶ τῆξις, καὶ διὰ πόσα 23
καὶ ἐν πόσοις ἐστίν, εἴρηται.

VIII. Ἐκ δὲ τούτων φανερόν, ὅτι ὑπὸ θερμοῦ καὶ 1
ψυχροῦ συνίσταται τὰ σώματα, ταῦτα δὲ παχύνοντα καὶ πη-
γνύντα ποιεῖται τὴν ἐργασίαν αὐτῶν. διὰ δὲ τὸ ὑπὸ τούτων
δημιουργεῖσθαι ἐν ἅπασι μέν ἐστι θερμότης, τισὶ δὲ καὶ ψυ-
χρότης ᾗ ἐκλείπει. ὥστ᾽ ἐπεὶ ταῦτα μὲν ὑπάρχει διὰ τὸ ποιεῖν,
ὑγρὸν δὲ καὶ ξηρὸν διὰ τὸ πάσχειν, μετέχειν αὐτῶν τὰ κοινὰ
πάντων. 2. Ἐκ μὲν οὖν ὕδατος καὶ γῆς τὰ ὁμοιομερῆ σώματα 2
συνίσταται, καὶ ἐν φυτοῖς καὶ ζῴοις, καὶ τὰ μεταλλευόμενα,
οἷον χρυσὸς καὶ ἄργυρος καὶ ὅσα ἄλλα τοιαῦτα, ἐξ αὐτῶν τε
καὶ τῆς ἀναθυμιάσεως τῆς ἑκατέρου ἐγκατακλειομένης, ὥσπερ
εἴρηται ἐν ἄλλοις. 3. Ταῦτα δὲ διαφέρει ἀλλήλων τοῖς τε πρὸς 3
τὰς αἰσθήσεις ἰδίοις ἅπαντα καὶ τῷ ποιεῖν τι δύνασθαι (λευκὸν
γὰρ καὶ εὐῶδες καὶ ψοφητικὸν καὶ γλυκὺ καὶ θερμὸν καὶ ψυχρὸν
τῷ ποιεῖν τι δύνασθαι τὴν αἴσθησίν ἐστι) καὶ ἄλλοις οἰκειοτέ-
ροις πάθεσιν, ὅσα τῷ πάσχειν λέγονται, λέγω δ᾽ οἷον τὸ τηκτὸν
καὶ πηκτὸν καὶ καμπτὸν καὶ ὅσα ἄλλα τοιαῦτα· πάντα γὰρ τὰ

nec ignis: nam eius opus concretio illa. 23. Quid igitur sit concretio et eliquatio, quotque ob causas eveniant, et quibus competere possint, dictum est.

Cap. VIII. Ex his autem per calorem ac frigus consistere corpus omne in aperto est. Haec autem spissando et cogendo suo funguntur munere. Atque propterea, quod ab his caetera conficiuntur, omnibus in rebus calor inest; in quibusdam etiam frigus, quatenus ille deficit. Quare quum calor ac frigus quod agant, et humor atque ariditas quod patiuntur, corporibus insint, quae communia sunt, haec omnia participant. 2. Similaria igitur corpora tum in plantis tum in animantibus terra et aqua constant: item metallica, ceu aurum, argentum et caetera id genus, tum ipsis tum exhalatione, quae ab utroque dimanat interclusa, ut alias diximus, constant. 3. Porro haec omnia et peculiari affectione, quae ad sensus pertineat, et agendi quippiam facultate inter se discrepant. Nam candidum, odorum, sonorum, dulce, calidum et frigidum, quod sensum mo-

4 τοιαῦτα παθητικά, ὥσπερ τὸ ὑγρὸν καὶ τὸ ξηρόν. 4. Τού-
τοις δὴ διαφέρει ὀστοῦν καὶ σὰρξ καὶ νεῦρον καὶ ξύλον καὶ
φλοιὸς καὶ λίθος καὶ τῶν ἄλλων ἕκαστον τῶν ὁμοιομερῶν
5 φυσικῶν δὲ σωμάτων. 5. Εἴπωμεν δὲ πρῶτον τὸν ἀριθμὸν
6 αὐτῶν, ὅσα κατὰ δύναμιν καὶ ἀδυναμίαν λέγεται. 6. Ἔστι δὲ
τάδε· πηκτὸν ἄπηκτον, τηκτὸν ἄτηκτον, μαλακτὸν ἀμάλακτον,
τεγκτὸν ἄτεγκτον, καμπτὸν ἄκαμπτον, κατακτὸν ἀκάτακτον,
θραυστὸν ἄθραυστον, θλαστὸν ἄθλαστον, πλαστὸν ἄπλαστον,
πιεστὸν ἀπίεστον, ἑλκτὸν ἄνελκτον, ἐλατὸν ἀνήλατον, σχιστὸν
ἄσχιστον, τμητὸν ἄτμητον, γλίσχρον ψαθυρόν, πιλητὸν ἀπί-
7 λητον, καυστὸν ἄκαυστον, θυμιατὸν ἀθυμίατον. 7. Τὰ μὲν
οὖν πλεῖστα σχεδὸν τῶν σωμάτων τούτοις διαφέρει τοῖς πά-
θεσιν· τίνα δ' ἕκαστον τούτων ἔχει δύναμιν, εἴπωμεν. περὶ
μὲν οὖν πηκτοῦ καὶ ἀπήκτου καὶ τηκτοῦ καὶ ἀτήκτου εἴρηται
μὲν καθόλου πρότερον, ὅμως δ' ἐπανέλθωμεν καὶ νῦν.
8 8. Τῶν γὰρ σωμάτων ὅσα πήγνυται καὶ σκληρύνεται, τὰ μὲν

vere ac irritare queant, in ratione rerum sunt. Qnae vero ex eo nomen sortita sunt quod patiantur ceu eliquabile, concretile, flexile et reliqua id genus omnia, per alias magis peculiares affectiones sunt: cuncta namque eius modi perinde atque humidum aridumque passiva sunt. 4. Itaque os, caro, nervus, lignum, cortex, lapis et caetera corpora similaria quidem sed naturalia, his differunt. 5. Primo autem dicamus numerum eorum, quae iuxta potentiam ac potentiae privationem dicuntur. 6. Sunt autem haec: concretile, inconcretile; eliquabile, ineliquabile; mollificabile, immollificabile; humectabile, inhumectabile; flexile, inflexile; fractile, infractile; friabile, infriabile; impressile, inimpressile; formatile, informatile; pressatile, impressatile; tractile, intractile; ductile, inductile; fissile, infissile; sectile, insectile; tenax, remittens; densatile, indensatile; combustile, incombustile; exhalabile, inexhalabile. 7. Plurima igitur corporum his ferme differunt affectibus; quam autem quodque horum vim habeat, edisseramus. Itaque de concretili et inconcretili, et eliquabili et ineliquabili, tametsi prius generatim dictum est, tamen nunc quoque dicere aggrediamur. 8. Nam

ὑπὸ θερμοῦ πάσχει τοῦτο, τὰ δ' ὑπὸ ψυχροῦ, ὑπὸ μὲν τοῦ
θερμοῦ ξηραίνοντος τὸ ὑγρόν, ὑπὸ δὲ τοῦ ψυχροῦ ἐκθλί-
βοντος τὸ θερμόν. 9. Ὥστε τὰ μὲν ὑγροῦ ἀπουσίᾳ τὰ δὲ 9
θερμοῦ τοῦτο πάσχει, ὅσα μὲν ὕδατος, θερμοῦ, ὅσα δὲ γῆς,
ὑγροῦ. τὰ μὲν οὖν ὑγροῦ ἀπουσίᾳ ὑπὸ ὑγροῦ διατήκεται, ἂν
μὴ οὕτω συνέλθῃ ὥστ' ἐλάττους τοὺς πόρους λειφθῆναι τῶν
τοῦ ὕδατος ὄγκων, οἷον ὁ κεραμός· ὅσα δὲ μὴ οὕτω, πάντα
ὑγρῷ τήκεται, οἷον νίτρον, ἅλες, γῆ ἡ ἐκ πηλοῦ. 10. Τὰ δὲ 10
θερμοῦ στερήσει ὑπὸ θερμοῦ τήκεται, οἷον κρύσταλλος, μο-
λίβδος, χαλκός. ποῖα μὲν οὖν πηκτὰ καὶ τηκτά, εἴρηται, καὶ
ποῖα ἄτηκτα. 11. Ἄπηκτα δὲ ὅσα μὴ ἔχει ὑγρότητα ὑδατώδη, 11
μηδ' ὕδατός ἐστιν, ἀλλὰ πλεῖον θερμοῦ καὶ γῆς, οἷον μέλι
καὶ γλεῦκος (ὥσπερ ζέοντα γάρ ἐστι), καὶ ὅσα ὕδατος μὲν
ἔχει, ἔστι δὲ πλεῖον ἀέρος, ὥσπερ τὸ ἔλαιον καὶ ἄργυρος
χυτός, καὶ εἴ τι γλίσχρον, οἷον ἰξὸς καὶ πίττα.

ex corporibus, quae concrescunt atque durescunt, quaedam fervore caloris, quaedam frigore, illo quidem humorem exsiccante, hoc vero calorem extrudente, ita affici solent. 9. Quare alia humoris absentia alia caloris hocce patiuntur, aquea quidem caloris, terrea vero humoris. Quae igitur humoris absentia, ea liquefacere humor potest, nisi adeo sese collegerint coierintque, ut minora partibus aquae foramina relicta sint; id quod fictili accidit. Quaecunque autem non ita coierunt, humore liquantur ceu nitrum, sal, terra e coeno orta. 10. At quae caloris privatione, calore deliquescunt, ut glacies, plumbum, aes. Quae igitur sint contretilia et eliquabilia et ineliquabilia dictum est. 11. Inconcretilia autem sunt, quaecunque nec humorem habent aquosum, nec aqueae sortis sunt, sed terrae plus calorisque continent, uti mel atque vinum passum, quippe quae veluti ferventia sint. Item quaecunque aquea quidem sunt, sed aëris plus continent, perinde ac oleum, argentum vivum; et si quid tenax lentumque est, veluti viscum et pix.

1 IX. Μαλακτὰ δ' ἐστὶ τῶν πεπηγότων ὅσα μὴ ἐξ ὕδατος,
οἷον κρύσταλλος (πᾶς γὰρ κρύσταλλος ὕδατος), ἀλλ' ὅσα γῆς
μᾶλλον, καὶ μήτ' ἐξίκμασται πᾶν τὸ ὑγρὸν ὥσπερ ἐν νίτρῳ
ἢ ἁλσί, μήτ' ἔχει ἀνωμάλως ὥσπερ ὁ κέραμος, ἀλλ' εἰσὶν
ἑλκτὰ μὴ ὄντα διαντά, ἢ ἐλατὰ μὴ ὄντα ὕδατος *), καὶ μα-
2 λακτὰ πυρί, οἷον σίδηρος καὶ κέρας καὶ ξύλα. 2. Ἔστι δὲ καὶ
τῶν τηκτῶν καὶ τῶν ἀτήκτων τὰ μὲν τεγκτὰ τὰ δὲ ἄτεγκτα,
οἷον χαλκὸς ἄτεγκτον, πηκτὸν ὄν, ἔριον δὲ καὶ γῆ τεγκτόν.
βρέχεται γάρ· καὶ χαλκὸς μὲν δὴ τηκτόν, οὐχ ὑπὸ ὕδατος δὲ
3 τηκτόν. 3. Ἀλλὰ καὶ τῶν ὑπὸ ὕδατος τηκτῶν ἔνια ἄτεγκτα,
οἷον νίτρον καὶ ἅλες· οὐδὲ γὰρ ἄλλο τεγκτὸν οὐδέν, ὃ μὴ
μαλακώτερον γίνεται βρεχόμενον. ἔνια δὲ τεγκτὰ ὄντα οὐ
4 τηκτά ἐστιν, οἷον ἔριον καὶ οἱ καρποί. 4. Ἔστι δὲ τεγκτὰ
μὲν ὅσα γῆς ὄντα ἔχει τοὺς πόρους μείζους τῶν τοῦ ὕδατος

Cap. IX. Mollificabilia autem sunt, quaecunque concreta non ex aqua constant ut crystallus (omnis enim crystallus aquae est), sed quaecunque ad terram potius spectant, et nec eorum humor universus perinde ac in sale nitrove assiccatus est, nec inaequabiliter ut in fictili se habet, sed tractilia sunt et non humectatilia, aut ductilia et non aquea, atque ignis opera ac fervore mollificabilia, ut ferrum, cornu, lignum. 2. Et eliquabilium et ineliquabilium quaedam humectatilia sunt, quaedam inhumectatilia. Verbi causa aes inhumectatile est, cum eliquabile sit, lana vero et terra humectatilis: nam madefit. Et quidem aes colliquabile est, non tamen ab aqua colliquari potest. 3. Sed et eorum, quae aqua liquari queunt, nonnulla inhumectatilia sunt, ceu nitrum atque sal: nec enim quicquam humectatile est, quod cum aqua inspergitur, molliusculum non fiat. Nonnulla autem, cum humectatilia sint, eliquabilia non sunt, ut lana atque fructus. 4. Caeterum humectatilia quidem sunt, quae cum terrena sint et aqua duriora,

---

*) Verba *μὴ ὄντα ὕδατος* ac deinde *καὶ ξύλα* delenda videntur. Vid. Comment. ad h. l.

ὄγκων, ὄντων δὲ σκληροτέρων τοῦ ὕδατος. τηκτὰ δὲ ὕδατι ὅσα
δι' ὅλου. 5. Διὰ τί δ' ἡ μὲν γῆ καὶ τήκεται καὶ τέγγεται 5
ὑπὸ τοῦ ὑγροῦ, τὸ δὲ νίτρον τήκεται μέν, τέγγεται δ' οὔ;
ὅτι ἐν μὲν τῷ νίτρῳ δι' ὅλου οἱ πόροι, ὥστε γε διαιρεῖται
εὐθὺς ὑπὸ τοῦ ὕδατος τὰ μόρια, ἐν δὲ τῇ γῇ καὶ παραλλάξ
εἰσιν οἱ πόροι, ὥστε ὁποτέρως ἂν δέξηται, διαφέρει τὸ πάθος.
6. Ἔστι δὲ καὶ τὰ μὲν τῶν σωμάτων καμπτὰ καὶ εὐθυντά, 6
οἷον κάλαμος καὶ λύγος, τὰ δ' ἄκαμπτα τῶν σωμάτων, οἷον
κέραμος καὶ λίθος. 7. Ἔστι δὲ καμπτὰ μὲν καὶ εὐθυντά, 7
ὅσων σωμάτων τὸ μῆκος δύναται εἰς εὐθύτητα ἐκ περιφερείας
καὶ εὐθύτητος εἰς περιφέρειαν μεταβάλλειν, καὶ τὸ κάμπτεσθαι
καὶ τὸ εὐθύνεσθαί ἐστι τὸ εἰς εὐθύτητα ἢ περιφέρειαν μεθί-
στασθαι ἢ κινεῖσθαι· καὶ γὰρ τὸ ἀνακαμπτόμενον καὶ τὸ κα-
τακαμπτόμενον κάμπτεται. 8. Ἡ μὲν οὖν εἰς κυρτότητα ἢ 8
κοιλότητα κίνησις τοῦ μήκους σωζομένου κάμψις ἐστίν· εἰ γὰρ
καὶ εἰς τὸ εὐθύ, εἴη ἂν ἅμα κεκαμμένον καὶ εὐθύ· ὅπερ ἀδύ-
νατον, τὸ εὐθὺ κεκάμφθαι. 9. Καὶ εἰ κάμπτεται πᾶν ἢ ἀνα- 9

meatus ampliores quam partium aquae moles continent. Liquabilia vero aqua, quaecunque illos per totum commeatus habent. 5. Cur igitur terra humore eliquari atque humectari, nitrum vero eliquari non humectari potest? quia in nitro foramina continuata totum penetrant: unde fit ut aqua partes continuo dispescat. At in terra foramina variant, nec inter sese respondent; quare quoquo pacto aquam exceperit, diversa oritur affectio. 6. Porro corporum alia flexilia atque directilia sunt, ut arundo ac vimen, alia inflexilia, ut fictile atque lapis. 7. Flexilia autem atque directilia corpora sunt, quorum longitudo ex ambitu in rectum et e contrario e recto in ambitum permutari valet. Atque flecti et dirigi in rectum aut ambitum migrare atque transire est: etenim tam quod reflectitur quam quod inflectitur, flectitur curvaturque. 8. Flexio igitur est ad devexitatem aut concavitatem servata longitudine motio. Si enim flexio ad rectitudinem quoque transitus esset, idem simul flexum rectumque foret; quod fieri nequit, rectum in quam flexum esse. 9. Quod si omnino vel reflexu vel inflexu res flectuntur, quo-

*κάμψει ἢ κατακάμψει, τούτων δὲ τὸ μὲν εἰς τὸ κυρτὸν τὸ δ'
εἰς τὸ κοῖλον μετάβασις, οὐκ ἂν εἴη καὶ εἰς τὸ εὐθὺ κάμψις,
ἀλλ' ἔστι κάμψις καὶ εὔθυνσις ἄλλο καὶ ἄλλο. καὶ ταῦτά ἐστι*
10*καμπτὰ καὶ εὐθυντά, καὶ ἄκαμπτα καὶ ἀνεύθυντα.* 10. *Καὶ τὰ
μὲν κατακτὰ καὶ θραυστὰ ἅμα ἢ χωρίς, οἷον ξύλον μὲν κατακτόν,
θραυστὸν δ' οὔ, κρύσταλλος δὲ καὶ λίθος θραυστόν, κατακτὸν*
11*δ' οὔ, κέραμος δὲ καὶ θραυστὸν καὶ κατακτόν.* 11. *Διαφέρει δ',
ὅτι κάταξις μέν ἐστιν ἡ εἰς μεγάλα μέρη διαίρεσις καὶ χωρι-*
12*σμός, θραῦσις δ' ἡ εἴη τὰ τυχόντα καὶ πλείω δυοῖν.* 12. *Ὅσα
μὲν οὖν οὕτω πέπηγεν ὥστε πολλοὺς ἔχειν παραλλάττοντας
πόρους, θραυστά (μέχρι γὰρ τούτου διΐσταται), ὅσα δ' εἰς*
13*πολύ, κατακτά, ὅσα δ' ἄμφω, ἀμφότερα.* 13. *Καὶ τὰ μὲν
θλαστά, οἷον χαλκὸς καὶ κηρός, τὰ δ' ἄθλαστα, οἷον κέραμος
καὶ ὕδωρ. ἔστι δὲ θλάσις μὲν ἐπιπέδου κατὰ μέρος εἰς βάθος
μετάστασις ὤσει ἢ πληγῇ, τὸ δ' ὅλον ἁφῇ. ἔστι δὲ τὰ τοιαῦτα
καὶ μαλακτά, οἷον κηρὸς μένοντος τοῦ ἄλλου ἐπιπέδου κατὰ*

rum alterum ad convexum, alterum ad concavum migratio est, flexio ad rectum profectio esse non potest; sed aliud flexio, aliud directio est. Atque haec sunt flexilia et directilia, et inflexilia et indirectilia. 10. Item alia fractilia et friabilia, simul aut seorsim sunt. Verbi causa lignum fractile est, non friabile, crystallus autem et lapis friabilis, non fractilis: at fictile et fractile et friabile. 11. Differunt tamen: nam fractio in magnas partes divisio atque distractio est, friatio vero in quasvis sine discrimine, et quae duabus plures sint. 12. Quaecunque igitur ita concrevere, ut multis scateant foraminibus, quae directim posita non sint, friabilia sunt: haec enim fini inter se distant. Quae vero longe porrecta habent foramina, fractilia. Quibus autem utrumque competit, ea tam friabilia quam fractilia sunt. 13. Porro alia impressilia sunt, ut aes, cera: alia minime ut fictile, aqua. Est autem impressio superficiei introrsum migratio pulsione aut ictu, sed in totum tactu accidit. Sunt autem eius modi tam mollia, ceu cera, quae alia superficiei parte immota partim suffugit, quam dura ut aes. Item quae impressionem defugiunt, tum dura sunt, ut fictile (non enim superficies

μέρος μεθίσταται, καὶ σκληρά, οἷον χαλκός, καὶ ἄθλαστα καὶ
σκληρά, οἷον κέραμος (οὐ γὰρ ὑπείκει εἰς βάθος τὸ ἐπίπεδον),
καὶ ὑγρά, οἷον ὕδωρ (τὸ γὰρ ὕδωρ ὑπείκει μέν, ἀλλ᾽ οὐ κατὰ
μέρος, ἀλλ᾽ ἀντι μεθίσταται). 14. Τῶν δὲ θλαστῶν ὅσα 14
μὲν μένει θλασθέντα καὶ εὔθλαστα χειρί, ταῦτα μὲν πλαστά,
τὰ δὲ ἢ μὴ εὔθλαστα, ὥσπερ λίθος ἢ ξύλον, ἢ εὔθλαστα μέν,
μὴ μένει δὲ ἡ θλάσις, ὥσπερ ἐρίου ἢ σπόγγου, οὐ πλαστά,
ἀλλὰ πιεστὰ ταῦτ᾽ ἐστίν. 15. Ἔστι δὲ πιεστὰ ὅσα ὠθούμενα 15
εἰς αὑτὰ συνιέναι δύναται, εἰς βάθος τοῦ ἐπιπέδου παραλλάτ-
τοντος, οὐ διαιρουμένου, καὶ μεθισταμένου ἄλλου ἄλλῳ μορίου,
οἷον τὸ ὕδωρ ποιεῖ· τοῦτο γὰρ ἀντιμεθίσταται. 16. Ἔστι δ᾽ 16
ὦσις ἡ κίνησις ὑπὸ τοῦ κινοῦντος, ἣ γίνεται ἀπὸ τῆς ἅψεως·
πληγὴ δέ, ὅταν ἀπὸ τῆς φορᾶς. πιέζεται δὲ ὅσα πόρους ἔχει
κενοὺς συγγενοῦς σώματος. καὶ πιεστὰ ταῦτα ὅσα δύναται εἰς
τὰ ἑαυτῶν κενὰ συνιέναι ἢ εἰς τοὺς ἑαυτῶν πόρους. 17. Ἐνιότε 17
γὰρ οὐ κενοί εἰσιν εἰς οὓς συνέρχεται, οἷον ὁ βεβρεγμένος
σπόγγος (πλήρεις γὰρ αὐτοῦ οἱ πόροι), ἀλλ᾽ ὧν ἂν οἱ πόροι

refugit), tum liquida, velut aqua, quae cedit, at non secundum partem, sed ad rei prementis latera resilit. 14. Impressilium vero quaecunque facili manu imprimi queunt, manentque impressa, ea quidem formatilia sunt. At quae difficile lapidis modo vel ligni imprimuntur, aut facile quidem, sed impressio ceu lanae aut spongiae non remanet, haec formatilia non sunt, sed pressatilia. 15. Pressatilia autem sunt, quae pulsa colligere sese possunt, intro recedente superficie non distracta, neque alio demigrante parte alia; id quod aqua facit, quippe quae in sublime resilire solet. 16 Pulsio autem motio est ab eo quod movet orta, quae per tactum efficitur; ictus vero quae per delationem. Pressantur autem quaecunque cognati corporis vacuos meatus obtinent. Atque pressatilia ea sunt, quae in sua coire vacua aut foramina possunt. 17. Interdum enim foramina, in quae coëunt, vacua non sunt, id quod in madefacta spongia evenit (huius enim foramina inbibito humore distenduntur). At ea, quorum meatus corpore molliori, quam id ipsum quod suapte natura in eos coire potest, referti fuerint,

πλήρεις ὦσι μαλακωτέρων ἢ αὐτὸ τὸ πεφυκὸς συνιέναι εἰς αὐτά.
18πιεστὰ μὲν οὖν ἐστιν οἷον σπόγγος, κηρός, σάρξ. 18. Ἀπίεστα
δὲ τὰ μὴ πεφυκότα συνιέναι ὤσει εἰς τοὺς ἑαυτῶν πόρους διὰ
τὸ ἢ μὴ ἔχειν ἢ σκληροτέρων ἔχειν πλήρεις· ὁ γὰρ σίδηρος
9ἀπίεστος καὶ λίθος καὶ ὕδωρ καὶ πᾶν ὑγρόν. 19. Ἑλκτὰ δ'
ἐστὶν ὅσων δυνατὸν εἰς τὸ πλάγιον μεθίστασθαι τὸ ἐπίπεδον·
τὸ γὰρ ἕλκεσθαί ἐστι τὸ ἐπὶ τὸ κινοῦν μεθίστασθαι τὸ ἐπί-
πεδον συνεχὲς ὄν. ἔστι δὲ τὰ μὲν ἑλκτά, οἷον θρίξ, ἱμάς, νεῦ-
20ρον, σταίς, ἰξός, τὰ δ' ἄνελκτα, οἷον ὕδωρ καὶ λίθος. 20. Τὰ
μὲν οὖν ταὐτά ἐστιν ἑλκτὰ καὶ πιεστά, οἷον ἔριον, τὰ δ' οὐ
ταὐτά, οἷον φλέγμα πιεστὸν μὲν οὐκ ἔστιν, ἑλκτὸν δέ, καὶ ὁ
21σπόγγος πιεστὸν μέν, οὐχ ἑλκτὸν δέ. 21. Ἔστι δὲ καὶ τὰ μὲν
ἐλατά, οἷον χαλκός, τὰ δ' ἀνήλατα, οἷον λίθος καὶ ξύλον. ἔστι
δ' ἐλατὰ μὲν ὅσα τῇ αὐτῇ πληγῇ δύναται ἅμα καὶ εἰς πλάτος
καὶ εἰς βάθος τὸ ἐπίπεδον μεθίστασθαι κατὰ μέρος, ἀνήλατα
22δὲ ὅσα ἀδύνατα. 22. Ἔστι δὲ τὰ μὲν ἐλατὰ ἅπαντα καὶ
θλαστά, τὰ δὲ θλαστὰ οὐ πάντα ἐλατά, οἷον ξύλον· ὡς μέντοι

pressatilia sunt, ut spongia, lana, cera, caro. 18 Impressatilia vero quae pulsione in sua coire foramina per naturam nequeunt, aut quia aut nulla habeant, aut re duriore oppleta. Ferrum namque, lapis, aqua et liquidum quodcunque impressatilia sunt. 19. Tractilia vero sunt, quorum superficies in latus porrigi potest: trahi enim dicitur superficiem perpetuam versus id porrigi quod facultatem movendi obtinet. Sunt autem quaedam tractilia, veluti pilus, lorum, nervus, massa triticea, viscum; quaedam intractilia, quemadmodum lapis et aqua. 20. Quaedam igitur tractilia et pressatilia eadem sunt, ut lana: quaedam non sunt. Exempli gratia pituita pressatilis non est, sed tractilis, et spongia pressatilis, sed non tractilis. 21. Sunt porro quaedam etiam ductilia, ut aes, quaedam non ductilia, ut lapis atque lignum. Ductilia autem sunt, quorum superficies, haud tamen tota, in latum pariter atque profundum migrare eodem ictu potest; non ductilia, quorum non potest. 22 Porro ductilia omnia etiam impressilia sunt, at non omnia impressilia ductilia, ceu lignum, quod tamen ut in universum dicam, recurrit.

ἐπὶ πᾶν εἰπεῖν, ἀντιστρέφει. τῶν δὲ πιεστῶν τὰ μὲν ἐλατά, τα
δ᾽ οὔ· κηρὸς μὲν καὶ πηλὸς ἐλατά, ἔριον δ᾽ οὔ, οὐδ᾽ ὕδωρ.
23. Ἔστι δὲ καὶ τὰ μὲν σχιστά, οἷον ξύλον, τὰ δὲ ἄσχιστα, 23
οἷον κέραμος. 24. Ἔστι δὲ σχιστὸν τὸ δυνάμενον διαιρεῖσθαι 24
ἐπὶ πλεῖον ἢ τὸ διαιροῦν διαιρεῖ· σχίζεται γάρ, ὅταν ἐπὶ πλεῖον
ἢ τὸ διαιροῦν διαιρεῖ· σχίζεται γάρ, ὅταν ἐπὶ πλεῖον διαιρῆται
ἢ τὸ διαιροῦν διαιρεῖ, καὶ προηγεῖται ἡ διαίρεσις· ἐν δὲ τῇ
τμήσει οὐκ ἔστι τοῦτο. ἄσχιστα δ᾽ ὅσα μὴ δύναται τοῦτο
πάσχειν. 25. Ἔστι δ᾽ οὔτε μαλακὸν οὐδὲν σχιστόν (λέγω δὲ 25
τῶν ἁπλῶς μαλακῶν καὶ μὴ πρὸς ἄλληλα· οὕτω μὲν γὰρ καὶ
σίδηρος ἔσται μαλακός), οὔτε τὰ σκληρὰ πάντα ἐστί, ἀλλ᾽ ὅσα
μήθ᾽ ὑγρά ἐστι μήτε θλαστὰ μήτε θραυστά. τοιαῦτα δ᾽ ἐστὶν
ὅσα κατὰ μῆκος ἔχει τοὺς πόρους, καθ᾽ οὓς προσφύεται ἀλλή-
λοις, ἀλλὰ μὴ κατὰ πλάτος. 26. Τμητὰ δ᾽ ἐστὶ τῶν συνε- 26
στώτων σκληρῶν ἢ μαλακῶν ὅσα δύναται μήτ᾽ ἐξ ἀνάγκης
προηγεῖσθαι τῆς διαιρέσεως μήτε θραύεσθαι διαιρούμενα· ὅσα
δὲ ἢ ὑγρὰ ἢ τοιαῦτα, ἄτμητα. 27. Ἔνια δ᾽ ἐστὶ ταὐτὰ καὶ 27

Sed pressatilium quaedam ductilia sunt, quaedam minime. Cera quidem atque coenum ductilia sunt, lana autem atque aqua haudquaquam. 23. Sunt et quaedam fissilia, ceu lignum, quaedam non fissilia, ut fictile. 24. Est autem fissile, quod ampliorem, quam quae ab eo quod dividit fiat, divisionem subire potest. Nam tunc quidpiam finditur, quum divisionem maiorem quam corpus dividens adferat, admittit, atque divisio, quod facultatem obtinet dividendi, antevertit; id quod in sectione minime evenit. Infissilia vero sunt, quaecunque talia pati nequeunt. 25. Porro fissile nullum molle est. De iis autem loquor, quae absolute ac non aliorum ratione mollia sunt: hunc enim in modum vel ferrum ipsum molle foret. Nec dura omnia fissilia sunt, sed quaecunque nec liquida nec impressilia nec friabilia sunt. Talia autem sunt, quaecunque meatus, quibus inter sese partes cohaerent, in longum porrectos, sed non in latum habent. 26. Sectilia autem sunt eorum, quae dura constant molliave sunt, quaecunque nec divisionem necessario anticipare, nec comminui cum dividuntur possunt; insectilia

*τμητὰ καὶ σχιστά, οἷον ξύλον· ἀλλ᾽ ὡς ἐπὶ τὸ πολὺ σχιστὸν
μὲν κατὰ τὸ μῆκος, τμητὸν δὲ κατὰ τὸ πλάτος· ἐπεὶ γὰρ
διαιρεῖται ἕκαστον εἰς πολλά, ᾗ μὲν μήκη πολλὰ τὸ ἕν, σχιστὸν
28 ταύτῃ, ᾗ δὲ πλάτη πολλὰ τὸ ἕν, τμητὸν ταύτῃ. 28. Γλίσχρον
δ᾽ ἐστίν, ὅταν ἑλκτὸν ᾖ ὑγρὸν ὂν ἢ μαλακόν. τοιοῦτον δὲ
γίνεται τῇ ἐπαλλάξει ὅσα ὥσπερ αἱ ἁλύσεις σύγκειται τῶν
σωμάτων· ταῦτα γὰρ ἐπὶ πολὺ δύναται ἐκτείνεσθαι καὶ συνιέ-
29 ναι. ὅσα δὲ μὴ τοιαῦτα, ψαθυρά. 29. Πιλητὰ δ᾽, ὅσα τῶν
πιεστῶν μόνιμον ἔχει τὴν πίεσιν, ἀπίλητα δέ, ὅσα ἢ ὅλως
30 ἀπίεστα ἢ μὴ μόνιμον ἔχει τὴν πίεσιν. 30. Καὶ τὰ μὲν καυ-
στά ἐστι τὰ δὲ ἄκαυστα, οἷον ξύλον μὲν καυστὸν καὶ ἔριον
καὶ ὀστοῦν, λίθος δὲ καὶ κρύσταλλος ἄκαυστον. ἔτι δὲ καυστὰ
ὅσα ἔχει πόρους δεκτικοὺς πυρὸς καὶ ὑγρότητα ἐν τοῖς κατ᾽
εὐθυωρίαν πόροις ἀσθενεστέραν πυρός. ὅσα δὲ ἢ μὴ ἔχει ἢ
ἰσχυροτέραν, οἷον κρύσταλλος καὶ τὰ σφόδρα χλωρά, ἄκαυ-*

vero quaecunque aut eius modi aut liquida sunt. 27. Nonnulla autem et sectilia et fissilia eadem sunt, veluti lignum. Verum parte plurima, quod per longitudinem fissile est, per latitudinem sectile est: cum enim in plura quodque dividatur, quo longitudines multae una sunt, eo fissile est, sed quo plures latitudines in unum conflantur, eo sectile est. 28. Tenacia autem sive lenta sunt, quae cum liquida molliave sint, protrahi possunt. Talia autem permutatione fiunt, quaecunque corpora catenarum modo componuntur: ea enim distendi multum et rursum contrahi queunt. Quae vero non sunt eius modi, remittentia sunt. 29. At densatilia sunt, quaecunque pressatilium stabilem fixamque habent pressationem; indensatilia vero quaecunque vel impressatilia sunt aut pressationem obtinent inconstantem. 30. Quin etiam quaedam combustilia sunt, quaedam incombustibilia; ut lignum, ossa, lana combustibilia sunt, lapis atque crystallus minime. Combustibilia autem sunt quaecunque meatus habent eius modi, ut ignem introrsum admittant, atque in his meatibus qui per rectum dispositi sunt, minus validum quam ignem continent humorem. At quae nullum habent, aut validiorem, ceu glacies, et quae

στα. 31. Θυμιατὰ δ' ἐστὶ τῶν σωμάτων ὅσα ὑγρότητα ἔχει 31
μέν, οὕτω δ' ἔχει ὥστε μὴ ἐξατμίζειν πυρουμένων χωρίς· ἔστι
γὰρ ἀτμὶς ἡ ὑπὸ θερμοῦ καυστικοῦ εἰς ἀέρα καὶ πνεῦμα ἔκ-
κρισις ἐξ ὑγροῦ διαντική. 32. Τὰ δὲ θυμιατὰ χρόνῳ εἰς ἀέρα 32
ἐκκρίνεται, καὶ τὰ μὲν ἀφανιζόμενα ξηρά, τὰ δὲ γῆ γίνεται.
διαφέρει δ' αὕτη ἡ ἔκκρισις, ὅτι οὔτε διαίνει οὔτε πνεῦμα γί-
νεται. 33. Ἔστι δὲ πνεῦμα ῥύσις συνεχὴς ἐπὶ μῆκος ἀέρος· 33
θυμίασις δ' ἐστὶν ἡ ὑπὸ θερμοῦ καυστικοῦ κοινὴ ἔκκρισις
ξηροῦ καὶ ὑγροῦ ἀθρόως. διόπερ οὐ διαίνει, ἀλλὰ χρωματίζει
μᾶλλον. 34. Ἔστι δ' ἡ μὲν ξυλώδους σώματος θυμίασις 34
καπνός. λέγω δὲ καὶ ὀστᾶ καὶ τρίχας καὶ πᾶν τὸ τοιοῦτον ἐν
ταὐτῷ· οὐ γὰρ κεῖται ὄνομα κοινόν, ἀλλὰ κατ' ἀναλογίαν
ὅμως ἐν ταὐτῷ πάντ' ἐστίν, ὥσπερ καὶ Ἐμπεδοκλῆς φησι·

ταὐτὰ τρίχες καὶ φύλλα καὶ οἰωνῶν πτερὰ πυκνά,
καὶ λεπίδες γίγνονται ἐπὶ στιβαροῖσι μέλεσσιν.

ἡ δὲ πίονος θυμίασις λιγνύς, ἡ δὲ λιπαροῦ κνῖσα. 35. Διὰ 35

vehementer virent, incombustibilia sunt. 31. Exhalabilia autem sunt, quaecunque corpora humorem habent, ita tamen habent, ut evaporare nisi ignitis addantur nequeant. Est enim vapor ab humido in spiritum aëremque vi caloris urentis facta secretio, quae madefacere potest. 32. Ea autem temporis spatio in aërem secernuntur, atque evanescendo alia arida alia terra fiunt. Sed haec secretio eo differt, quod neque madefacit neque spiritus efficitur. 33. Est autem spiritus fluxus aëris in longitudinem continuus, exhalatio vero communis sicci et humidi secretio, quae universim caloris urentis opera fit, proindeque non madefacit, sed colorem potius admovet. 34. Vocatur autem lignosi corporis exhalatio fumus. Eodem nomine et ossa et pilos, et quicquid est eius modi appello: quamvis enim commune nomen inditum non sit, omnia tamen sub eiusdem rationis lege comprehenduntur, quemadmodum et Empedocles inquit:

Ista pili, squamae, frondes et densa volucrum
Pluma solent fieri, queis vivida membra tegantur.

τοῦτο τὸ ἔλαιον οὐχ ἕψεται οὐδὲ παχύνεται, ὅτι θυμιατόν
ἐστιν ἀλλ' οὐκ ἀτμιστόν· ὕδωρ δ' οὐ θυμιατὸν ἀλλ' ἀτμιστόν.
οἶνος δ' ὁ μὲν γλυκὺς θυμιᾶται. πίων γάρ, καὶ ταὐτὰ ποιεῖ
τῷ ἐλαίῳ· οὔτε γὰρ ὑπὸ ψύχους πήγνυται, κάεταί τε. ἔστι
δ' ὀνόματι οἶνος, ἔργῳ δ' οὐκ ἔστιν· οὐ γὰρ οἰνώδης ὁ
χυμός, διὸ καὶ οὐ μεθύσκει. ὁ τυχὼν δ' οἶνος μικρὰν δ' ἔχει
36 *θυμίασιν, διὸ ἀνίησι φλόγα.* 36. *Καυστὰ δὲ δοκεῖ εἶναι ὅσα*
εἰς τέφραν διαλύεται τῶν σωμάτων. πάσχει δὲ τοῦτο πάντα
ὅσα πήγνυται ἢ ὑπὸ θερμοῦ, ἢ ὑπὸ ἀμφοῖν, ψυχροῦ καὶ θερ-
μοῦ· ταῦτα γὰρ φαίνεται κρατούμενα ὑπὸ τοῦ πυρός. ἥκιστα
37 *δὲ τῶν λίθων ἡ σφραγίς, ὁ καλούμενος ἄνθραξ.* 37. *Τῶν δὲ*
καυστῶν τὰ μὲν φλογιστά ἐστι τὰ δ' ἀφλόγιστα· τούτων δ'
ἔνια ἀνθρακευτά. φλογιστὰ μὲν οὖν ὅσα φλόγα παρέχεσθαι
38 *δύναται· ὅσα δ' οὐ δύναται, ἀφλόγιστα.* 38. *Ἔστι δὲ φλο-*
γιστά, ὅσα μὴ ὑγρὰ ὄντα θυμιατά ἐστιν. πίττα δὲ ἢ ἔλαιον ἢ
κηρὸς μᾶλλον μετ' ἄλλων ἢ καθ' αὑτὰ φλογιστά. μάλιστα

Pinguis autem corporis fuligo, oleosi vero nidor. 35. Hac de causa oleum nec decoquitur nec crassescit, quia exhalabile, non evaporabile est. At aqua haudquaquam exhalabilis est, sed evaporabilis. Vinum autem passum, utpote pingue, exhalat atque idem quod oleum facit: neque enim frigore cogitur et deuritur. Est autem nomine tantum vinum, re vera nequaquam: etenim eius sapor vini saporem non reddit. Quocirca nec inebriat: vinum autem vulgare inebriat, sed exhalationem habet exiguam. Unde fit, ut etiam flammam emittere queat. 36. Combustibilia autem esse videntur corpora, quaecunque in cinerem resolvuntur. Id quod omnibus obvenit, quae vel calore vel utroque, calore et frigore, coguntur. Nam haec manifesto ab igne evincuntur. At e lapidibus gemma illa quam carbunculum nuncupamus, minime ignem sentire videtur. 37. Porro combustibilium alia flammatilia sunt, alia inflammatilia, atque horum nonnulla in carbones redigi queunt. Flammatilia igitur sunt, quae flammam emittere possunt, inflammatilia vero, quae nequeunt. 38. Ea autem, quae cum, liquida non sint, exhalare possunt, flammatilia sunt. Pix tamen et oleum et cera flammatilia sunt, sed magis

δ' ὅσα καπνὸν ἀνίησιν. ἀνθρακευτὰ δ' ὅσα τῶν τοιούτων γῆς
πλέον ἔχει ἢ καπνοῦ. 39. Ἔτι δ' ἔνια τηκτὰ ὄντα οὐ φλο- 39
γιστά ἐστιν, οἷον χαλκός, καὶ φλογιστὰ οὐ τηκτά, οἷον ξύλον,
τὰ δ' ἄμφω, οἷον λιβανωτός. 40. Αἴτιον δ', ὅτι τὰ μὲν 40
ξύλα ἀθρόον ἔχει τὸ ὑγρὸν καὶ δι' ὅλου συνεχές, ὥστε δια-
κάεται, ὁ δὲ χαλκὸς παρ' ἕκαστον μὲν μέρος, οὐ συνεχὲς δὲ
καὶ ἔλαττον ἢ ὥστε φλόγα ποιῆσαι· ὁ δὲ λιβανωτὸς τῇ μὲν
οὕτως τῇ δ' ἐκείνως ἔχει. 41. Φλογιστὰ δ' ἐστὶ τῶν θυμια- 41
τῶν ὅσα μὴ τηκτά ἐστι διὰ τὸ μᾶλλον εἶναι γῆς· τὸ ξηρὸν
γὰρ ἔχει κοινὸν τῷ πυρί. τοῦτ' οὖν θερμὸν ἂν γένηται τὸ
ξηρόν, πῦρ γίνεται. διὰ τοῦτο ἡ φλὸξ πνεῦμα ἢ καπνὸς καό-
μενός ἐστιν. 42. Ξύλων μὲν οὖν ἡ θυμίασις καπνός, κηροῦ 42
δὲ καὶ λιβανωτοῦ καὶ τῶν τοιούτων καὶ πίττης, καὶ ὅσα ἔχει
πίτταν ἢ τοιαῦτα, λιγνύς, ἐλαίου δὲ καὶ ὅσα ἐλαιώδη, κνῖσα·
καὶ ὅσα ἥκιστα κάεται μόνα, ὅτι ὀλίγον ξηρὸν ἔχει, ἡ δὲ με-
τάβασις διὰ τούτου, μετὰ δ' ἑτέρου τάχιστα· τοῦτο γάρ ἐστι

cum aliis, quam per se, maxime vero cum iis, quae fumum eiaculantur. In carbones autem redigi queunt, quaecunque eius modi terrae plus quam fumi continent. 39 Praeterea nonnulla, quae liquabilia sunt, flammatilia non sunt, veluti aes; nonnulla e contrario flammatilia, non liquabilia, ceu lignum; alia utrumque, ut thus. 40. Cuius rei causa est, quod ligna compactum et ubique continuum, ita ut deuratur, humorem secum ferunt; aes per singulas partes dispersum non continuum ac pauciorem, quam ut flammam producere queat; thus partim hoc pacto, partim illo se habet. 41. Plane exhalabilium flammatilia ea sunt, quae idcirco colliquescere nequeunt, quia ad terram magis referuntur. Partem enim aridam cum igni habent communem. Haec igitur pars arida cum calefiat, ignis oriri solet. Eam ob rem flamma spiritus vel fumus ardens est. 42. Lignorum exhalatio fumus dicitur, cerae vero, thuris, picis, caeterorumque id genus, et quae picem continent aut quippiam eius modi, fuligo. At olei eorumque, quae proxime ad olei naturam accedunt, quaeque sola idcirco minime ardent, quia aridi parum habent, per quod in ignem fit migratio, sed cum alio celerrime (hoc enim est

43 τὸ πῖον ξηρὸν λιπαρόν. 43. Τὰ μὲν οὖν ἐκθυμιώμενα τῶν
ὑγρῶν ὑγροῦ μᾶλλον, τὰ δὲ καόμενα ξηροῦ.
1 X. Τούτοις δὲ τοῖς παθήμασι καὶ ταύταις ταῖς δια-
φοραῖς τὰ ὁμοιομερῆ τῶν σωμάτων, ὥσπερ εἴρηται, διαφέρει
ἀλλήλων κατὰ τὴν ἁφήν, καὶ ἔτι ὀσμαῖς καὶ χυμοῖς καὶ χρώ-
2 μασιν. 2. Λέγω δ' ὁμοιομερῆ τά τε μεταλλευόμενα, οἷον
χρυσόν, χαλκόν, ἄργυρον, καττίτερον, σίδηρον, λίθον καὶ
τἆλλα τὰ τοιαῦτα, καὶ ὅσα ἐκ τούτων γίνεται ἐκκρινόμενα,
καὶ τὰ ἐν τοῖς ζῴοις καὶ φυτοῖς, οἷον σάρκες, ὀστᾶ, νεῦρον,
δέρμα, σπλάγχνον, τρίχες, ἶνες, φλέβες, ἐξ ὧν ἤδη συνέστηκε
τὰ ἀνομοιομερῆ, οἷον πρόσωπον, χείρ, πούς καὶ τἆλλα τὰ
τοιαῦτα, καὶ ἐν φυτοῖς ξύλον, φλοιός, φύλλον, ῥίζα, καὶ ὅσα
3 τοιαῦτα. 3. Ἐπεὶ δὲ ταῦτα μὲν ὑπ' ἄλλης αἰτίας συνέστη-
κεν, ἐξ ὧν δὲ ταῦτα, ὕλη μὲν τὸ ξηρὸν καὶ ὑγρόν, ὥστε ὕδωρ
καὶ γῆ (ταῦτα γὰρ προφανεστάτην ἔχει τὴν δύναμιν ἑκατέρου),
τὰ δὲ ποιοῦντα τὸ θερμὸν καὶ ψυχρόν (ταῦτα γὰρ συνίστησι

pingue siccum unctuosum, nidor. 43. Ergo e reliquis quae exhalare queunt, ad humiditatem magis pertinent, quae vero ardere possunt, ad siccitatem.

Cap. X. His autem affectionibus atque differentiis similaria corpora, secundum tactum, uti diximus, et praeterea odore, sapore et colore inter se differunt. 2. Similaria dico, tum metallica, aurúm inquam, aes, argentum, stannum, ferrum, lapides et caetera id genus, tum quae per secretionem ex his fiunt; nec non quae animantibus insunt, ut carnem, ossa, nervos, cutem, viscus, pilos, fibras, venas. Ex quibus tandem dissimilaria constant, ceu facies, manus, pes, caeteraque generis eiusdem. Item quae in plantis, ut lignum, corticem, frondes, radicem et quaecunque sunt huiusce modi. 3. Cum autem similaria alia ratione ac via quam quae dissimilium sunt partium constituantur, et eorum, ex quibus haec fiunt, sit materies aridum et humidum et proinde terra et aqua (horum enim utrumque utriusque potentiam habet evidentissimam), agentia vero calor et frigus (haec enim ex illis similaria corpora constituunt ac compingunt), ex similaribus quidem terrae, quae

καὶ πήγνυσιν ἐξ ἐκείνων), λάβωμεν τῶν ὁμοιομερῶν ποῖα γῆς
εἴδη καὶ ποῖα ὕδατος καὶ ποῖα κοινά. 4. Ἔστι δὴ τῶν σω- 4
μάτων τῶν δεδημιουργημένων τὰ μὲν ὑγρά, τὰ δὲ μαλακά,
τὰ δὲ σκληρά· τούτων δὲ ὅσα μαλακὰ ἢ σκληρὰ πήξει ἐστίν,
εἴρηται πρότερον. 5. Τῶν μὲν οὖν ὑγρῶν ὅσα μὲν ἐξατμί- 5
ζεται, ὕδατος, ὅσα δὲ μή, ἢ γῆς ἢ κοινὰ γῆς καὶ ὕδατος, οἷον
γάλα, ἢ γῆς καὶ ἀέρος, οἷον μέλι, ἢ ὕδατος καὶ ἀέρος, οἷον
ἔλαιον. 6. Καὶ ὅσα μὲν ὑπὸ θερμοῦ παχύνεται, κοινά· ἀπο- 6
ρήσειε δ' ἄν τις περὶ οἴνου τῶν ὑγρῶν. τοῦτο γὰρ καὶ ἐξατμι-
σθείη ἄν, καὶ παχύνεται ὥσπερ ὁ νέος. 7. Αἴτιον δ' ὅτι οὔτε 7
ἑνὶ εἴδει λέγεται ὁ οἶνος, καὶ ὅτι ἄλλος ἄλλως· ὁ μὲν γὰρ νέος
μᾶλλον γῆς ἢ ὁ παλαιός· διὸ καὶ παχύνεται τῷ θερμῷ μάλιστα
καὶ πήγνυται ἧττον ὑπὸ τοῦ ψυχροῦ· ἔχει γὰρ καὶ θερμὸν
πολὺ καὶ γῆς, ὥσπερ ἐν Ἀρκαδίᾳ οὕτως ἀναξηραίνεται ὑπὸ
τοῦ καπνοῦ ἐν τοῖς ἀσκοῖς ὥστε ξυόμενος πίνεσθαι. εἰ δὲ πᾶς
ἰλὺν ἔχει, οὕτως ἑκατέρου ἐστίν, ἢ γῆς ἢ ὕδατος, ὡς ταύτης
ἔχει πλῆθος. 8. Ὅσα δὲ ὑπὸ ψυχροῦ παχύνεται, γῆς, ὅσα δ' 8

aquae, quae denique utriusque communes sint species, proferamus. 4. Itaque ex concretis corporibus alia liquida sunt, alia mollia, alia dura. Horum autem quae mollia quaeve dura concretione fiant, supra dictum est. 5. Liquidorum igitur quaecunque evaporare queunt, ad aquam referenda sunt; quae nequeunt vel ad terram, vel ad terram et aquam communiter, ceu lac, vel ad terram et aërem, uti mel, vel ad aquam et aërem, uti oleum. 6. Et quae quidem fervore caloris spissantur, communia sunt. At inter ea, quae liquida sunt, de vino quispiam ambigat. Nam et evaporare potest, et spissatur, quemadmodum recens. 7. Causa autem est, quod vini plures sunt species, et aliud alio sese habet modo: nam quod recens est, magis quam quod vetustum, terrosum est. Quo fit etiam, ut calore potissimum crassescat et frigore minus cogatur, quoniam caloris multum ac terrae contineat, veluti Arcadicum, quod utribus inditum fumo adeo assiccatur, ut quando depromitur concrescat. Quodsi vinum omne faecem habet, pro faecis copia utriuslibet aut terrae aut aquae est. 8. Quae autem frigore crassescunt,

ὑπ᾽ ἀμφοῖν, κοινὰ πλειόνων, οἷον ἔλαιον καὶ μέλι καὶ ὁ γλυκὺς
9 οἶνος. 9. Τῶν δὲ συνεστώτων ὅσα μὲν πέπηγεν ὑπὸ ψυχροῦ,
ὕδατος, οἷον κρύσταλλος, χιών, χάλαζα, πάχνη, ὅσα δ᾽ ὑπὸ
θερμοῦ, γῆς, οἷον κέραμος, τυρός, νίτρον, ἅλες· ὅσα δ᾽ ὑπ᾽
ἀμφοῖν (τοιαῦτα δ᾽ ἐστὶν ὅσα ψύξει· ταῦτα δ᾽ ἐστὶν ὅσα
ἀμφοῖν στερήσει, θερμοῦ καὶ ὑγροῦ συνεξιόντος τῷ θερμῷ· οἱ
μὲν γὰρ ἅλες ὑγροῦ μόνου στερήσει πήγνυνται, καὶ ὅσα εἰλι-
κρινῆ γῆς, ὁ δὲ κρύσταλλος θερμοῦ μόνου), ταῦτα δ᾽ ἀμφοῖν.
10 διὸ καὶ ὑπ᾽ ἀμφοῖν καὶ εἶχεν ἄμφω. 10. Ὅσων μὲν οὖν ἅπαν
ἐξικμάσθη, οἷον κέραμος ἢ ἤλεκτρον· καὶ γὰρ τὸ ἤλεκτρον,
καὶ ὅσα λέγεται ὡς δάκρυα, ψύξει ἐστίν, οἷον σμύρνα, λιβανω-
τός, κόμμι. καὶ τὸ ἤλεκτρον δὲ τούτου τοῦ γένους ἔοικε, καὶ
11 πήγνυται· ἐμπεριειλημμένα γοῦν ζῷα ἐν αὐτῷ φαίνεται. 11. Ὑπὸ
δὲ τοῦ ποταμοῦ τὸ θερμὸν ἐξιὸν ὥσπερ τοῦ ἑψομένου μέλι-
τος, ὅταν εἰς ὕδωρ ἀφεθῇ, ἐξατμίζει τὸ ὑγρόν. ταῦτα πάντα
12 γῆς. 12. Καὶ τὰ μὲν ἄτηκτα καὶ ἀμάλακτα, οἷον τὸ ἤλεκτρον

terrae: quae vero utroque, plurium communia sunt, ut oleum, mel, vinum dulce. 9. Sed ex iis, quae consistunt, aquae sunt ea, quae frigore concrevere, ut glacies, nix, grando, pruina; quae calore, terrae, ut fictile, caseus, nitrum, sal. Quae utroque (cuius modi sunt ea, quae refrigeratione coagulantur: haec autem sunt quae privatione utriusque, caloris atque humoris, una cum calore abeuntis concrevere, nam sal et quae terra sincera constant, solius humoris, glacies autem solius caloris privatione concrescunt), ea utriusque sunt. Quocirca ut utrumque sortita sunt, ita ab utroque coguntur. 10. Quorum igitur universus humor exsudavit, ea omnia terrenae sortis sunt, ceu fictile atque succinum. Etenim succinum et quaecunque lacrymae nomen acceperunt, uti myrrha, thus, gummi, refrigeratione fiunt. Huius autem generis succinum quoque videtur esse, concrescitque: nam occlusa in eo animalia conspiciuntur. 11. Fluminis autem rigore calor succi perinde egrediens quemadmodum ex decocto melle, cum in aquam fuerit demissum, evaporare humorem facit. 12. Quin etiam quaedam illiquabilia sunt et immollificabilia, veluti succinum et lapides nonnulli, ceu pori

ἢ λίθοι ἔνιοι, ὥσπερ οἱ πόροι οἱ ἐν τοῖς σπηλαίοις· καὶ γὰρ
οὗτοι ὅμοιοι γίνονται τούτοις, καὶ οὐχ ὡς ὑπὸ πυρὸς ἀλλ' ὡς
ὑπὸ τοῦ ψυχροῦ διεξιόντος τοῦ θερμοῦ, συνεξέρχεται τὸ ὑγρὸν
ὑπὸ τοῦ ἐξ αὐτοῦ ἐξιόντος θερμοῦ· ἐν δὲ τοῖς ἑτέροις ὑπὸ
τοῦ ἔξωθεν πυρός. ὅσα δὲ μὴ ὅλα, γῆς μέν ἐστι μᾶλλον,
μαλακτὰ δ', οἷον σίδηρος καὶ κέρας. λιβανωτὸς δὲ καὶ τὰ
τοιαῦτα παραπλησίως τοῖς ξύλοις ἀτμίζει. 13. Ἐπεὶ οὖν τηκτά 13
γε θετέον, καὶ ὅσα τήκεται ὑπὸ πυρός, ταῦτ' ἐστὶν ὑδατω-
δέστερα, ἔνια δὲ καὶ κοινά, οἷον κηρός· ὅσα δὲ ὑπὸ ὕδατος,
ταῦτα δὲ γῆς· ὅσα δὲ μηδ' ὑφ' ἑτέρου, ταῦτα ἢ γῆς ἢ ἀμφοῖν.
14. Εἰ οὖν ἅπαντα μὲν ἢ ὑγρὰ ἢ πεπηγότα, τούτων δὲ τὰ ἐν 14
τοῖς εἰρημένοις πάθεσι, καὶ οὐκ ἔστι μεταξύ, ἅπαντ' ἂν εἴη
εἰρημένα οἷς διαγνωσόμεθα πότερον γῆς ἢ ὕδατος ἢ πλειόνων
κοινόν, καὶ πότερον ὑπὸ πυρὸς συνέστηκεν ἢ ψυχροῦ ἢ ἀμφοῖν.
15. Χρυσὸς μὲν δὴ καὶ ἄργυρος καὶ χαλκὸς καὶ καττίτερος 15
καὶ μόλιβδος καὶ ὕαλος καὶ λίθοι πολλοὶ ἀνώνυμοι ὕδατος·
πάντα γὰρ ταῦτα τήκεται θερμῷ. ἔτι οἶνοι ἔνιοι καὶ οὖρον καὶ

qui in speluncis gignuntur. Etenim hi perinde ut illa oriuntur, nec caloris operatione fiunt, sed frigoris. Nam, cum calor exit, humor pariter cum calore, qui ab eo discedit, egreditur. Aliis autem in rebus calor externus humorem discutit. At quorum non universus humor exsudavit, ea terrae potius sunt, sed mollefieri possunt, ut ferrum atque cornu. Thus tamen et eius modi res perinde ac ligna evaporant. 13. Cum igitur liquabilia ponantur necesse sit ea, quae igni colliquantur, aquosiora sunt; nonnulla etiam communia, ut cera. Quae aqua, terrea: quae neutro, aut terrea aut ex utroque conflata. 14. Quodsi igitur vel liquida vel concreta sunt omnia, et quae dictis affectibus obnoxia sunt, de eorum sunt numero, nec inter ea quippiam interveniat, dicta sunt universa, quibus, terraene an aquae vel plurium quippiam commune sit, et ignine an frigore an utroque constiterit, diiudicare possimus. 15. Itaque aurum, argentum, aes, stannum, plumbum, vitrum et lapides multi nomine vacantes, aqueae sortis sunt, quippe cum ea omnia fervore ignis deliquescant, nonnulla praeterea vini genera, urina, acetum, lixivium.

ὄξος καὶ κονία καὶ ὀῤῥὸς καὶ ἰχὼρ ὕδατος· πάντα γὰρ πή-
16 γνυται ψυχρῷ. 16. Σίδηρος δὲ καὶ κέρας καὶ ὄνυξ καὶ ὀστοῦν
καὶ νεῦρον καὶ ξύλον καὶ τρίχες καὶ φύλλα καὶ φλοιὸς γῆς
17 μᾶλλον. 17. Ἔτι ἤλεκτρον, σμύρνα, λίβανος καὶ πάντα τὰ
δάκρυα λεγόμενα, καὶ πόρος, καὶ οἱ καρποί, οἷον τὰ χέδροπα,
καὶ σῖτος· τὰ τοιαῦτα γὰρ τὰ μὲν σφόδρα, τὰ δὲ ἧττον μὲν
τούτων, ὅμως δὲ γῆς· τὰ μὲν γὰρ μαλακτά, τὰ δὲ θυμιατὰ
18 καὶ ψύξει γεγενημένα. 18. Ἔτι νίτρον, ἅλες, λίθων γένη, ὅσα
μήτε ψύξει μήτε τηκτά. αἷμα δὲ καὶ γονὴ κοινὰ γῆς καὶ
ὕδατος καὶ ἀέρος, τὸ μὲν ἔχον ἶνας αἷμα μᾶλλον γῆς, διὸ καὶ
ψύξει πήγνυται καὶ ὑγρῷ τήκεται, τὰ δὲ μὴ ἔχοντα ἶνας ὕδα-
τος, διὸ καὶ οὐ πήγνυται. γονὴ δὲ πήγνυται ψύξει ἐξιόντος
τοῦ ὑγροῦ μετὰ τοῦ θερμοῦ.

1 XI. Ποῖα δὲ θερμὰ ἢ ψυχρὰ τῶν πεπηγότων ἢ τῶν
2 ὑγρῶν, ἐκ τῶν εἰρημένων χρὴ μεταδιώκειν. 2. Ὅσα μὲν οὖν
ὕδατος, ὡς ἐπὶ τὸ πολὺ ψυχρά, ἐὰν μὴ ἀλλοτρίαν ἔχῃ θερ-
μότητα, οἷον κονία, οὖρον, οἶνος· ὅσα δὲ γῆς, ὡς ἐπὶ τὸ πολὺ

serum, sanies. Nam frigore cuncta haec gelant. 16. At ferrum, cornu, unguis, ossa, nervi, pili, lignum, cortex, folia terrea magis sunt. 17. Praeterea succinum, myrrha, thus, omnia, quae lacrymae nomen nacta sunt, et porus (id est tofus lapis); nec non fructus, ut legumina frumentumque. Nam ex iis, quae talia sunt, quamvis alia magis, alia minus, omnia tamen terrena sunt. Eorum enim alia mollificabilia sunt, alia exhalabilia, atque frigore progenita. 18. Praeterea sal, nitrum et ea lapidum genera quae neque rigore fiunt neque eliquari queunt. Sanguis vero ac genitura ad terram, aquam et aërem communiter spectant. Nam sanguis, qui quasdam quasi fibras habet, magis terrenus est, et proinde ut refrigeratione cogitur, ita humore deliquescit; qui vero nullas habet, aqueus, ideoque concrescere nescit. At genitura, quia una cum tepore humor decedit, refrigeratione coagulatur.

Cap. XI. Ex concretis autem liquidisve quaenam calida aut frigida sint, ex iis, quae iam exposuimus, persequi decet. 2. Quae igitur ad aquam pertinent, magna ex parte frigida sunt, nisi

θερμὰ διὰ τὴν τοῦ θερμοῦ δημιουργίαν, οἷον τίτανος καὶ
τέφρα. 3. Δεῖ δὲ λαβεῖν τὴν ὕλην ψυχρότητά τινα εἶναι· 3
ἐπεὶ γὰρ τὸ ξηρὸν καὶ τὸ ὑγρὸν ὕλη (ταῦτα γὰρ παθητικά),
τούτων δὲ σώματα μάλιστα γῆ καὶ ὕδωρ ἐστί, ταῦτα δὲ ψυ-
χρότητι ὥρισται, δῆλον ὅτι πάντα τὰ σώματα ὅσα ἑκατέρου
ἁπλῶς τοῦ στοιχείου, ψυχρὰ μᾶλλόν ἐστιν, ἂν μὴ ἔχῃ ἀλλο-
τρίαν θερμότητα, οἷον τὸ ζέον ὕδωρ ἢ τὸ διὰ τέφρας ἠθημέ-
νον· καὶ γὰρ τοῦτο ἔχει τὴν ἐκ τῆς τέφρας θερμότητα· ἐν
ἅπασι γάρ ἐστι θερμότης, ἢ πλείων ἢ ἐλάττων, τοῖς πεπυρω-
μένοις. 4. Διὸ καὶ ἐν τοῖς σαπροῖς ζῷα ἐγγίνεται· ἔνεστι γὰρ 4
θερμότης ἡ φθείρασα τὴν ἑκάστου οἰκείαν θερμότητα. 5. Ὅσα 5
δὲ κοινά, ἔχει θερμότητα· συνέστη γὰρ τα πλεῖστα ὑπὸ θερ-
μότητος πεψάσης. ἔνια δὲ σῆψίς ἐστιν, οἷον τὰ συντηκτά.
ὥστε ἔχοντα μὲν τὴν φύσιν θερμὰ καὶ αἷμα καὶ γονὴ καὶ
μυελὸς καὶ ὀπὸς καὶ πάντα τὰ τοιαῦτα, φθειρόμενα δὲ καὶ
ἐξιστάμενα τῆς φύσεως οὐκέτι· λείπεται γὰρ ἡ ὕλη, γῆ οὖσα

calorem externum habent, ceu lixivium, urina, vinum: quae ad terram, magna ex parte calida propter vim caloris effectricem, ut calx atque cinis. 3. Porro materiam frigus quadamtenus statuamus necesse est. Nam cum siccum et humidum sint materia (passiva enim sunt) atque horum corpora maxime terra et aqua, haec autem frigore definita sint, patet omnia corpora quae utriuslibet elementi absolute fuerint, frigida magis esse, nisi calorem habent externum, veluti aqua quae effervet, aut quae per cinerem percolata est. Etenim haec ex cinere calorem contraxit. Nam in omnibus, quae ignem sensere, largior parciorve calor inest. 4. Quocirca et in putridis animalcula innascuntur, cum in iis calor quidam insit, qui proprium cuique calorem absumit. 5. Quae autem communia sunt, ea calorem habent: siquidem plurima vi caloris eius, qui concoctionem peregit, constitere. Quaedam vero, ceu colliquamenta, nonnisi putrefactio sunt. Unde fit, ut cum suam retineant naturam, calida sint, ut sanguis, genitale profluvium, medulla, coagulum, et reliqua id genus omnia; cum autem corrumpuntur et a natura recedunt, haud amplius. Etenim materies, quae

6 ἢ ὕδωρ. 6. Διὸ ἀμφότερα δοκεῖ τισι, καὶ οἱ μὲν ψυχρὰ οἱ
δὲ θερμὰ ταῦτά φασιν εἶναι, ὁρῶντες, ὅταν μὲν ἐν τῇ φύσει
7 ὦσι, θερμά, ὅταν δὲ χωρισθῶσι, πηγνύμενα. 7. Ἔχει μὲν
οὖν οὕτως, ὅμως δ', ὥσπερ διώρισται, ἐν οἷς μὲν ἡ ὕλη ὕδα-
τος τὸ πλεῖστον, ψυχρά (ἀντίκειται γὰρ τοῦτο μάλιστα τῷ
8 πυρί), ἐν οἷς δὲ γῆς ἢ ἀέρος, θερμότερα. 8. Συμβαίνει δέ
ποτε ταὐτὰ γίνεσθαι ψυχρότατα καὶ θερμότατα ἀλλοτρίᾳ θερ-
μότητι· ὅσα γὰρ μάλιστα πέπηγε καὶ στερεώτατά ἐστι, ταῦτα
ψυχρά τε μάλιστα, ἂν στερηθῇ θερμότητος, καὶ κάει μάλιστα,
ἐὰν πυρωθῇ, οἷον ὕδωρ καπνοῦ καὶ λίθος ὕδατος κάει μᾶλλον.
1 XII. Ἐπεὶ δὲ περὶ τούτων διώρισται, καθ' ἕκαστον λέγωμεν
τί σὰρξ ἢ ὀστοῦν ἢ τῶν ἄλλων τῶν ὁμοιομερῶν· ἔχομεν γὰρ ἐξ ὧν
ἡ τῶν ὁμοιομερῶν φύσις συνέστηκε, τὰ γένη αὐτῶν, τίνος ἑκά-
2 στου γένους, διὰ τῆς γενέσεως. 2. Ἐκ μὲν γὰρ τῶν στοιχείων τὰ
ὁμοιομερῆ, ἐκ τούτων δ' ὡς ὕλης τὰ ὅλα ἔργα τῆς φύσεως· ἔστι
δ' ἅπαντα ὡς μὲν ἐξ ὕλης ἐκ τῶν εἰρημένων, ὡς δὲ κατ' οὐσίαν

terra est aut aqua, remanet. 6. Quocirca utrumque quibusdam placet, et ea alii frigida esse alii calida dicunt, quoniam ea videant, cum in natura sua sunt, calida esse, cum autem ab ea recessere, concreta. 7. Res igitur sese habet perinde ac definita est. Nam in quibus aquae plurimum materies est, ea frigida sunt, siquidem aqua igni potissimum adversatur; in quibus vero terrae aut aëris, calidiuscula. 8. Contingit autem interdum ut eadem frigidissima et calidissima externo calore fiant. Etenim quae maxime concrevere et oppido quam solida firmaque sunt, ea ut frigida maxime evadunt, quando suo privantur calore, ita deurunt maxime, quando ignis vi concaluere; quomodo aqua vehementius urit quam fumus, lapis quam aqua.

Cap. XII. Cum autem de his singulatim expositum sit, quid caro et os et quodlibet caeterorum, quae similium sunt partium, edisseramus. Etenim ex quibus similiarium natura constet, eorum genera, cuius quodque generis sit, ex ortu ipso patet. 2. Nam ex elementis similaria constant; ex similaribus autem, tamquam materia, integra naturae opera conficiuntur. Atque omnia, quod materiam spectat, ex iis quae dicta sunt compo-

τῷ λόγῳ. 3. Ἀεὶ δὲ μᾶλλον δῆλον ἐπὶ τῶν ὑστέρων, καὶ 3
ὅλως ὅσα οἷον ὄργανα καὶ ἕνεκά του. μᾶλλον γὰρ δῆλον ὅτι
ὁ νεκρὸς ἄνθρωπος ὁμωνύμως. οὕτω τοίνυν καὶ χεὶρ τελευ-
τήσαντος ὁμωνύμως, καθάπερ καὶ αὐλοὶ λίθινοι λεχθείησαν.
οἷον γὰρ καὶ ταῦτα ὄργανα ἄττα ἔοικεν εἶναι. 4. Ἧττον δ' 4
ἐπὶ σαρκὸς καὶ ὀστοῦ τὰ τοιαῦτα δῆλα. ἔτι δ' ἐπὶ πυρὸς καὶ
ὕδατος γῆς ἧττον· τὸ γὰρ οὗ ἕνεκα ἥκιστα ἐνταῦθα δῆλον
ὅπου πλεῖστον τῆς ὕλης· ὥσπερ γὰρ εἰ τὰ ἔσχατα ληφθείη,
ἡ μὲν ὕλη οὐθὲν ἄλλο παρ' αὐτήν, ἡ δ' οὐσία οὐθὲν ἄλλο
ἢ ὁ λόγος, τὰ δὲ μεταξὺ ἀνὰ λόγον τῷ ἐγγὺς εἶναι ἕκαστον,
ἐπεὶ καὶ τούτων ὁτιοῦν ἐστιν ἕνεκά του, καὶ οὐ πάντως ἔχον
ὕδωρ ἢ πῦρ, ὥσπερ οὐδὲ σὰρξ οὐδὲ σπλάγχνον. τούτων δ' ἔτι
μᾶλλον πρόσωπον καὶ χείρ. 5. Ἅπαντα δ' ἐστὶν ὡρισμένα 5
τῷ ἔργῳ· τὰ μὲν γὰρ δυνάμενα ποιεῖν τὸ αὑτῶν ἔργον ἀλη-
θῶς ἐστιν ἕκαστα, οἷον ὁ ὀφθαλμὸς εἰ ὁρᾷ, τὸ δὲ μὴ δυνά-
μενον ὁμωνύμως, οἷον ὁ τεθνεὼς ἢ ὁ λίθινος· οὐδὲ γὰρ πρίων

nuntur, quod vero substantiam, ratione. 3. Hoc autem magis magisque in sequentibus patebit et omnino iis quae tanquam instrumenta sunt et aliquem finem habent. Nam emortuum hominem aequivoce esse hominem, magis constat. Perinde ergo emortui hominis manus aequivoce manus dicitur, atque si vel lapideae tibiae dicantur: nam eae quoque velut instrumenta quaedam esse videntur. 4. At talia in carne et osse minus aperta sunt, et minus etiam in igne et aqua. Nam ubi materiae plurimum est, ibi et quem in finem quidpiam factum sit minime constat. Perinde enim evenit, ac si extrema sumantur. Nam materies nihil aliud est quam ipsa materies, substantia quam ratio. Quae vero inter haec interiacent, secundum rationem qua quidque prope est, quoniam et horum quodlibet aliquem in finem est. Quin etiam nonquovis modo sese habent aqua et ignis, sicuti nec caro nec viscera. Paulo autem magis facies et manus. 5. Sed suo munere et officio definita sunt omnia. Nam quae suo fungi munere queunt, singulare vera sunt, ut oculus, quando cernit: quaevero nequeunt, aequivoce, ut emortuus lapideusve oculus: non enim serra lignea aliud est quam serrae imago vel effigies.

6 ὁ ξύλινος, ἀλλ' ἡ ὡς εἰκών. 6. Οὕτω τοίνυν καὶ σάρξ· ἀλλὰ
τὸ ἔργον αὐτῆς ἧττον δῆλον ἢ τὸ τῆς γλώττης. ὁμοίως δὲ καὶ
πῦρ. ἀλλ' ἔτι ἧττον ἴσως δῆλον φυσικῶς ἢ τὸ τῆς σαρκὸς
7 ἔργον. 7. Ὁμοίως δὲ καὶ τὰ ἐν τοῖς φυτοῖς καὶ τὰ ἄψυχα,
οἷον χαλκὸς καὶ ἄργυρος· πάντα γὰρ δυνάμει τινί ἐστιν ἢ τοῦ
ποιεῖν ἢ τοῦ πάσχειν, ὥσπερ καὶ σὰρξ καὶ νεῦρον· ἀλλ' οἱ
8 λόγοι αὐτῶν οὐκ ἀκριβεῖς. 8. Ὥστε πότε ὑπάρχει καὶ πότε οὔ,
οὐ ῥᾴδιον διϊδεῖν, ἂν μὴ σφόδρα ἐξίτηλον ᾖ καὶ τὰ σχήματα
μόνον ᾖ λοιπά, οἷα καὶ τὰ τῶν παλαιουμένων νεκρῶν σώματα,
ἃ ἐξαίφνης τέφρα γίνεται ἐν ταῖς θήκαις· καὶ καρποὶ μόνον
τῷ σχήματι, τὴν δ' αἴσθησιν οὐ φαίνονται παλοιούμενοι
9 σφόδρα· καὶ τὰ ἐκ τοῦ γάλακτος πηγνύμενα. 9. Τὰ μὲν οὖν
τοιαῦτα μόρια θερμότητι καὶ ψυχρότητι καὶ ταῖς τούτων κι-
νήσεσιν ἐνδέχεται γίνεσθαι, πηγνύμενα τῷ θερμῷ καὶ τῷ
ψυχρῷ· λέγω δ' ὅσα ὁμοιομερῆ, οἷον σάρκα, ὀστοῦν, τρίχας,
10 νεῦρα, καὶ ὅσα τοιαῦτα. 10. Πάντα γὰρ διαφέρει ταῖς πρό-
τερον εἰρημέναις διαφοραῖς, τάσει, ἕλξει, θραύσει, σκληρότητι,

6. Sic et caro: verum huius officium minus quam linguae dilucidum est. Sic et ignis: sed minus etiam forsitan eius quam carnis officium innotescit *). 7. Sic et plantarum partes et corpora inanimata, ut aes atque argentum. Cuncta enim facultate quadam aut agendi aut patiendi sunt, uti caro ac nervus: sed rationes eorum nequaquam ad unguem perspectae sunt. 8. Quare quando sint et quando non sint, non est facile discernere, nisi admodum depravata sint, et figura sola supersit. Cuius modi sunt vetusta illa cadavera, quae in sepulcris adservata in cinerem subito convertuntur: nec non fructus admodum inveterati, qui figura tantummodo, haud tamen sensu fructus esse videntur; item, quae lacte coacto constant. 9. Tales igitur partes calore ac frigore et eorum mutationibus fieri contingit, cum caloris vi atque frigoris cogantur. Eas autem intelligo, quae similares sunt, ut carnem, ossa, pilos, nervos, et quaecunque sunt eius modi. 10. Omnes enim differentiis iis, quas

---

*) Secuti sumus *Vicomercati* coniecturam. Vide Commentar.

μαλακότητι καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις· ταῦτα δ' ὑπὸ ψυ-
χροῦ καὶ θερμοῦ καὶ τῶν κινήσεων γίνεται μιγνυμένων. 11. *Τὰ* 11
δ' ἐκ τούτων συνεστῶτα οὐθενὶ ἂν δόξειε τὰ ἀνομοιομερῆ,
οἷον κεφαλὴ ἢ χεὶρ ἢ πούς, ἀλλ' ὥσπερ καὶ τοῦ χαλκὸν μὲν
ἢ ἄργυρον γενέσθαι αἰτία ψυχρότητος καὶ θερμότητος κίνησις,
τοῦ δὲ πρίονα ἢ φιάλην ἢ κιβωτὸν οὐκέτι, ἀλλ' ἐνταῦθα μὲν
τέχνη, ἐκεῖ δὲ φύσις ἢ ἄλλη τις αἰτία. 12. *Ἐπεὶ οὖν ἔχομεν* 12
τίνος γένους ἕκαστον τῶν ὁμοιομερῶν, ληπτέον καθ' ἕκαστον
τί ἐστιν, οἷον τί αἷμα ἢ σὰρξ ἢ σπέρμα καὶ τῶν ἄλλων
ἕκαστον· οὕτω γὰρ ἴσμεν ἕκαστον διὰ τί καὶ τί ἐστιν, ἐὰν τὴν
ὕλην ἢ τὸν λόγον ἔχωμεν, μάλιστα δ' ὅταν ἄμφω τῆς τε γε-
νέσεως καὶ φθορᾶς, καὶ πόθεν ἡ ἀρχὴ τῆς κινήσεως. 13. *Δη-* 13
λωθέντων δὲ τούτων ὁμοίως τὰ μὴ ὁμοιομερῆ θεωρητέον, καὶ
τέλος τὰ ἐκ τούτων συνεστῶτα, οἷον ἄνθρωπον, φυτὸν καὶ
τἆλλα τὰ τοιαῦτα.

prius enumeravimus, tensione, tractione, comminutione, duritie, mollitie, et caeteris id genus differunt. Tales inquam partes calore et frigore mistisque motibus fiunt. 11. At dissimilares, quale est caput aut manus aut pes, ex illis constitutae nemini videbuntur. Sed sicuti frigoris et caloris motio, ut aes argentumve fiat, causa est, ut vero serra aut phiala aut arca, non item, sed hic ars, illic autem natura aut alia quaedam causa est, sic et ut illae fiant, in causa esse putabitur. 12. Cum igitur iam sit demonstratum cuius similarium quodque generis sit, de unoquoque quid sit, verbi causa quid sanguis aut caro aut genitale semen et aliorum quodque exponamus oportet. Tunc enim, cur quodque sit et quid sit scimus, quando materiam aut rationem, sed maxime cum utramque, et unde sit exordium, cognoscimus. 13. Quibus expositis, pari modo de dissimilaribus, et denique de iis quae ex his constant, ut de homine, planta, et caeteris id genus, videtur esse disserendum.

EXCERPTA

EX

COMMENTARIIS

ALEXANDRI ET OLYMPIODORI

IN

ARISTOTELIS METEOROLOGICORUM

LIBRUM TERTIUM.

III, 1. *) *Πάλιν ἐπειδὴ εἶπε περὶ τῶν ἐπινέφελον ποιούντων ἀνέμων τὸν ἀέρα, διαλέγεται καὶ περὶ τῶν αἴθριον αὐτὸν ποιούντων, ἵνα εἰ ἀτμὶς παχεῖα φέρεται κατ' εὐθὺ ἐπὶ τὸ κάταντες ἢ κατὰ τῆς γῆς, ἢ κατὰ θαλάττης, εἶτα προσπταίουσά τινι ἀντιτύπῳ, ἀναπάλλεται ὡς εἰς τοὐπίσω ἀναστρέψουσα. Ἐπειδὴ δὲ κωλύεται τὸ ἀναπαλλόμενον αὐτῆς μέρος εἰς τοὐπίσω ἀναπάλλεσθαι ὑπὸ τοῦ ὄπισθεν ἐπακολουθοῦντος* **) *αὐτῆς μέρους, ἐπὶ τὰ πλάγια ἀνακλᾶται δηλονότι, εἶτα εἰ συναντήσει τῷ ἐπὶ τὰ πλάγια ἀναπαλλομένῳ ἕτερόν τι σῶμα ἀντίτυπον κἀκεῖ πάλιν προσπιαῖσαν, ἀντιπάλλεται κἀκεῖθεν· καὶ οὕτω διὰ τῶν συχνῶν ἀναπάλσεων γίνεται ἕλιξ καὶ συστροφὴ τοῦ ἀνέμου χωροῦσα ὡς ἐπὶ τὸ νέφος ἀπὸ τῆς γῆς καὶ μετεωρίζουσα τὸ προστυχὸν σῶμα, ἐπὶ μὲν θαλάττης πλοῖα, ἐπὶ δὲ τῆς γῆς ζῷα*

---

*) Verba, quae sequuntur, Olympiodori incipiunt *πρᾶξιν λγ'*. In editione Aldina in fine commentarii in librum secundum Meteorologicorum ab Olympiodoro conscripti multa desiderari adnotatum est. Attamen ex verbis hisce, quibus commentarium in tertium librum exorditur Olymp., concludere licet eum nihil commentandi gratia in tria capita postrema libri superioris conscripsisse, quum ultimo loco de iis ventis sit locutus, qui aut nives, aut grandinem, aut aestus, aut denique n u b e s afferant. Ultima enim verba haec sunt:

Νέφεσι δὲ πυκνοῦσι τὸν οὐρανόν.] *Τὸ ἕβδομον κεφάλαιον, ἔνθα ἐζητοῦμεν, ποῖοί εἰσιν ἐπινέφελοι.*

Αἴθριοι δὲ ἀπαρκτίας καὶ θρασκίας καὶ ἀργέστης.] Nihil deinde additur; at vero apte cohaerent Aristotelica illa verba cum iis, quae h. l. adscripsimus. Fuitne fortasse alius ordo capitum in libro, quem ante oculos habuit Olympiodorus? anne totam de terrae motibus disquisitionem in suo exemplari non repperit, aut consulto omisit? Qua de re nihil certi pronuntiare audemus.

**) Ald. *ἐπακολοθοῦντος.*

ἢ λίθους ἢ ἕτερόν τι, ἅπερ ἡμιπληγῆ πάλιν ἀφίησι κάτω φέρεσθαι. ταύτην τὴν συστροφὴν ὁ μὲν ποιητὴς *) θύελλαν καλεῖ, Ἀριστοτέλης δὲ τυφῶνα, οἷον τυπῶνα διὰ τὸ τύπτειν σφοδρῶς καὶ ῥηγνύναι στερεὰ σώματα, ναῦται δὲ σιφῶνα διὰ τὸ δίκην σιφῶνος ἀνασπᾶν τὸ ὕδωρ τῆς θαλάσσης, οἱ δ' Ἀλεξανδρεῖς τῇ ἐπιχωρίῳ φωνῇ ἀνεμόσουριν **) διὰ τὸ ἐοικέναι κυκλανέμοις γυναικείοις, ἅπερ ἀνεμόσουριν καλοῦσιν ἐπιχωριάζοντες· οἱ δ' ἰατροὶ τὸ καθ' ὁμοιότητα γινόμενον πάθος ἐν ταῖς ἕλιξι τῶν ἐντέρων βορβορυγμόν. ***) οὕτω μὲν γίνεται ἡ ἕλιξ, ὅταν ἀπὸ τῆς γῆς ἔχῃ τὴν ἀρχήν, εἰ δ' ἀπὸ τοῦ νέφους ἄνωθεν ἄρξοιτο γίνεσθαι τοῦτον τὸν τρόπον. τοῦ γὰρ νέφους πεπυκνωμένου πάντοθεν ὑπάρχοντος καὶ τῆς ἔνδον ἐναπειλημμένης καπνώδους ἀναθυμιάσεως πολυπλασιαζομένης καὶ ἐνελιττομένης ἔνδον πολυειδῶς, ἐξαίφνης ῥήγνυται τὸ νέφος διὰ τὴν βίαν· καὶ ἔνδον ἑλιττομένη ἡ καπνώδης ἀναθυμίασις ἐξέρχεται αὐτοῦ τὸ αὐτὸ σχῆμα φυλάττουσα, ὅπερ

---

*) Iliad. β', 348 et saepius; sive Apollon. Rhod. α', 107, quem κατ' ἐξοχήν poëtam vocare non dubitavit etiam aliis in locis Olympiodorus.

**) ἀνεμόσουρις, uti etiam sequens κυκλάνεμος, Lexx. addatur. Caeterum priori loco Ald. habet ἀνεμόσουρην (sic!).

***) Apud Suidam ed. Küster, Vol. I. p. 442, duae huius vocabuli explicationes reperiuntur, ex quibus huc pertinet prior: *βορβορυγμός· ὁ ἦχος τοῦ ὕδατος ἐπιφερόμενος. Ἡ φάρυγξ ἐκελάρυζε καὶ πολὺς ἐν τῷ στόματι ἦν ἦχος.* Apud *Foësium Oecon. Hippocr. s. v.* sequentia verba reperiuntur: *βορβορυγμός murmur significat a flatibus excitatum cum mediocri humiditate. Galen. Commentar. ad Aphorism.* IV, 73: *καλεῖται δὲ βορβορυγμὸς ὁ ψόφος τοῦ πνεύματος, ὅταν μὴ μέγας ᾖ, μηδὲ πολύς, σὺν ὑγρότητι δέ τινι μετρίᾳ κινούμενος ἐπὶ τὰ κάτω. Id. lib. III. de sympt. caus.* c. 7: *βορβορυγμός bombi speciem furit ex humiditate in intestinis contenta humidam deiectionem praenuntiante. βορβορύζειν* et *διαβορβορύζειν κοιλίη dicitur, cum alvus murmur edit et ad excretionem irritatur. Lib. de rat. vict. in morb. acut.* p. 104, 32 et 33. — *Κοιλίη ὑποβορβορύζουσα φύσῃσι, alvus flatibus perstrepens. Aretaeus* II, 6. — *Est autem murmur illud ac strepitus ei similis qui exauditur cum coenum exagitatum pedibus conculcatur aut commovetur, unde nomen etiam defluit.*" Adde Vol. I. p. 231 not.

ἔνδον εἶχε, λέγω δὴ τὸ ἑλικοειδές. εἶθ᾽ οὕτως ἐπὶ τὴν γῆν φέρεται ἐπὶ τὴν γῆν ἕλιξ τυγχάνουσα δίκην τῶν συνεστραμμένων τριχῶν, λέγω δὴ οὔλων, οὐ διὰ τὴν ἀσθένειαν τῆς ἀποκριτικῆς δυνάμεως, ἀλλὰ διὰ τὸ σκολιοὺς εἶναι τοὺς πόρους, δι᾽ ὧν παρέρχεται, καὶ συνδιατυποῦσθαι*) αὐτοῖς. αὗται μὲν αἱ αἰτίαι τοῦ ποτὲ μὲν κάτωθεν ἄνω γίνεσθαι τὴν ἕλικα τοῦ τυφῶνος, ποτὲ δὲ ἄνωθεν κάτω. διάγνωσις δὲ τούτων διττή· διαγινώσκομεν γάρ, πότερον ἀπὸ κάτωθεν ἄνω κινεῖται ἡ ἕλιξ, ἢ ἀπὸ ἄνωθεν κάτω. πρῶτον μὲν ἐξ αὐτῆς τῆς ὄψεως· ἐπειδὴ γὰρ φανερά ἐστιν ἡ ἕλιξ καὶ αὐτῇ τῇ ὄψει (ἤγουν τυφὼν) διὰ τὴν παχυμέρειαν τῆς οὐσίας, ἐπὰν τὴν ἕλικα ὁρῶμεν ποτὲ μὲν κάτω ποτὲ δὲ ἄνω χωροῦσαν, ἐροῦμεν ὅτι κάτωθέν ἐστιν ἡ ἀρχὴ τοῦ ἕλικος, εἰ δ᾽ ἀπὸ ἄνωθεν ἐπὶ τὰ κάτω μόνον κινοῖτο **), τηνικαῦτα ῥητέον ἄνωθεν ἔχειν τὴν ἀρχήν. ἔπειτα δὲ καὶ ἀπ᾽ αὐτῶν τῶν ἁρπαζομένων σωμάτων ὑπ᾽ αὐτῆς τῆς ἕλικος καὶ μετεωριζομένων· εἰ μὲν γὰρ πρῶτον στραφῇ τὸ σῶμα ἐκ τῆς οἰκείας θέσεως, εἶτα πλαγίως κινηθῇ καὶ τότε μετεωρισθῇ, τηνικαῦτα ἄνωθεν αὐτὴν ἔχειν φαμὲν τὴν ἀρχήν. αὕτη καὶ ἡ διάγνωσις. λοιπὸν εἴπωμεν καὶ τὰς διαφορὰς ἐκνεφίου καὶ τυφῶνος. ἡ γὰρ κοινωνία κατάδηλος. οὐδὲν γὰρ ἕτερόν ἐστιν ἐκνεφίας, ἢ τυφὼν ἀνήνεμος, καὶ τυφὼν οὐδὲν ἄλλο ἐστίν, ἢ ἐκνεφίας ἐπιτεταμένος. ᾧ δῆλον, ὅτι ταὐτόν ἐστιν ἐκνεφίας καὶ τυφών, ὅσον κατὰ τὸ εἶδος· ἀλλὰ παρὰ τὴν ἐπίτασιν καὶ ἄνεσιν διαφέρουσιν, οὐ τῷ εἴδει. διαφέρουσι γὰρ τριχῶς· πρῶτον μέν, ὅτι ὁ ἐκνεφίας οὐχ ὁρᾶται, ὁ δὲ τυφὼν ὁρᾶται διὰ τὸ παχυμερεστέραν οὐσίαν συνεφέλκεσθαι ἐκ τοῦ νέφους τὴν καπνώδη ἀναθυμίασιν ἐκκρινομένην. δεύτερον, ὅτι ὁ μὲν ἐκνεφίας συνεφέλκεται περὶ αὐτὸν ἐκ τοῦ περιέχοντος αὐτὸν νέφους, ὁ δὲ τυφὼν συνεφέλκεται μεθ᾽ ἑαυτοῦ καὶ τὸ περιέχον νέφος, ὡς εἰς αὐτὸν ἀναλίσκεσθαι τὸ νέφος. τρίτον, ὅτι τὸν μὲν ἐκνεφίαν παύει ὁ ὑετός (κατασβέννυσι γὰρ τὴν

---

*) Lexicis addatur.

**) Ald. κινεῖτο. ἐπὰν ..... ὁρῶμεν, εἰ δὲ ..... κινοῖτο dictum est, ut supra: ὅταν ..... ἔχῃ, εἰ δὲ ..... ἄρξοιτο.

καπνώδη ἀναθυμίασιν ὁ ὑετὸς τὴν ποιητικὴν τοῦ ἐκνεφίου, ἅτε ψυχρὸς ὑπάρχων), τὸν δὲ τυφῶνα οὐχ ἱκανός ἐστιν ὁ ὑετὸς παῦσαι, ἀλλὰ δεῖται ἄλλου τινὸς ψυχροτέρου, καὶ διὰ τοῦτο ὑπὸ τοῦ βορρᾶ κατασβέννυται. ὁ γὰρ βορρᾶς ψυχρότερός ἐστι τοῦ ὕδατος τοῦ εἰδοποιουμένου τὴν ψύξιν, ἢ ῥητέον, ὅτι ποτὲ τὰ αἰτιατὰ δραστικώτερα γίνονται τῶν αἰτίων. ἰδοὺ γοῦν ὁ πεπυρακτωμένος σίδηρος δραστικώτερός ἐστι τοῦ θερμαίνοντος αὐτὸ πυρός. οὕτως οὖν καὶ ὁ ἀὴρ ψυχόμενος αὐτὸς ὑπὸ τοῦ ὕδατος ψυχρότερος τοῦ ψύξαντος. ψυχρότατος δὲ ὢν ψύχει τὸν βορρᾶν. ἀλλὰ τοῦτο σημειωτέον, ὅτι ἐπὶ μὲν τῶν θερμῶν λεπτομερέστερά εἰσι τὰ αἴτια τῶν αἰτιατῶν, ὥσπερ ὁ ἀὴρ τοῦ ὕδατος. — Olympiodor. fol. 45, a. (in Aldina perperam fol. 46, a.)

I, 2. Ὑπάρχει μὲν οὖν ἄμφω ταῦτα κατὰ τὴν ὕλην....] Ὕλην εἶπε τὸ νέφος τῶν τε πνευμάτων καὶ τῶν ὑδάτων· ὅτι δυνάμει ἐν τῇ ὕλῃ ταῦτά ἐστιν, ἀλλ' οὐκ ἐνεργείᾳ ὄντα ἤδη τοιαῦτα. ὕλη δὲ τὸ δυνάμενόν τι γενέσθαι, οὗ δύναται *). ὅταν δὲ ἀρχὴ γένηται ὁποτερονοῦν τῶν δύο τῶν δυνάμει ὄντων ἐν τῷ νέφει καὶ εἰς αὐτὸ μεταβάλλειν δυνάμενον, ὁποτέρας ἂν ἀναθυμιάσεως ᾖ πλέον ἐν τῷ νέφει, ταύτῃ ἀρξαμένῃ μεταβάλλειν, ἀκολουθεῖ καὶ τὸ λοιπὸν αὐτὸ συμμεταβάλλον. καὶ γίγνεται, ἂν μὲν ἡ ὑγρὰ πλεονάζῃ, μεταβολῆς τινος εἰς ὕδωρ γενομένης καὶ ἀρχῆς τοιαύτης, ὑετὸς συνεχής τε καὶ πολύς· ἂν δὲ ἡ ξηρὰ τοιαύτη ᾖ, τὸ ἐπακολουθοῦν τῇ πρώτῃ τοῦ πνεύματος ἐκκρίσει, πνεῦμα συνεχές τε καὶ πολύ, ἐκνεφίας, ἐκ τοῦ νέφους ἐκκρινόμενον μετὰ βίας ἀθρόον πνεῦμα καὶ φερόμενον κάτω. — Alexander fol. 113, a.

I, 3. Καὶ οὕτως ἀεὶ τὸ ἐχόμενον, ἕως ἂν γένηται· τοῦτο δ' ἐστὶ κύκλος.] Τί φησιν; ὅτι προσπταῖον πνεῦμα πρόσω χωρῆσαι οὐ δύναται, εἰς τοὐπίσω πάλιν ἐλθεῖν κωλύεται διὰ τὸ ὠθεῖσθαι ὑφ' ἑτέρου. τί οὖν ποιεῖ; χωρεῖ

*) Sc. τὶ γενέσθαι. Recte enim interpres latinus, quamvis barbare: *Materia autem illud est, quod aliquid fieri potest, id quod potest* (i. e. id, quod potentia valet). Construe: ὕλη ἐστίν, οὗ δύναται γενέσθαι τὸ δυνάμενόν τι.

λοιπὸν εἰς τὰ πλάγια, ᾗ οὐ κωλύεται (τουτέστιν ὅπου μὴ ἐπιπροσθεῖται), εἶτα πάλιν ἐκεῖσε προσπίπτει ἑτέρῳ στερεῷ καὶ πάλιν ἀντωθεῖται ὡς ἐπὶ τὸν τόπον, ἔνθα πρῶτον προσέπταισε, καὶ οὕτως ἐφεξῆς τὰ μόρια τῆς καπνώδους ἀναθυμιάσεως προσπταίοντα ἓν ποιοῦσι, τουτέστι χορόν. καὶ διὰ τί ἄρα τὸν κύκλον ἐκάλεσεν ὁ φιλόσοφος; ἢ διὰ τοῦτο· ἐπειδὴ ἡ κυκλικὴ κίνησις μία ἐστὶ καὶ ἁπλῆ, εἴπερ ἡ ἐπ' εὐθείας κίνησις σύνθετός ἐστιν ἔκ τε τῆς ἐπ' εὐθείας καὶ τῆς κυκλικῆς. ἐκ μὲν τῆς ἐπ' εὐθείας, ὅταν ἐπ' εὐθεῖαν πορεύεται τὸ κινούμενον. ἀλλ' ἐπειδὴ οὐκ εἰς ἄπειρον ἐκτείνεται ἡ εὐθεῖα κίνησις, ἀλλὰ καὶ ὑποστρέφει, πάντως ἐν τῇ ὑποστροφῇ γίνεται κυκλοειδὴς κίνησις. ἀλλὰ μὴν καὶ ἡ ἑλικοειδὴς κίνησις σύνθετός ἐστι καὶ ἡ τῆς λεγομένης ἐκλείψεως. ὁ δὲ κύκλος αὐτῆς ἀπὸ τοῦ κέντρου προσπταίουσαι εὐθεῖαι ἄνισοι *). καὶ εἰ σύνθετός ἐστι καὶ ἡ ταύτης κίνησις, δῆλον, ἐπειδὴ καὶ ἡ ἐν τοῖς ἱπποδρόμοις κίνησις ταύτῃ ἐοικυῖα. μέμικται γὰρ σφενδόνῃ τὰ πέρατα· ἐπὰν μὲν ἐπ' εὐθείας τρέχωσιν οἱ ἵπποι εὐθέως φέρονται, ὅταν δὲ παρὰ τὴν σφενδονὴν ἔλθωσιν ἀργότερον τηνικαῦτα κινοῦνται. ἐπὶ μόνου δὲ τοῦ κύκλου ἁπλῆ καὶ μία ἐστὶ κίνησις. καὶ διὰ τοῦτο κύκλον εἶπεν. — Olympiodor. fol. 46, a.

I, 5. *Βόρειος* **) *δ' οὐ γίνεται τυφών, οὐδὲ νιφετῶν ὄντων ἐκνεφίας......*] Τὴν ἄλλην διαφορὰν νῦν παραδίδωσι τυφῶνος καὶ ἐκνεφίου, ὅτι ὁ μὲν ὑετῷ ***) κολάζεται, ὁ δὲ ψυχρῷ πνεῖ, τουτέστι βορείῳ. καὶ καλεῖ τὸν μὲν ὑετὸν ψῦχος, τὸν δὲ βορέαν πάγον διὰ τὴν ἐπικράτειαν

---

*) Verba sensu cassa. Procul dubio Olympiodorus proprietatem quandam ellipticae curvae afferre voluit, ut facilius intelligeretur, qua ratione motus ellipticus sit compositus, quod deinde explicat exemplo hippodromi. Ut igitur sensus qualiscunque evadat scribe, nisi meliore modo corruptelam auferre potes: *αὐτῆς γὰρ* (sc. *τῆς ἐλλείψεως*) *ἀπὸ τοῦ κέντρου αἱ προσπταίουσαι* (sc. *εἰς τὴν περιφέρειαν*) *εὐθεῖαι ἄνισοι.*

**) Ita enim Olympiodorus.

***) Ald. *ὑετός.*

τοῦ ψύχους. καλεῖ δὲ νῦν τὸν ὑετὸν καὶ νιφετὸν ἀκολούθως τῷ ποιητῇ· φησὶ γὰρ αὐτός *)·

— — ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσιν.

Olymp. fol. 46, b.

I, 6. Ὅτι δὲ κρατεῖ δῆλον ......] Ὅτι ὑπερβάλλει βορρᾶς τὸν ὑετὸν κατὰ τὴν ψύξιν, δῆλον, ἐπειδὴ τὰ βόρεια μέρη ὑγρότερά εἰσιν. οὐ γὰρ ἂν ἦν ὑγρότερα, εἰ μὴ ἦσαν καὶ ψυχρότερα. εἴρηται γάρ, ὅτι ἡ ψύξις τοῦ ὑγροῦ ποιητική ἐστι διὰ τὸ συστρέφειν τὴν ἀτμίδα καὶ μεταβάλλειν. Olympiodor. fol. 46, b.

I, 7. Τῇ κύκλῳ κινήσει στρέφει καὶ ἀναφέρει ᾧ ἂν προσπέσῃ βιαζόμενον] Πολλάκις στρέψαν τινὰ τῶν ἐπὶ γῆς ἢ τῆς θαλάσσης, ἀναφέρει εἰς ὕψος, τῷ διέξοδον μὴ σχεῖν, ἐπὶ τὸ αὐτὸ πάλιν ἀνακάμπτον. διὸ ἐκ μὲν τῆς θαλάσσης πολλάκις μὲν ὕδωρ ἀνασπᾷ. ἤδη δέ που καὶ πλοιάριον ἐμετεώρισε περιλαβὸν **) τῇ δίνῃ. ἐκ δὲ τῆς γῆς καὶ λίθους καὶ ἄλλα τινὰ μετεωρίζει, ἤδη δὲ καὶ ζῷα· τὰ δὲ ἀναφερόμενα ὑπ᾽ αὐτοῦ, ὀλίγον μετεωρισθέντα καταφέρεται πάλιν, ξηρότερα γινόμενα, διὰ τὴν ξηρότητα τοῦ ἀνάγοντος αὐτὰ πνεύματος. — Alex. fol. 114, a.

I, 10. Ὁ μὲν γὰρ διὰ τὴν λεπτότητα φέρεται .... μελανοῖ] Ὁ μὲν ἀργὴς κεραυνὸς ὀξέως φερόμενος διὰ τὴν λεπτότητα προσπίπτων τινὶ σώματι, φθάνει παρελθεῖν πρὶν καταφλέξαι ἢ μελᾶναι τὸ σῶμα. οὐ μόνον γὰρ ἐν τοῖς γινομένοις ἀπόχρη το ποιοῦν καὶ πάσχον, ἀλλὰ δεῖται καὶ χρόνου πρὸς τὸ παθεῖν ***),

---

*) Hom. *Iliad.* γ', 222. cfr. *Il.* μ', 278 sqq. Caeterum quae similitudo intercedat inter *Homeri* verba et Aristotelica equidem non adsequor.

**) Sc. τὸ πνεῦμα.

***) In margine editionis Aldinae adpictum est signum verborum aliunde haustorum. Unde petita sint, equidem nescio: in Aristotelis certe libris, quales nunc habemus, ea inveniri dubito. Cfr. tamen *Phys. Auscultat.* IV, 13, p. 222, b.: ἐν δὲ τῷ χρόνῳ πάντα γίνεται καὶ φθείρεται.

ὅστις ἐκλέλοιπε νῦν διὰ τὴν ὀξύτητα τοῦ φερομένου. ὁ δὲ ψολόεις βαρύτερος ὢν τοῦ ἀργῆτος, ἐμβραδύνει μᾶλλον ἐν τοῖς σώμασι, καὶ χρώννυσιν αὐτά. ἔστι δ᾽ ὅτε καὶ φλέγει μάλιστα τὰ ἀντίτυπα τῶν σωμάτων, ὡς εἴρηται. — Olympiodor. fol. 46, b.

II, 1. *Μετὰ τὸν χόρον τὸν συνιστάμενον ἀπὸ τῶν γινομένων ἀπὸ τῆς καπνώδους ἀναθυμιάσεως ἐξ *) ὑπαρχόντων, βροντῆς φημι καὶ ἀστραπῆς, πρηστῆρος καὶ κεραυνοῦ, τυφῶνός τε καὶ ἐκνεφίου, φέρε καὶ ἐπὶ τὸν χόρον τὸν συνιστάμενον ἀπὸ τῶν γινομένων ἀπὸ τῆς καπνώδους ἀναθυμιάσεως μετέλθωμεν, τεσσάρων ὄντων, ἴριδός φημι καὶ ἅλω, παρηλίων καὶ ῥάβδων, καὶ περὶ ἑκάστου τούτων διαλεχθῶμεν. καὶ γὰρ ταῦτα τὰ τέσσαρα ἐπιχειρήματα ἔχουσί τινα κοινωνίαν πρὸς ἄλληλα, οὐ μόνον ὅτι ἐκ τῆς ἀτμιδώδους ἀναθυμίασεως ὑπάρχουσιν, ὡς ἄν τις ὑπολάβοι, [ἀλλὰ καὶ **)] ὅτι κοινῶς κατ᾽ ἔμφασιν γίνονται καὶ οὐ καθ᾽ ὑπόστασιν, εἰ καὶ τὰ μάλιστα τῷ Ἀλεξάνδρῳ δοκεῖ ***) τινὰ μὲν αὐτῶν καθ᾽ ὑπόστασιν γίνεσθαι, τινὰ δὲ κατ᾽ ἔμφασιν. πρὸς δὲ τούτοις ἔχουσι καὶ ἄλλο κοινόν, ὅτι ἕκαστον αὐτῶν κατὰ ἀνάκλασιν γίνεται, οὐ κατὰ διάκλασιν. ἀλλ᾽ εἰ δοκεῖ, πρῶτον περὶ τῆς ἅλω διαλεχθῶμεν, ἐπειδὴ καὶ ὁ φιλόσοφος ἀπὸ ταύτης ποιεῖται τὴν ἀρχὴν τῆς διδασκαλίας. τοῦτο μέν, ἐπειδὴ ἁπλούστερός ἐστιν ὁ περὶ ταύτης λόγος τοῦ περὶ ἴριδος, τοῦτο δ᾽ ἐπειδὴ ἡ μὲν ἅλως ἁπλῆ καὶ κατὰ τὸ χρῶμα καὶ κατὰ τὸν ἀριθμόν. μία γάρ ἐστιν, ἓν χρῶμα δεικνύουσα †). ἡ δὲ ἶρις διπλῆ μέν ἐστι τῷ ἀριθμῷ, τριπλασίων δὲ τῷ χρώματι. τρία γὰρ ἐμφαίνει χρώματα, φοινικοῦν, πράσινον, ἁλουργόν. μετὰ δὲ τὰς ῥάβδους διδάσκει περὶ παρηλίων, ἐπειδὴ*

---

*) Ald. ἐξυπαρχόντων.

**) Verba ἀλλὰ καὶ de meo addidi.

***) Vide, quae adscribemus ex Alexandri paraphrasi fol. 115, a sq. Infra auctorem huius paraphrasis Olympiodorus vocat Aphrodisiensem. Cfr. *Prolegomm.* Tom. I. p. XVI.

†) Nunquam igitur neque Aristoteles neque Olympiodorus maiorem halonem viderunt, qualis in borealibus plagis non ita raro apparere solet.

συγγενῶς ἔχουσι παρήλιοί τε καὶ ῥάβδοι κατὰ τὴν θέσιν. ἄμφω γὰρ παρ' ἑκάτερα γίνονται τοῦ ἡλίου, ὡς εἶναι διαίρεσιν τοιαύτην· ἡ ἀνάκλασις ἢ κατὰ κάθετον γίνεται τοῦ λαμπροῦ, ἢ κατὰ διάμετρον, ἢ κατὰ παρ' ἑκάτερα. καὶ εἰ μὲν κατὰ κάθετον γίνεται ποιεῖ τὴν ἅλω, εἰ δὲ κατὰ διάμετρον ἶριν, εἰ δὲ κατὰ παρ' ἑκάτερα ἢ πολύχρους ἐστὶν καὶ ποιεῖ ῥάβδους, ἢ μονόχρους καὶ ποιεῖ παρήλιον. αὕτη μὲν αὐτῶν ἡ θέσις. ἶρις δὲ λέγεται, ὡς ὄμβρον ἀγγέλλουσα, ὥσπερ καὶ ἡ ποιητικὴ Ἶρις τοῦ Διὸς ἄγγελος εἶναι λέγεται *). ἅλως δὲ διὰ τὸ ἅλῳ ἐοικέναι. περιφερὴς γάρ ἐστιν ἡ ἅλως διὰ τὸ περιστρεφομένους τοὺς βόας ὡς περὶ κέντρον ἐξωθεῖν τὸν ἄχυρον ἀπὸ τοῦ καρποῦ, ἢ κατὰ τὴν κίνησιν. ῥάβδος δὲ λέγεται κατὰ τὸ σχῆμα, ἐπειδὴ κατὰ μῆκος ἐκτέταται δίκην ῥάβδου. παρήλιοι δὲ διὰ τὴν πρὸς τὸν ἥλιον ὁμοιότητα, ὅθεν ποτὲ καὶ ἀπατῶσι τὴν ὄψιν, νομίζοντες ἥλιον εἶναι, μάλιστα ὅταν ᾖ πρὸς τῷ ὁρίζοντι ὁ ἥλιος. ἔωθεν γὰρ ἀχλὺς ἡ περὶ τὸν ὁρίζοντα κωλύει τὴν ὄψιν διακρῖναι, ποῖος μὲν ὁ ἥλιος, ποῖος δ' ὁ παρήλιος. ταῦτα μὲν περὶ τῆς θέσεως αὐτῶν καὶ τῆς ὀνομασίας. ἐνταῦθα δὲ γενόμενος ὁ Ἀφροδισιεύς, οὐκ οἶδα τί παθών, τὴν μὲν ἶριν λέγει γίνεσθαι κατὰ διάκλασιν, τὴν δ' ἅλω κατ' ἀνάκλασιν. καὶ οὐ μόνον εἰς τοῦτο ἁμαρτάνει, ἀλλὰ καὶ τῆς ἴριδος τὸ μὲν σχῆμα λέγει κατὰ ἔμφασιν εἶναι, τὸ δὲ χρῶμα κατὰ ὑπόστασιν. φέρε δὲ ἡμεῖς δείξωμεν, ὅτι κατὰ ἔμφασιν γίνεται καὶ κατὰ ἀνά-

---

*) Non solum Iovis, sed etiam reliquorum Deorum Dearumque, praesertim Iunonis cfr. *Il.* β', 786. γ', 121. ε', 353. 368. θ', 398. ο', 144 et alibi. Virg. *Aen.* IV, 694. V, 609. 657. IX, 1. 803. Ovid. *Metamorph.* XI, 632. Qui dogmata mythologiae graecae physicis rationibus enucleari posse arbitrabantur philosophi, iridem pluviae nuntiam idcirco statuebant, quia Iovis, Iunonis, Minervae (Diodor. Sicul. I, 12. p. 16. cfr. Ioann. Tzetz. ad Hesiodi *Opp.* v. 2. Imprimis a Stoicis aër ita nominitatus est. v. Diogen. Laërt. VII, 147 et Petersen ad Phaedr. Epicur. *de nat. deor.* p. 42) aliorumque Deorum nominibus aërem insigniebant. cfr. Fabric. ad Sext. Empiric. *adv. Mathematic.* p. 620. Heeren ad Stob. *Eclog. phys.* p. 286 sq. et locus Ioannis Laurentii Lydi *de mens.* IV, 7. p. 66 ed. Nic. Schow.

κλασιν. ἐπειδὴ γὰρ ἡ ἔμφασις ἢ κατὰ ἀνάκλασιν γίνεται ἢ κατὰ διάκλασιν, οὐ μόνον δὲ ὅτι κατὰ ἔμφασιν ταῦτα γίνονται, ἀλλὰ καὶ κατὰ ἀνάκλασιν. καὶ ὅτι κατὰ ἔμφασιν γίνονται καὶ οὐ καθ' ὑπόστασιν, δῆλον ἐκ τριῶν τινων. πρῶτον μὲν ἀεὶ περὶ κέντρον ὁρᾶται τὸ λαμπρὸν ἐπὶ τῆς ἅλω παρὰ πᾶσιν ἐν παντὶ τόπῳ. ἐπὶ ἅλω γὰρ γυμνάσομεν τὸ λεγόμενον. εἰ γὰρ ἦν καθ' ὑπόστασιν, οὐκ ἀεὶ περὶ κέντρον ἔδει εἶναι τὴν σελήνην τῆς ἅλω ἢ τὸν ἥλιον, ἀλλὰ περὶ τὰς διαφόρους θέσεις τῶν τόπων, ἐν οἷς ἐστιν ἡ ὄψις ἡ τῶν κλιμάτων ποτὲ μὲν περὶ κέντρον ὁρᾶσθαι, ποτὲ δ' οὐ περὶ κέντρον, ὅταν μὴ ᾖ κατὰ κάθετον. οὕτω γὰρ καὶ ἡ ἡλιακὴ ἔλλειψις καθ' ὑπόστασιν οὖσα, οὐ παρὰ πᾶσιν αὐτὴ φαίνεται, ἀλλὰ παρά τισι μὲν φαίνεται, παρά τισι δ' οὐ φαίνεται. οὐχ ὁμοίως δὲ φαίνεται οὐδ' ἐπὶ τὰ αὐτὰ μέρη οὖσα τοῦ ἡλίου. πρῶτον τοῦτο. δεύτερον, εἰ καθ' ὑπόστασιν ἦσαν ταῦτα, ἔδει νέφους παρατρέχοντος τὸν ἥλιον ἢ τὴν σελήνην μὴ παύεσθαι, ἀλλὰ μὴν νέφους παραδραμόντος οὐ φαίνονται. οὐκ ἄρα ἰδίαν ἔχουσιν ὑπόστασιν. δέονται γὰρ τοῦ λαμπροῦ πρὸς τὸ συστῆναι. τρίτον ὃ πολλάκις εἴρηται, ὅτι οὐκ ἠδύνατο οὕτως ἀπηκριβώμενον μαθηματικὸν σχῆμα συστῆναι κατὰ ἀλήθειαν ἐν ἀστάτῳ οὐσίᾳ, λέγω δὴ τῷ ἀέρι καὶ τοῖς νέφεσιν. ἀλλὰ μᾶλλον κατὰ ἔμφασιν γίνονται, οὐ καθ' ὑπόστασιν. λοιπὸν ἀποδείξωμεν *), ὅτι κατὰ ἀνάκλασιν γίνονται καὶ οὐ κατὰ διάκλασιν. ἀλλ', εἰ δοκεῖ, πρῶτον ζητήσωμεν, εἰ αὐτὸ τοῦτο κλᾶται ἡ ὄψις, εἴτε κατὰ ἀνάκλασιν, εἴτε κατὰ διάκλασιν. ὅτι γὰρ κλᾶται ἡ ὄψις, δῆλον. ἐπειδὴ ὁρῶμεν πολλάκις, ἐφ' ἃ μὴ βλέπομεν. οὕτως ἐν κατόπτρῳ ἐνορῶντες ὁρῶμεν ἕτερά τινα σώματα, ἐφ' ἃ μὴ βλέπομεν, δηλονότι τῆς ὄψεως ἀνακλωμένης πρὸς αὐτὰ ἀπὸ τοῦ κατόπτρου. ἀλλ' ἐκεῖνα πάλιν ὁρῶμεν, ἃ μὴ δυνάμεθα ἰδεῖν, ὡς δηλοῦσι τὰ ὀπισθοφανῆ· κάτοπτρα γὰρ ὀπίσθια λέγομεν, ἃ μὴ δυνάμεθα **) χωρὶς

---

*) Ald. ἀποδείξομεν.

**) Ald. λεγόμενα μὴ δυνάμενα et q. s. Schneiderus *Eclog. phys.* Tom. I. p. 397 locum sic refinxit: ὡς δηλοῦσι τὰ ὀπισθοφανῆ κάτοπτρα λεγόμενα· τὰ γὰρ ὀπίσθια μὴ δυνάμεθα χωρὶς κατόπτρου

κατόπτρου θεάσασθαι, δηλονότι διὰ τὸ κλώμενον τῆς ὄψεως ὡς πρὸς ἐκεῖνα γίνεται αὐτῶν ἡ ἀντίληψις. πρὸς δὲ τούτοις κἀκ τούτου δῆλον, ὅτι *) ἐπειδὴ πολλάκις περὶ λύχνον ὁρῶμεν πρασινοειδῆ χρώματα. τὸ γὰρ λαμπρὸν τὸ ἐκ τοῦ φωτὸς προσγινόμενον τῇ ὄψει μήπω ἀμυδρωθὲν φοινικοῦν χρῶμα ποιεῖ. ἐπεὶ δὲ ἀμυδρούμενον ὁδεύει ἐπὶ τὸ μέλαν, καὶ τὰ χρώματα δείκνυσιν· οὕτω γοῦν μετὰ τὸ φοινικοῦν εὐθὺς πράσινον, εἶθ' ἁλουργὸν χρῶμα δείκνυσιν, ὡς ἤδη ἐξασθενῆσαν, ἢ καὶ ἴριδος σχῆμα, ἐπὰν ἀμελέστερον κατανοήσωμεν. τοῦτο δὲ τὸ σημεῖόν ἐστιν ἐμφάσεως καὶ ἀνακλάσεως, καὶ ὅτι ἐν ἡλίῳ τινὸς ῥάναντος ὕδωρ ὡς γενέσθαι πολλὰς ῥανίδας, ὁρῶμεν ἐν ταῖς ῥανίσι λαμπηδόνας, ἀνακλωμένης τῆς ὄψεως ἀπὸ τῶν ῥανίδων πρὸς τὸν ἥλιον. Ἄλλως τε καὶ Ἀρχιμήδης αὐτὸ τοῦτο δείκνυσιν, ὅτι κλᾶται ἡ ὄψις, ἐκ τοῦ δακτυλίου τοῦ ἐν ἀγγείῳ βαλλομένου **). ἐὰν γὰρ δακτύλιον ἐμβάλῃς ἐν ἀγγείῳ μὴ ἔχοντι

θεάσασθαι. Caeterum cfr. Olympiodorum fol. 59, a: ἐστὶ καὶ κατὰ τὸ σχῆμα ἀνώμαλα ἔνοπτρα, ὥσπερ τὰ ὀπισθοφανῆ λεγόμενα ὑπὸ τῶν κατοπτρικῶν καὶ τὰ δεξιοφανῆ. Ἔστιν οὖν τοιαῦτα τὴν κατασκευήν, ὡς ποιεῖν τὰ μὲν δεξιὰ φαίνεσθαι ἐν τοῖς ἀριστεροῖς, τὰ δὲ ἀριστερὰ ἐν τοῖς δεξιοῖς, ἀνωμάλοις κατὰ τὸ σχῆμα τῶν κατόπτρων· ὡς ποτε καὶ ἄλλῃ κατασκευῇ ἐνόπτρων χρώμενος ποιεῖς (Ald. ποιεῖν) φαίνεσθαι τὴν μὲν κεφαλὴν κάτω, τοὺς δὲ πόδας ἄνω. Postrema verba τοὺς δ. π. ἄνω, quae desunt in editione Aldina addidit Schneiderus *Eclog. phys.* Tom. II p. 256. Adi etiam Plutarch. *de fac. in orbe Lun.* IX p. 697, ed. Reiske: τὰ κοῖλα τῶν ἐσόπτρων ἐντονωτέραν ποιεῖ τῆς προηγουμένης αὐγῆς τὴν ἀνακλωμένην, ὥστε καὶ φλόγας ἀναπέμπειν πολλάκις· τὰ δὲ κυρτὰ καὶ σφαιροειδῆ τῷ μὴ πανταχόθεν ἀντερείδειν ἀσθενῆ καὶ ἀμαυράν. Adde Platon. Tim. p. 335, Schneider. *Eclog. phys.* Tom. II. p. 276 sqq. Beckmann *Beitr. zur Gesch. der Erfindungen* III. p. 308 sqq.

*) Schneiderus l. l. Tom. I. p. 397 omisit ὅτι. Mallem delere ἐπειδή.

**) In Archimedis operibus, qualia nunc supersunt, nihil eius modi repperi. Sententia tamen saepenumero obvia apud veteres. Cfr. inter alios Heliodori Larissaei *Optic.* p. 10 ed. 1610, 4.: ἐὰν γοῦν εἰς ἀγγεῖόν τι ἐνὸν οὐχ ὁρᾶται, ἐὰν ὕδωρ σχεθῇ, ὀφθήσεται τὸ ἐμβληθέν, ὃ δὴ πρότερον οὐχ ἑωρᾶτο. Οὕτω δὴ τὰ καθ' ὕδατος

ὕδωρ, οὐ φανήσεταί σοι διὰ τὸ ἐπιπροσθεῖν τὸ σῶμα τοῦ ἀγγείου· εἰ δ' ἐμβάλῃς *) ὕδωρ, παρ' αὐτὰ φανήσεται τῆς ὄψεως ἐπὶ το ὕδωρ προσπιπτούσης δίκην ἐνόπτρου καὶ ἐπὶ τὸν δακτύλιον κυκλούμενον **) κατὰ διάκλασιν. οὕτω μὲν οὖν ἀποδεικτέον κλωμένην τὴν ὄψιν. ζητήσωμεν ***) δὲ καὶ τὴν διαφορὰν ἀνακλάσεως τε καὶ διακάλεως. διαφέρουσι πρῶτον μέν, ὅτι ἐπὶ μὲν τῆς ἀνακλάσεως τὸ ὁρῶν καὶ τὸ ὁρώμενον ἐν ἑνὶ ὑπάρχουσιν ἐπιπέδῳ, τὸ δὲ κάτοπτρον κατὰ τὸν ἀντικείμενον τόπον. ἐπὶ δὲ τῆς διακλάσεως μεταξὺ τοῦ τε ὁρῶντος καὶ τοῦ ὁρωμένου κεῖται τὸ κάτοπτρον. αὕτη μὲν φέρε πρώτη φυσικὴ διαφορά. φέρε δὲ καὶ μαθηματικὴν αὐτῶν ἐπιστήμην παραδώσομεν. ἡ μὲν γὰρ ἀνάκλασις κατὰ ἴσας γίνεται γωνίας, ἡ διάκλασις δὲ κατὰ ἀμβλείας. καὶ

θεωροῦμεν. Fortasse fragmentum est ex libro, quem laudat Apuleius *Apolog.* p. 198 (ed. Amstelaed. 1624. 16.) Vol. II. p. 19 ed. Bip., ubi de planorum, concavorum ac convexorum speculorum proprietatibus, de halonibus et pareliis locutus, addit: *Alia praeterea eius modi plurima, quae tractat volumine ingenti Archimedes Syracusanus.* Quo ex loco concludit Scheibel (*Mathem. Bücherkenntniss* Part. IX. p. 268) Archimedem opus de opticis disciplinis condidisse. Huc etiam pertinent verba Theonis ad Ptolem. *Almag.* I, 3 fol. 10: *καθὰ καὶ Ἀρχιμήδης ἐν τοῖς περὶ κατοπτρικῶν ἀποδεικνύων φησίν.* — Aeque ac Archimedis opus, etiam Aristotelis libri de optica interciderunt. Cfr. *Vit. Aristotel.* ed. Nunnes. (Helmstad. 1666. 4.) p. 15: *Mathematicae addidit, hexagonium esse conum visorium, propter id quod in plus incedit visus, cuius inspicit magnitudinem, et secundum hoc nihil eorum, quae videntur, simul totum videtur, et sic maiorem fieri axem base, quae est ex hoc, et hexagonum conum efficere.* (Aristol. Opp. ed. Buhle Vol. I. p. 58). Ad h. l. Nunnesius monet, Andream Bellunensem hunc librum a se lectum indicare. Nunnesii verba non intellexerunt Heilbronner *Histor. Mathem.* p. 170. Klügel ad Priestley *Histor. Optic.* vers. germ. p. 25. — De Ptolemaei Opticis infra dicemus ad Exc. III, 4, 23.

*) Schneiderus *l. l.* p. 398 exhibuit *ἐμβάλοις*, quod non necessarium.

**) Ald. *κυκλουμένου.* Uti nos, correxit iam Schneiderus *l. l.* p. 398.

***) Schneiderus *l. l.* *ζητήσομεν.*

ὅτι ἡ ἀνάκλασις κατὰ ἴσας γωνίας δῆλον ὅτι, ἐπειδὴ τριῶν σημείων ὄντων, ἑνὸς μὲν ἔνθα ἐστὶ τὸ ὁρώμενον, ἑτέρου δὲ ἔνθα τὸ ὁρῶν, καὶ ἄλλου πάλιν ἔνθα τὸ κάτοπτρον, εἰ ἀμείψουσι τὸ ὁρώμενον ἐκεῖσε, ἔνθα ἦν τὸ ὁρῶν, ἡ αὐτὴ πάλιν γενήσεται γωνία, ἥτις καὶ πρότερον ἦν, ὅτε ἦσαν ἐν τοῖς οἰκείοις τόποις, καὶ οὔτε μείζων οὔτε ἐλάττων. δῆλον δ' ὅτι τοῦ κατόπτρου κατὰ τὸν ἀντικείμενον τόπον, φυλαττομένου δέ *). φέρε δὲ καὶ διὰ γραμμικῆς ἀποδείξεως τοῦτο δείξωμεν, ὅτι πρὸς ἴσας γωνίας γίνεται ἡ ἀνάκλασις. ἐπειδὴ γὰρ τοῦτο ὡμολογημένον ἐστὶ παρὰ πᾶσιν, ὅτι οὐδὲν μάτην ἐργάζεται ἡ φύσις **), οὐδὲ ματαιοπονεῖ, ἐὰν μὴ δώσομεν πρὸς ἴσας γωνίας

---

*) Si vera lectio, ad *κατόπτρου* supple *ὄντος*. At mallem *δέ* post *φυλαττομένου* delere, uti postea vidi fecisse etiam Schneiderum l. l. p. 399.

**) *Phys. Auscult.* II, 8 p. 199, a: imprimis verba: *ἔστιν ἄρα τὸ ἕνεκά του ἐν τοῖς φύσει γινομένοις καὶ οὖσιν.* Prae caeteris huc spectant loci: *Politic.* I, 2 p. 1253, a: *οὐθὲν γάρ, ὥς φαμεν, μάτην ἡ φύσις ποιεῖ. de anim.* III, 12, 3 p. 434, a: *τὸ δὲ ζῷον ἀναγκαῖον αἴσθησιν ἔχει, εἰ μηθὲν μάτην ποιεῖ ἡ φύσις. de animal. incessu* c. 2. p. 704, b: *de part. animal.* IV, 11 p. 691, b: *οὐδὲν γὰρ ποιεῖ περίεργον ἡ φύσις.* I, 1 p. 641, b: *ἡ φύσις ἕνεκά του ποιεῖ πάντα.* Caeterum cardo totius quae sequitur, demonstrationis hoc est theorema, naturam nihil inepti facere: ineptum autem foret si longiorem viam faceret radius, cum brevior adsit. Ideo demonstrandum, angulis inaequalibus, longiorem esse viam. Nemo non intelligit, quanta intercedat similitudo inter huiusce generis demonstrationem et eam probandi methodum, quam recentiores probationem ex *causa sufficienti* vocant, quae ipsa veteribus minime non nota erat. Cfr. ex. gr. *Arist. de gener. et interit.* I, 7 p. 323, a.: *οἱ μὲν γὰρ πλεῖστοι τοῦτό γε ὁμονοητικῶς λέγουσιν, ὡς τὸ μὲν ὅμοιον ὑπὸ τοῦ ὁμοίου πᾶν ἀπαθές ἐστι διὰ τὸ μηδὲν μᾶλλον ποιητικὸν ἢ παθητικὸν εἶναι θάτερον θατέρου. de caelo* II, 13 p. 295, b: *εἰσὶ δέ τινες, οἳ διὰ τὴν ὁμοιότητά φασιν αὐτὴν μένειν, ὥσπερ τῶν ἀρχαίων Ἀναξίμανδρος· μᾶλλον γὰρ οὐθὲν ἄνω ἢ κάτω, ἢ εἰς τὰ πλάγια φέρεσθαι προσήκει τὸ ἐπὶ τοῦ μέσου ἱδρυμενον καὶ ὁμοίως πρὸς τὸ ἔσχατα ἔχον. ἅμα δ' ἀδύνατον εἰς τἀναντία ποιεῖσθαι τὴν κίνησιν· ὥστε ἐξ ἀνάγκης μένειν.* Caeterum similem, quam quae apud Olympiodorum deprehenditur, demonstrationem reperies apud Heliodorum *Optic.* c. 30 p. 15. ed. Matani ex

γίνεσθαι τὴν ἀνάκλασιν, πρὸς ἀνίσους ματαιοπονεῖ ἡ φύσις. καὶ ἀντὶ τοῦ διὰ βραχείας περιόδου φθάσαι τὸ ὁρώμενον τὴν ὄψιν, διὰ μακρᾶς περιόδου τοῦτο φανήσεται [καταλαμβάνουσα *)]. εὑρεθήσονται γὰρ αἱ τὰς ἀνίσους γωνίας περιέχουσαι εὐθεῖαι, αἵτινες ἀπὸ τῆς ὄψεως περιέχουσι **) φερομένας περὶ τὸ κάτοπτρον, κἀκεῖθεν περὶ τὸ ὁρώμενον μείζονες οὖσαι τῶν τὰς ἴσας γωνίας περιεχουσῶν εὐθειῶν. καὶ ὅτι τοῦτο ἀληθές, δῆλον ἐντεῦθεν. ὑποκείσθω γὰρ τὸ κάτοπτρον εὐθεῖά τις ἡ $\overline{αβ}$· καὶ ἔστω τὸ μὲν ὁρῶν $\overline{γ}$, τὸ δὲ ὁρώμενον [τὸ] $\overline{δ}$, τὸ δὲ σημεῖον τοῦ κατόπτρου, ἐν ᾧ προσπίπτουσα ἡ ὄψις ἀνακλᾶται πρὸς τὸ ὁρώμενον, $\overline{ε}$. ἔστω καὶ ἐπεζεύχθω ἡ $\overline{γε}$, $\overline{εδ}$. λέγω ὅτι ἡ $\overline{αεγ}$ γωνία ἴση ἐστὶ τῇ ὑπὸ $\overline{δεβ}$. εἰ γὰρ μή ἐστιν ἴση, ἔστω ἕτερον σημεῖον τοῦ κατόπτρου, ἐν ᾧ προσπίπτουσα ἡ ὄψις πρὸς ἄνισον γωνίαν ἀνακλᾶται, τὸ $\overline{ζ}$. καὶ ἐπεζεύχθω ἡ $\overline{γζ}$, $\overline{ζδ}$. δῆλον, ὅτι ἡ ὑπὸ $\overline{γζα}$ γωνία μείζων ἐστὶ τῆς ὑπὸ $\overline{γεζ}$ ***) γωνίας· λέγω, ὅτι αἱ $\overline{γζ}$ †), $\overline{ζδ}$ εὐθεῖαι, αἵτινες τὰς ἀνίσους γωνίας περιέχουσιν ὑποκειμένης τῆς $\overline{αβ}$ εὐθείας, μείζονές εἰσι τῶν $\overline{γε}$, $\overline{εδ}$ εὐθειῶν, αἵτινες τὰς ἴσας γωνίας περιέχουσι μετὰ τῆς $\overline{αβ}$. ἤχθω γὰρ κάθετος ἀπὸ τοῦ $\overline{δ}$ ἐπὶ τὴν $\overline{αβ}$ κατὰ τὸ $\overline{η}$ σημεῖον. καὶ ἐκβεβλήσθω ἐπ' εὐθείας ὡς ἐπὶ τὸ $\overline{θ}$. φανερὸν δή, ὅτι αἱ πρὸς τὸ $\overline{η}$ γωνίαι ἴσαι εἰσίν. ὀρθαὶ γάρ εἰσι. καὶ ἔστω ἡ $\overline{δη}$ τῇ $\overline{ηθ}$ ἴση. καὶ ἐπεζεύχθω ἡ



Herone Alexandrino: **εἰδέναι δεῖ, ὅτι αἱ ἀνακλάσεις αὗται καὶ διακλάσεις τῆς ὄψεως οὐκ ἀτάκτως ἐπιτελοῦνται· πρὸς γὰρ ἴσας γίνονται γωνίας ἀεί, αἳ δὴ καὶ συνίστανται πρὸς ἐκεῖνο, ἀφ' οὗπερ καὶ ἀνακλῶνται ἢ διακλῶνται. ἀπέδειξε γὰρ ὁ μηχανικὸς Ἥρων ἐν τοῖς αὑτοῦ κατοπτρικοῖς, ὅτι αἱ πρὸς ἴσας γωνίας κλώμεναι εὐθεῖαι ἐλάχισταί εἰσι μέσων τῶν ἀπὸ τῆς αὐτῆς καὶ ὁμοιομεροῦς γραμμῆς πρὸς τὰ αὐτὰ κλωμένων πρὸς ἀνίσους γωνίας.**

*) Quid sibi velit participium **καταλαμβάνουσα**, quod uncis inclusi, non adsequor.

) Ald. **περιέχουσαι. ***) Ald. $\overline{δεζ}$. †) Ald. $\overline{ηγζ}$.

θζ καὶ ἡ θε. αὕτη μὲν ἡ κατασκευή. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ δη τῇ ηθ, ἀλλὰ καὶ ἡ ὑπὸ δηε *) γωνία τῇ ὑπὸ θηε γωνίᾳ ἴση ἐστί. κοινὴ δὲ πλευρὰ τῶν δύο τριγώνων ἡ ηε. καὶ βάσις ἡ θε βάσει τῇ εδ ἴση ἐστί, καὶ τὸ ηθε τρίγωνον τῷ δηε τριγώνῳ ἴσόν ἐστι, καὶ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις εἰσὶν ἴσαι, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν. ἴση ἄρα ἡ θε τῇ εδ. πάλιν ἐπειδὴ τῇ ηθ ἴση ἐστὶν ἡ ηδ καὶ γωνία ἡ ὑπὸ δηε γωνίᾳ τῇ ὑπὸ θηε ἴση ἐστί. κοινὴ δὲ ἡ ζη **) τῶν δύο τριγώνων τῶν δηζ καὶ θηζ καὶ βάσις ἄρα ἡ θζ βάσει τῇ ζδ ἴση ἐστί, καὶ τὸ ζηδ τρίγωνον τῷ θηζ τριγώνῳ ἴσόν ἐστιν. ἴση ἄρα ἐστὶν ἡ θζ τῇ ζδ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ θε τῇ εδ, κοινὴ προσκείσθω ἡ γε. δύο ἄρα αἱ γε, εδ, δυσὶ ταῖς γε, εθ ἴσαι εἰσιν. ὅλη ἄρα ἡ γθ δυσὶ ταῖς γε, εδ ἴση ἐστί. καὶ ἐπεὶ παντὸς τριγώνου αἱ δύο πλευραὶ τῆς λοιπῆς μείζονές εἰσι πάντῃ μεταλαμβανόμεναι, τριγώνου ἄρα τοῦ θζγ αἱ δύο πλευραὶ αἱ θζ, ζγ μιᾶς τῆς γθ μείζονές εἰσιν. ἀλλ' ἡ γθ ἴση ἐστὶ ταῖς γε, εδ· αἱ θζ, ζγ ἄρα μείζονές εἰσι τῶν γε, εδ. ἀλλ' ἡ θζ τῇ ζδ ἐστὶν ἴση. αἱ ζγ καὶ ζδ ἄρα τῶν γε, εδ μείζονές εἰσι. καὶ εἰσὶν αἱ γζ, ζδ αἱ τὰς ἀνίσους γωνίας περιέχουσαι. αἱ ἄρα τὰς ἀνίσους γωνίας περιέχουσαι μείζονές εἰσι τῶν τὰς ἴσας γωνίας περιεχουσῶν, ὅπερ ἔδει δεῖξαι. οὕτω μὲν οὖν διὰ τῶν δύο ἐπιχειρημάτων τοῦ τε φυσικοῦ καὶ τοῦ μαθηματικοῦ δείκνυται, ὅτι πρὸς ἴσας γωνίας ἡ ἀνάκλασις γίνεται. Φέρε δὲ δείξωμεν πῶς καὶ ἡ διάκλασις κατὰ ἀμβλείας γίνεται γωνίας. ὑποκείσθω γὰρ ὕδωρ εἶναι τὸ αβ, τὸ δὲ ὁρῶν τὸ γ, αἱ δὲ



ἀκτῖνες αἱ τῷ ὕδατι προσπίπτουσαι ἀπὸ τῆς ὄψεως αἱ αγ, γβ. καὶ ἐκβεβλήσθωσαν αἱ γα, γβ εἰς ἄπειρον. καὶ ἀπὸ τῶν α, β σημείων, ἔνθα αἱ ἀκτῖνες προσπίπτουσι τῷ ὕδατι, ἤχθωσαν πρὸς ὀρθὰς γωνίας τῇ αβ ἡ δα καὶ ἡ εβ. αὗται δ' ἔστωσαν νοηταί. φανερὸν δή, ὅτι αἱ ἀκτῖνες οὔτε

*) Ald. δηθ. **) Ald. ζ'.

ἐπ' εὐθείας χωροῦσι διὰ τὸ ἐμποδίζεσθαι ὑπὸ τοῦ ὕδατος (οὐ γὰρ ἀνεκλῶντο εἰ ἐπ' εὐθείας ἐχώρουν ἐν τῷ ὕδατι), οὔτε μὴν πρὸς ὀρθὰς κλῶνται. τί γὰρ τὸ ἀναγκάζον; λείπεται πρὸς λοξὰς γωνίας κλᾶσθαι. οὐκοῦν ἀπὸ τῶν α̅, β̅ σημείων μεταξὺ τῶν ἐπ' εὐθείας ἐκβεβλημένων καὶ τῶν α̅δ̅ *), β̅ε̅ ἐκβεβλήσθωσαν ἐπ' εὐθείας αἱ α̅ζ̅, β̅η̅. φανερόν, ὅτι αὗται λοξὰς γωνίας περιέχουσι καὶ εἰσὶν αὗται ἀπὸ τῆς ὄψεως πεμπόμεναι αἱ ἀκτῖνες καὶ διεσδύνουσαι ἐν τῷ ὕδατι. κατὰ λοξὰς ἄρα γωνίας γίνεται ἡ διάκλασις. αὕτη οὖν δευτέρα ἐστὶ διαφορὰ διακλάσεως καὶ ἀνακλάσεως, ὅτι ἡ μὲν πρὸς ἴσας γωνίας γίνεται, ἡ δὲ πρὸς ἀμβλείας. Ἐστὶ δὲ καὶ ἑτέρα τρίτη διαφορά· ὅτι ἐπὶ μὲν τῆς ἀνακλάσεως ἔλαττον φαίνεται τὸ ὁρώμενον, ἐπὶ δὲ τῆς διακλάσεως μεῖζον. ἡ δὲ αἰτία τούτου ἐστίν, ὅτι ἐπὶ μὲν τῆς ἀνακλάσεως συνάγονται αἱ ἀκτῖνες πρὸς τὸ ὁρώμενον, ἐπὶ δὲ τῆς διακλάσεως διαχέονται. καὶ ὅτι μεῖζον φαίνεται τὸ ὁρώμενον ἐπὶ τῆς διακλάσεως δῆλον. ἰδοὺ γὰρ τὰ ἐν ὕδασιν ὁρώμενα λιθίδια μεγάλα δοκεῖ εἶναι, καὶ ὅσῳ ἐν βάθει κεῖνται, τοσούτῳ μείζονα δοκοῦσιν. ἀλλὰ καὶ ὁ ἥλιος ἀνίσχων δι' ὁμίχλης θεωρούμενος μείζων εἶναι δοκεῖ **). Τούτων

---

*) Ald. α̅β̅.

**) Cfr. Olympiodor. fol. 10, b: ἐπὶ μὲν τῆς ἀνακλάσεως ἐπὶ τὰ αὐτὰ τοῦ ἐνόπτρου τὸ ὁρατὸν καὶ τὸ ὁρώμενον ὑπάρχει, ἐπὶ δὲ τῆς διακλάσεως μεταξὺ τοῦ ὁρῶντος καὶ τοῦ ὁρωμένου ἐστὶ τὸ κάτοπτρον, ὡς ἔχει ἐπὶ τῶν δι' ὕδατος ὁρωμένων. ἐστὶ δὲ καὶ ἄλλη διαφορά· τὰ γὰρ κατὰ διάκλασιν ὁρώμενα πρόσω ἀφίσταται, καὶ μείζονα φαίνεται, ὡς ἔχει ἐπὶ τῶν ἄστρων. ἀνίσχοντα γὰρ ταῖτα καὶ δύνοντα διὰ τὴν ἀτμίδα ἀναπεμπομένην ὁρῶνται πυρρὰ κατὰ διάκλασιν. μέση γὰρ ἡ ἀτμὶς ἤτοι τὸ κάτοπτρον. Ptolem. in *Almag.* I, 2. Tom. I p. 9 ed. Halma (Paris 1813, 4.): Ἀλλὰ γὰρ καὶ τὰ πρὸς τοῖς ὁρίζουσι (variorum scilicet locorum) μείζονα τὰ μεγέθη φαίνεσθαι οὐχ ἡ ἀπόστασις ἐλάττων οὖσα ποιεῖ, ἀλλ' ἡ τοῦ ὑγροῦ τοῦ περιέχοντος τὴν γῆν ἀναθυμίασις μεταξὺ τῆς τε ὄψεως ἡμῶν καὶ αὐτῶν γινομένη, καθάπερ καὶ τὰ εἰς ὕδωρ ἐμβληθέντα μείζονα φαίνεται καὶ ὅσῳ ἂν κατωτέρω ἂν χωρῇ, τοσούτῳ μείζονα. Eadem fere, quamvis falsa, explicandi ratione usi sunt Strabo III, p. 138. Cleomedes *Meteor.* II, 1. p. 190 ed. Henric. Petr. Cfr. Diodor. Sicul. XVII, 7. Tom. II, p. 165. Plutarch. *de esu carn.* p. 995 F. *de cohibenda ira* p. 460 A. Schol.

οὕτως ἐχόντων κατασκευάσωμεν, ὅτι κατὰ ἀνάκλασιν ταῦτα γίνονται καὶ οὐ κατὰ διάκλασιν, οὕτως· εἰ γὰρ κατὰ διάκλασιν ταῦτα ἐγίνοντο, ἔδει τὸν ἥλιον μείζονα φαίνεσθαι ἀπὸ τῆς ἴριδος καὶ τὴν σελήνην ἀπὸ τῆς ἅλω. ἀλλὰ μὴν οὐ φαίνονται μείζονες ἑαυτῶν. οὐκ ἄρα κατὰ διάκλασιν γίνονται, ἀλλὰ κατὰ ἀνάκλασιν. ἔπειτα δέ, εἰ κατὰ διάκλασιν ἐγίνοντο, ἐχρῆν εἶναι μεταξὺ τὴν ἶριν καὶ τὴν ἅλω τοῦ ἡλίου καὶ τῆς ἡμετέρας ὄψεως· ἀλλὰ μὴν ἐν τῷ ἐναντίῳ εἰσὶ τόπῳ. οὐκ ἄρα κατὰ διάκλασιν γίνονται, ἀλλὰ κατὰ ἀνάκλασιν. καὶ ταῦτα μὲν περὶ τῆς ἀνακλάσεως καὶ διακλάσεως. Ἀλλ' ἐπειδή τινες διαβάλλουσι τὸν Ἀριστοτέλη φάσκοντες αὐτὸν ἄπειρον εἶναι γραμμικῆς ἐπιστήμης καὶ πειρῶνται αὐτὸν διελέγχειν ἐν τοῖς περὶ ἅλω καὶ ἴριδος θεωρήμασι, φέρε προβάλλωμεν τὰ ὑπ' αὐτοῦ λεγόμενα καὶ ἐφ' οἷς ἐκεῖνοι λαμβάνονται, εἶθ' οὕτως ἐλευθερώσωμεν αὐτὸν τῆς ἐκείνων διαβολῆς. ἐπειδὴ γὰρ ἐν τοῖς περὶ ἅλω λόγοις ἔφη, ὅτι αἱ ἀπὸ τῆς ὄψεως ἐπὶ τὸ νέφος προσπίπτουσαι εὐθεῖαι ἴσαι εἰσὶ καὶ ἀπὸ τοῦ ἡλίου πρὸς νέφος, ὧν μία κάθετός ἐστιν, αἱ δὲ λοιπαὶ αἱ μὲν πρὸς τῇ καθέτῳ εἰσίν αἱ δὲ διϊστάμεναι τῆς καθέτου, δῆλον, ὅτι ἡ μὲν κάθετος πασῶν ἐλαχίστη ἐστίν, αἱ δὲ διϊστάμεναι τῆς καθέτου καὶ λοξῶς φερόμεναι ἐκ τῆς ὄψεως πρὸς τὸ νέφος, ἐκεῖναι μείζονές εἰσι πασῶν, αἱ δὲ πρὸς τῇ καθέτῳ μείζονες μέν εἰσι τῆς καθέτου, οὐκ ἄρα ἴσαι εἰσιν. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἀπὸ τοῦ ἡλίου προσπιπτουσῶν εὐθειῶν λέγουσιν. ἔστω γὰρ ὄψις



μὲν τὸ α, ἥλιος δὲ τὸ β, νέφος δὲ τὸ γζδ. καὶ ἤχθωσαν ἀπὸ μὲν τοῦ α εὐθεῖαι ἐπὶ τὸ νέφος τὸ γζδ, αἱ αγ, αδ, αζ· ἀπὸ δὲ τοῦ ἡλίου τοῦ β ἤχθωσαν ἐπὶ τὸ νέφος αἱ βγ, βδ, βζ. δῆλον, ὅτι τῶν ἀπὸ τοῦ α πεμπομένων εὐθειῶν ἐπὶ τὸ γζδ νέφος ἐλαχίστη ἐστὶν ἡ αζ, ὡς κάθετος οὖσα. ὁ μέντοι Ἀριστοτέλης πάσας λέγει ἴσας εἶναι. καὶ πάλιν τῶν ἀπὸ τοῦ ἡλίου

Arati *Diosem.* v. 789. 847. Maiores apparere res matutina et vespertina luce, quando in horizontis vicinia conspiciuntur, adnotavit etiam Livius XLI, 2: *Nebula matutina texerat inceptum qua dilabente ad*

τοῦ $\overline{\beta}$ ἐπὶ τὸ $\overline{\gamma\zeta\delta}$ νέφος πεμπομένων εὐθειῶν ἐλαχίστη ἐστὶν ἡ $\overline{\beta\zeta}$, ὡς κάθετος. φησὶ δὲ καὶ ταύτας ἴσας εἶναι πάλιν πάσας. δοκεῖ οὖν παρὰ τὴν ἐνέργειαν φθέγγεσθαι. αὕτη μὲν αὐτῶν ἐστιν ἡ κατηγορία. φέρε οὖν ἡμεῖς ἐλευθερώσωμεν αὐτὸν τῆς τοιαύτης ὑπολήψεως. δεῖ γὰρ νέφος μὴ νοεῖν ὡς ἓν ἐπίπεδον μήτε συνεχές, ἀλλὰ νεφύδρια *) μικρὰ διεσπασμένα, μὴ ἐν ἑνὶ ἐπιπέδῳ κείμενα, ἀλλὰ κατὰ βάθος ἀλλήλων. καὶ ὅτι εἰσὶ κατὰ βάθος κείμενα ἀλλήλων νέφη, καὶ οἶδε καὶ αὐτὸς Ἀριστοτέλης. ἔφη γὰρ ἐν τῷ περὶ βροντῆς καὶ ἀστραπῆς λόγῳ, ὅτι ὅταν [δὲ] τὸ πνεῦμα ἐκκριθῇ τοῦ νέφους βιαίως καὶ προσπταίῃ εἰς τὰ κατώτερα κείμενα νέφη, τότε βροντὴ καὶ ἀστραπὴ γίνεται **). οἶδεν ***) ἄρα κατὰ βάθος κείμενα νέφη. οὐκοῦν δεῖ ὑποθέσθαι νεφύδρια κατὰ βάθος ἀλλήλων κείμενα, ἵνα τὰ κατὰ κάθετον τῆς ὄψεως κείμενα ὑψηλοτέραν ἔχωσι τὴν θέσιν, τὰ δ' ἐκ πλαγίου βαθυτέραν. τούτων οὕτως ἐχόντων οἱ ἀπὸ τῆς ὄψεως ἐκπεμπόμεναι ὑψηλοτέροις προσβάλλουσαι νέφεσιν, ἀναλογοῦσι τῷ διαστήματι ταῖς λοξῶς φερομέναις ἐπὶ τὰ χθαμαλώτερα νέφη. ἔστω γὰρ ἡ ὄψις τὸ $\overline{o}$· ἐκ δὲ τοῦ $\overline{o}$ ἐκπεμπέσθωσαν εὐθεῖαι ἴσαι ἐπὶ τὰ νέφη, αἱ $\overline{o\kappa}$, $\overline{o\lambda}$, $\overline{o\mu}$, $\overline{o\nu}$, $\overline{o\xi}$· καὶ ἔστω ἡ μὲν $\overline{o\kappa}$ κάθετος κατ' εὐθεῖαν ἐκπεμπομένη, αἱ δὲ λοιπαὶ πλάγιοι παρ' ἑκάτερα τῆς $\overline{o\kappa}$. δῆλον, ὅτι αὐτὸν τὸν τόπον ἐπικαταλαμβάνουσιν.



ἔνθεν γάρ, ὡς οἶμαι, καὶ κυκλοτερὴς ἡ ἅλως φαίνεται διὰ τὸ τὰς ἐκεῖσε πεμπομένας εὐθείας ἐκ τῆς ὄψεως ἴσας εἶναι καὶ κατὰ ὕφεσιν

---

primum tenorem solis perlucens iam aliquid, incerta tamen, ut solet, lux omnem multiplicem intuenti reddens multo maiorem iis, quam erat, hostium aciem ostendit.

*) Lexx. addatur.

**) Quae verba inter Aristotelica non reperiuntur neque in capite extremo libri secundi, neque in huius primo, in quibus solis de fulmine ac tonitru dictum est. Habuitne Olympiodorus fortassis ante oculos singularem Aristotelis super hac re libellum? δὲ, cum sit ineptum, uncis inclusimus.

***) Ald. εἶδεν.

ἐπικαταλαμβάνειν τοὺς τόπους, τὴν μὲν κάθετον καὶ τὴν περὶ αὐτὴν τὰ ὑψηλότερα νέφη, τὰς δ' ἄλλας τὰς λοξὰς ἐκπεμπομένας εἰς τὰ ταπεινότερα. καὶ οὕτω κατὰ ὕφεσιν καταλαμβανουσῶν τῶν ἴσων εὐθειῶν τὰ νέφη, γίνεται κύκλος. ἀλλὰ μὴν καὶ ἐν τοῖς περὶ ἴριδος λόγοις ἐγκαλοῦσιν αὐτῷ, ὡς εἰπόντι τὰς ἐκ τῆς ὄψεως ἐπὶ τὸ νέφος προσπιπτούσας εὐθείας ἴσας εἶναι ταῖς ἀπὸ τῆς ὄψεως ἐπὶ τὸν ἥλιον προσπιπτούσαις. ὅπερ ἐστὶν ἄπειρον. ἀπείρῳ γὰρ διαστήματι ὑπερβάλλουσιν οἱ ἀπὸ τῆς ὄψεως πρὸς τὸν ἥλιον τὰς ἀπὸ τῆς ὄψεως πρὸς τὸ νέφος. φέρε δὲ πάλιν τὸ ὑπ' αὐτοῦ λεγόμενον ἐκθήσομεν, καὶ πῶς ἐκεῖνοι λαμβάνονται δείξωμεν, εἶθ' οὕτως τὴν ἐπίλυσιν ἐπαγάγωμεν. φησὶ γὰρ ὁ Ἀριστοτέλης ἐν τῷ περὶ ἴριδος λόγῳ *), ὅτι ἔστω ὁρίζων κύκλος ομν, κέντρον δὲ τὸ α, ἥλιος δὲ η στοιχεῖον, μέλαν δε νέφος τὸ μ. δῆλον, ὅτι αἱ ἀπὸ τοῦ α πρὸς τὸ ομν προσπίπτουσαι εὐθεῖαι ἴσαι εἰσι ταῖς ἀπὸ τοῦ α πρὸς τὸ η προσπιπτούσαις. φαίνονται δὲ πολλῷ ὑπερέχουσαι αἱ ἀπὸ τοῦ α εἰς τὸ η προσπίπτουσαι εὐθεῖαι τὰς ἐκ τοῦ α πρὸς τὸ ν προσπιπτούσας. δοκεῖ οὖν παρὰ τὴν ἐνέργειαν **) φθέγγεσθαι ὁ Ἀριστοτέλης. ἀλλ' ἵνα τῆς τοιαύτης αὐτὸν ἐλευθερώσωμεν ὑπονοίας, ἑτέρᾳ τινὶ χρησόμεθα καταγραφῇ. οὐ γὰρ ὡς ἐκεῖνοί φασι τὰς ἀπὸ τοῦ κέντρου τοῦ παντὸς ἐπὶ τὸν ἥλιον προσπιπτούσας εὐθείας ἴσας εἶναι ταῖς ἀπὸ τοῦ κέντρου πρὸς τὸ νέφος προσπιπτούσαις εἶπεν Ἀριστοτέλης. τοῦτο γὰρ λίαν ἀνόητον. οὔτε γὰρ τὸ κέντρον τοῦ παντὸς λαμβάνει, ἀλλὰ κέντρον ἕτερον ἑτέρου κύκλου νοητοῦ, ἐξ οὗ αἱ προσπίπτουσαι τῷ νέφει καὶ τῷ ἡλίῳ ἴσαι εἰσιν. εἰλήφθω γὰρ ὁρίζων τοῦ νέφους κύκλος ὁ αβγ, κέντρον δὲ τοῦ παντός τὸ ζ. ἔξωθεν δὲ τοῦ νέφους γεγράφθω ἄλλος κύκλος ὁ κλμ ἐμπεριέχων τὸν κύκλον τοῦ νέφους. καὶ ἔστω οὗτος ὁ ὁρίζων τοῦ ἡλίου, ἤγουν ἡλιακὴ σφαῖρα. καὶ μεταξὺ τοῦ ὁρίζοντος τοῦ ἡλίου ἕτερος ὁρίζων ***) γεγράφθω νοητός, ἐφαπτόμενος τῶν δύο ὁριζόντων τοῦ τε νέφους καὶ τοῦ ἡλίου. καὶ ἔστω τούτου κέντρον τὸ ο. καὶ ἀπὸ τοῦ ο κέντρου ἤχθωσαν εὐθεῖαι ἐφαπτόμεναι τοῦ αβγ κύκλου, ὅς ἐστι τοῦ νέφους, καὶ τοῦ κλμ, ὅς ἐστι τοῦ ἡλίου.

---

*) III, 5, 2 sqq. **) Ald. ἐνάργειαν. ***) Scr. κυκλός.



φανερόν, ὅτι αὗται αἱ εὐθεῖαι ἶσαι ἀλλήλαις εἰσίν, ἡ $\overline{ογ}$ *) καὶ $\overline{οκ}$ καὶ αἱ λοιπαί. ἀπὸ κέντρου γάρ εἰσί. δῆλον ἄρα, ὅτι ταύτας λέγει Ἀριστοτέλης ἀπὸ κέντρου ἴσας εἶναι καὶ πρὸς τὸν ἥλιον καὶ πρὸς τὸ νέφος. ἐκεῖνοι δὲ κατηγόρουν τοῦ φιλοσόφου ὥς τὴν $\overline{ζγ}$ **) τῇ $\overline{ζκ}$ ***) ἴσην λέγοντος, ὅπερ οὐκ ἦν ἀληθές· ὡς γὰρ πρὸς τὸν νοητὸν ὁρίζοντα λέγει ταῦτα, ὅνπερ ὁρίζοντα διὰ ἄφατον συντομίαν ἐφαπτόμενον τῶν δύο ὁριζόντων. ταῦτά εἰσι τὰ προτέλεια τῶν μελλόντων λέγεσθαι περὶ ἅλω καὶ ἴριδος. ἐπὶ τούτοις καταπαύσωμεν τὴν παροῦσαν θεωρίαν †). — Olympiodor. fol. 47, a — 49, a.

---

*) Ald. $\overline{οβ}$. **) Ald. $\overline{ζρ}$. ***) Ald. $\overline{ζσ}$.

†) In verborum Olympiodori, quae postremo loco adscripsimus, emendatione usi sumus explicatione Vicomercati p. 344.

Οὐκ ἀρέσκεται μὲν τῇ δόξῃ, τῇ δι᾽ ἀκτίνων ἐκχύσεως ὁρᾶν ἡμᾶς λεγούσῃ, καθά φασιν οἱ ἀπὸ τῶν μαθημάτων, ᾗ δόξῃ ἀκόλουθός ἐστι καὶ ἡ δι᾽ ἀνακλάσεως τῶν αὐτῶν τούτων ἀκτίνων ὁρᾶν ἡμᾶς πάντα τὰ δι᾽ ἐμφάσεως ὁρώμενα λέγουσα. οὔτε γὰρ ἀπὸ τῆς ὄψεως ἀκτῖνάς τινας ἐκχεομένας καὶ προσπιπτούσας τῷ ὁρατῷ αἰτίας ἡμῖν τοῦ ὁρᾶν οἷόν τε γίνεσθαι, οὔτε τὰς αὐτὰς ταύτας ἀνακλωμένας ἀπὸ τῶν κατόπτρων καὶ πάντων τῶν διὰ τοιούτων ὁρωμένων ἐπὶ τὸ ὁρώμενον τὴν αἰτίαν ἡμῖν πάλιν παρέχειν τοῦ ταῦτα ὁρᾶν, τῆς τῶν ἀκτίνων ἀνακλάσεως πρὸς ἴσας γινομένης γωνίας. ὅτι γὰρ ἀδύνατα ταῦτα ἐδείχθη ἐν τοῖς περὶ τοῦ πῶς ὁρῶμεν, ὧν καὶ αὐτὸς ἐν τοῖς περὶ ψυχῆς ἐμνημόνευσε *). δοκεῖ γὰρ αὐτῷ τὰ μὲν ἐπ᾽ εὐθείας ὁρώμενα, ὁρᾶσθαι οὐ δι᾽ ἀκτίνων, ἀλλὰ τῷ τὸ μεταξὺ τοῦ τε ὁρωμένου καὶ τῆς ὄψεως διαφανὲς ὑπὸ τοῦ ὁρωμένου χρώματος πάσχειν καὶ μεταδιδόναι τούτου τοῦ πάθους τῇ ὄψει οὔσῃ καὶ αὐτῇ διαφανεῖ. τὰ δὲ κατὰ ἀνάκλασιν ὁρᾶσθαι δοκοῦντα, ὁρᾶσθαι τῷ πρῶτον ἐν τοῖς ἐνόπτροις τε καὶ ἐνοπτρικοῖς πᾶσι τὴν τοῦ ὁρωμένου ἔμφασιν γίνεσθαι διὰ τοῦ μεταξὺ διαφανοῦς, εἶτα ἐπὶ τούτου πάλιν ἥκειν ἐπὶ τὴν ὄψιν διὰ τοῦ διαφανοῦς πάλιν τοῦ μεταξὺ τοῦ τε ἐνόπτρου καὶ τῆς ὄψεως. ἐπεὶ δὲ οὐδὲν ὅσον διαφέρει ἢ τὴν ὄψιν λέγειν ἀπὸ τοῦ κατόπτρου ἀνακλωμένην πρὸς ἴσας γωνίας, ὅταν ὑπὸ τὴν τοιαύτην ἀνάκλασιν τύχῃ τὸ ὁρατὸν ὂν προπίπτουσαν αὐτῷ ὁρᾶν αὐτό, ἢ αὐτὸ τὸ ὁρατὸν διὰ τὴν ποιὰν σχέσιν πρὸς τὸ κάτοπτρον διὰ τοῦ μεταξὺ διαφανοῦς πάσχοντος ἐμφαινόμενον ἐν ἐκείνῳ, ὄντι τοιούτῳ διαφανεῖ, ὡς μὴ μόνον πάσχειν ὑπὸ τοῦ χρώματος δύνασθαι οὕτως, ὡς διαδιδόναι τὴν ἀπ᾽ αὐτοῦ ποιότητα ἄλλῳ διαφανεῖ, ἀλλὰ καὶ φυλάσσειν δυναμένῳ τὴν ἔμφασιν διὰ λειότητά τε καὶ στιλπνότητα, ὡς ἀπ᾽ αὐτοῦ πάλιν τὸ μεταξὺ αὐτοῦ τε καὶ τοῦ διαφανοῦς πάσχειν ὡς ἀπὸ κεκρισμένου, τῇ δόξῃ τῇ τῶν ἀκ-

*) cfr. *de anima* II, 7. Ad libros, quorum titulus περὶ τοῦ πῶς ὁρῶμεν, nusquam, neque in libris de anima, neque in reliquis, quae hodie supersunt Aristotelicis operibus, neque apud alium quemquam scriptorem mentio iniicitur. ὧν spectat ad antegressum ὅτι ἀδύνατα ταῦτα.

τίνων καθωμιλημένῃ τε οὔσῃ καὶ τοῖς μαθηματικοῖς ἀρεσκούσῃ προσχρῆται *). διὸ μέλλων λέγειν περί τε παρηλίων καὶ ῥάβδων, ἔτι δὲ ἄλω τε καὶ ἴριδος, ἃ πάντα δι' ἐμφάσεώς τε καὶ κατοπτρικῶς ὁρᾶται, πρῶτον περὶ ἀνακλάσεως λέγει, ὅτι γάρ φησιν, ἡ ὄψις ἀνακλᾶται ὥσπερ ἀφ' ὕδατος, οὕτω καὶ ἀπ' ἀέρος καὶ πάντων τῶν ἐχόντων λείαν τὴν ἐπιφάνειαν, ἐκ τῶν ὀπτικῶν δεῖ λαμβάνειν. ἐν ἐκείνοις γὰρ περὶ ἀνακλάσεως ὑπὸ τῶν μαθηματικῶν λέγεται λόγος **), ἀπὸ τίνων τε καὶ πῶς γίνεται, καὶ πρὸς τὰ πῶς ἔχοντα θέσεως. ἀλλὰ καὶ ὅτι τῶν ἐνόπτρων ὅσα πρὸς τὴν αἴσθησίν ἐστιν ἀδιαίρητα, ἐν τούτοις τῶν δι' αὐτῶν ὁρωμένων τὰ χρώματα μόνον, οὐκέτι δὲ καὶ τὰ σχήματα ἐμφαίνεται τῷ πᾶν σχῆμα πρὸς αἴσθησιν εἶναι διαιρετόν τε καὶ διαληπτὸν εἰς μέρη. τὰ δὲ τοιαῦτα ἔνοπτρα ἀδιαίρετα πρὸς αἴσθησιν. ἐπεὶ οὖν ἐμφαίνεσθαί τι καὶ ἐν τούτῳ ἀνάγκη, ὄντι τε κατόπτρῳ, ἀδύνατον δὲ τὸ σχῆμα ἐμφαίνεσθαι διὰ μικρότητα, λείπεται τὸ χρῶμα μόνον. ταῦτα γὰρ τὰ ἐμφαινόμενα τῶν ὁρωμένων, ἐφεξῆς περὶ τοῦ ἐμφαινομένου ἐν τοῖς κατόπτροις λέγει χρώματος ποταπὸν ***) παντοδαπὸν ἐμφαίνεσθαι, ὁτὲ μὲν λαμπρὸν φαίνεσθαι τῶν λαμπρῶν, ὁτὲ δὲ λαμπροῦ ὄντος τοῦ ὁρωμένου οὐ τοιοῦτον δείκνυσι τὸ κάτοπτρον. ἀλλ' ἢ διὰ τὸ μίγνυσθαι τῷ τοῦ ἐνόπτρου χρώματι τὸ ἀπὸ τοῦ ὁρωμένου, οὐκ ὄντι λαμπρῷ αὐτὸ ὂν λαμπρόν, ἢ καὶ διὰ τὴν τῆς ὁρώσης ὄψεως ἀσθένειαν, ἀλλοίου χρώματος φαντασία δι' αὐτοῦ γίνεται. οἰκεῖον δέ φησιν εἶναι τὸν περὶ τούτων λόγον τῷ περὶ αἰσθήσεως καὶ ἐν ἐκείνοις δεδεῖχθαι †). λέγει δὲ περὶ τούτων ἐν τῷ ἐπιγραφομένῳ περὶ αἰσθήσεώς τε καὶ αἰσθητῶν εἰρῆσθαι ὑπ' αὐτοῦ. διὸ δεῖν φησι τοῖς μὲν

---

*) Vide Commentar. ad I, 6, 2. Vol. I. p. 384.

**) Ex his patet, Alexandri aetate nullum amplius exstitisse Aristotelis de optica libellum, ad quem ipse h. l. provocare videtur philosophus.

***) Cfr. Buttmann *Lexilog.* I. p. 125. 302. Lobeck. ad Phryn. p. 56 sq. — Alexander saepenumero hoc vocabulo utitur, ex. gr. fol. 117, a: ζητεῖ δὲ ποταπή τις ἀνάκλασίς ἐστιν.

†) *De sensu ac sensil.* cap. 3. p. 439, b.

ὡς δεδειγμένοις τε καὶ κειμένοις χρῆσθαι τοῖς περὶ τῶν ἀνακλάσεων, τοῖς περὶ τῶν κατόπτρων, τοῖς περὶ τῶν χρωμάτων, τὰ δὲ λέγειν· ταῦτα δέ ἐστι, περὶ ὧν προέθετο. — Alexander fol. 115, a. b.

II, 1. *Περὶ δὲ ἅλω καὶ ἴριδος τί τε ἑκάτερον καὶ διὰ τίνα αἰτίαν γίνεται, λέγωμεν.*] Ὥσπερ ἐν τῇ φυσικῇ πραγματείᾳ περὶ τόπου διαλεγόμενος ὁ Ἀριστοτέλης *) καὶ ἐν τῇ περὶ γενέσεως καὶ φθορᾶς περὶ τοῦ τρεφομένου **) καὶ ἐν ταύτῃ τῇ πραγματείᾳ περὶ χαλάζης ***), πρῶτον τὰ ὑπάρχοντα αὐτοῖς παρέδωκε, τουτέστι τὰ ἀξιώματα, εἶτα τὰς γενέσεις καὶ μετὰ ταῦτα τὰς αἰτίας τῆς γενέσεως ἀποδείξει †). ἔστι δὲ ὑπάρχοντα ἴριδι καὶ ἅλῳ ταῦτα· πρῶτον μέν, ὅτι ἡ μὲν ἅλως ὡς ἐπὶ τὸ πλεῖστον κύκλος φαίνεται τέλειος ὑπάρχων περὶ τὸ λαμπρόν, σπανίως δὲ ἐλάττων κύκλου. ὅταν δ' ἐλάττων κύκλου φαίνηται, ἀδιόριστον γίνεται τοῦ τμήματος τὸ μέγεθος. ποτὲ μὲν γὰρ ἡμικύκλιον φαίνεται, ποτὲ δὲ μεῖζον ἡμικυκλίου, ποτὲ δ' ἔτι μεῖζον, ποτὲ δ' ἐλάχιστον ἐπὶ τὸ λοιπόν. ἐπὶ δὲ τῆς ἴριδος οὐχ οὕτως. αὕτη γὰρ κύκλος μὲν τέλειος οὐδέποτε φαίνεται, ἀλλ' ἀεὶ ἐλάττων †*) κύκλου. αὐτὸ δὲ τὸ σχῆμα ἀεὶ ὡρισμένον ἐστὶ ἐπὶ τῆς ἴριδος. ἢ γὰρ καθ' ἡμικύκλιον φαίνεται, ἢ κατὰ ἐλάχιστον ἡμικυκλίου τμῆμα. ἀλλ' ὅταν μὲν κατὰ ἡμικύκλιον φαίνηται, τηνικαῦτα ἐλάττονος κύκλου ἡμικύκλιόν ἐστι τὸ φαινόμενον σχῆμα τῆς ἴριδος. ὅταν δ' ἔλαττον ἡμικυκλίου ᾖ τὸ σχῆμα ††) τῆς ἴριδος, τηνικαῦτα μείζονος κύκλου τμῆμα φαίνεται τὸ φαινόμενον· καὶ ἡνίκα μὲν περὶ τὸν ὁρίζοντα ὄντος τοῦ ἡλίου γένηται ἡ ἶρις, τηνικαῦτα τὸ ἡμικυκλίου φαίνεται σχῆμα τῆς ἴριδος. ὅταν δ' ὑπὲρ τὸν

---

*) *Phys. Auscultat.* IV, 4. **) *De generat. et inter.* II, 8.

***) *Meteorol* I, 12. Poterat addere Olympiodorus *de part. animal.* I, 1: *ἔοικε δ' ἐντεῦθεν ἀρκτέον εἶναι, καθάπερ καὶ πρότερον εἴπομεν, ὅτι πρῶτον τὰ φαινόμενα ληπτέον περὶ ἕκαστον γένος, εἶτα τὰς αἰτίας τούτων λεκτέον καὶ περὶ γενέσεως.*

†) Ald. ἀποδεῖξαι. †*) Ald. ἔλαττον.

††) Ald. ᾖ τῷ σχήματι.

ὁρίζοντα ὁ ἥλιος ἱκανόν τι διάστημα *), τότε ἔλαττον ἡμικυκλίου φαίνεται ἡ ἶρις. αὕτη πρώτη διαφορὰ ἴριδος καὶ ἅλω. δευτέρα διαφορά, ὅτι ἡ μὲν ἅλως περὶ τὴν σελήνην ὡς ἐπὶ τὸ πλεῖστον γίνεται, σπανίως δὲ καὶ ἐπὶ τὸν ἥλιον· ἡ δὲ ἶρις τὸ ἀνάπαλιν ὡς ἐπὶ τὸ πλεῖστον μὲν ἡμέρας ἀπὸ τοῦ ἡλίου, σπανίως δὲ ἀπὸ τῆς σελήνης. τρίτη διαφορά, ὅτι ἡ μὲν ἅλως ὡς ἐπὶ τὸ πλεῖστον νύκτωρ γίνεται, σπανίως δὲ καὶ ἐν ἡμέρᾳ περὶ τὸν ἥλιον, ἡ δὲ ἶρις τὸ ἀνάπαλιν ὡς ἐπὶ τὸ πλεῖστον μὲν ἡμέρας ἀπὸ τοῦ ἡλίου, σπανίως δὲ νύκτωρ ἀπὸ τῆς σελήνης **). τετάρτη διαφορά, ὅτι ἡ μὲν ἅλως περὶ τὸν μεσημβρινὸν ὡς ἐπὶ τὸ πλεῖστον γίνεται, σπανίως δὲ περὶ τὸν ὁρίζοντα, ἡ δὲ ἶρις ὡς ἐπὶ τὸ πλεῖστον μὲν περὶ τὸν ὁρίζοντα, σπανίως δὲ περὶ τὸν μεσημβρινόν. καὶ ἶρις ὅταν ὁ ἥλιος ἐν τῷ νοτίῳ κλίματί ἐστι, τουτέστιν ἐν τῷ χειμερινῷ τροπικῷ, τότε γίνεται. ἐπειδὴ ὁ μεσημβρινός, ἐν ᾧ ἐστιν ὁ ἥλιος, οὐ πολὺ ἀπέχει τοῦ ὁρίζοντος, τότε σπανίως περὶ τὸν μεσημβρινὸν ἶρις φαίνεται, ὡς ἐπὶ τὸ πλεῖστον δὲ περὶ τὸν ὁρίζοντα καὶ μᾶλλον περὶ τὸν δυτικόν, ἢ περὶ τὸν ἀνατολικόν. πέμπτη διαφορά, ὅτι ἡ μὲν ἅλως ἁπλῆ ἐστιν, ἡ δὲ ἶρις διπλῆ. ποῦ μὲν γὰρ μία φαίνεται ἅλως, ποῦ δὲ δύο ἴριδες. ἕκτη διαφορά, ὅτι ἡ μὲν ἅλως μονόχρους, ἡ δὲ ἶρις τρίχρους. ἡ μὲν γὰρ ἐντὸς ζώνη φαίνεται φοινικοῦν ἔχουσα χρῶμα, ἡ δὲ δευτέρα πράσινον, ἡ δὲ τρίτη ἁλουργόν, ὅπερ ἐπὶ τὸ μελάντερον προστρέπει καὶ πορφυρίζον, οἷόν ἐστι τὸ ἐν τῇ ἁλουργίδι χρῶμα· ἡ δὲ ἅλως λευκὸν μόνον ἔχει τὸ χρῶμα ***). ἑβδόμη διαφορά, ὅτι ἡ

---

*) Deest verbum, quod tamen facile quivis supplere potest. Eius modi inusitatam melioribus scriptoribus breviloquentiam adamasse videntur serioris aevi scriptores. Ita supra Philopon. fol. 97, a. Tom. I. p. 192: ὁ τὰ Ἀργοναυτικὰ sc. γράψας. Ad ἔλαττον, quod sequitur, supple τμῆμα, nisi scribendum ἐλάττων.

**) Quam differentiam afferre, ut quivis intelligit, prorsus supersedere poterat Olympiodorus, adlata, quam secundo loco posuit.

***) Corona tamen, quae omnes iridis colores praebuit, Romae apparuit, cum Octavianus Augustus ex Apollonia Romam revertebatur. Cfr. Plin. *Histor. nat.* II, 28. Senec. *Quaest. nat.* I, 2, 1.

μὲν ἅλως ἐπὶ ὁμαλοῖς καὶ ὁμοιομερέσι νέφεσι γίνεται. δεῖται γὰρ τῶν μὲν ἐπιπολαιότερον κειμένων νεφῶν, τῶν δὲ βαθύτερον, τουτέστιν ἀνωμάλων, καὶ τῶν μὲν παχυτέρων, τῶν δὲ λεπτοτέρων, τουτέστιν ἀνομοιομερῶν πρὸς τὸ συστῆναι ἡ ἶρις, ἡ δὲ ἅλως ὁμαλῶν καὶ ὁμοιομερῶν. ταῦτα μέν ἐστι τὰ ὑπάρχοντα ἴριδί τε καὶ ἅλῳ, ἑπτὰ τὸν ἀριθμὸν ὑπάρχοντα. λοιπὸν ζητήσωμεν καὶ περὶ ῥάβδων καὶ παρηλίων. ὑπάρχει γὰρ καὶ τούτοις τρία τινὰ πρόσωπα· πρῶτον μέν, ὅτι ταῦτα οὔτε κατὰ διάμετρον γίνονται τοῦ λαμπροῦ, ὥσπερ ἡ ἶρις, οὔτε κατὰ κάθετον, ὥσπερ ἡ ἅλως, ἀλλὰ ἐκ πλαγίων τοῦ λαμπροῦ γίνονται. δεύτερον, ὅτι ἶρις μὲν καὶ ἡ ἅλως νύκτωρ καὶ μεθ' ἡμέραν γίνονται, παρήλιοι δὲ καὶ ῥάβδοι ἡμέρας μόνον· περὶ γὰρ τὸν ἥλιον μόνον. τρίτον, ὅτι καὶ αὗται πρὸς τὸν ὁρίζοντα μάλιστα γίνονται ἢ πρὸς τὸν μεσημβρινόν. ἔστι γὰρ ὅτε καὶ ἐν τῷ μεσημβρινῷ γίνονται, ὥσπερ καὶ ἶρις· περὶ τὸν ὁρίζοντα δὲ μάλιστα τὸν δυτικόν. εἶπε δὲ καὶ ἄλλην διαφοράν. οἱ μὲν ῥάβδοι ἐπ' ἀνωμάλων καὶ ἀνομοιομερῶν γίνονται νεφῶν, ὥσπερ καὶ ἡ ἶρις, ὅθεν καὶ τρίχρους ἐστὶν ἡ ῥάβδος, οἱ δὲ παρήλιοι ἐπὶ ὁμαλῶν καὶ ὁμοιομερῶν, ὥσπερ ἡ ἅλως, ὅθεν καὶ μονόχροές εἰσι. ταῦτα μὲν εἰσὶ τὰ ὑπάρχοντα τοῖς κατὰ ἔμφασιν γινομένοις. εἴπωμεν λοιπὸν περὶ τῆς γενέσεως αὐτῶν. ἀλλὰ πρὸ τούτου τρία τινὰ λήμματα προβάλλωμεν, ὧν τὸ πρῶτόν ἐστι τοιοῦτον. ἐπειδὴ γὰρ τῇ προτεραίᾳ*) ἐδιδάχθης, ὅτι ἀνακλᾶται ἡ ὄψις, δεῖ οὖν πρὸς ὃ γίνεται ἡ ἀνάκλασις, τουτέστι τὸ ἔνοπτρον πυκνὸν εἶναι καὶ λεῖον καὶ διαφανές.

Vellej. Patercul. II, 59, 6. Contra iridem solis unicolorem describit Lucanus *Pharsal.* IV, 79 sqq.:

Hinc imperfecto complectitur aëra gyro
Arcus, vix ulla variatus luce colorem,
Oceanumque bibit, raptosque ad nubila fluctus
Pertulit et caelo diffusum reddidit aequor.

Quamquam, monente Fromondo (*Meteorolog.* VI, 1. p. 542), etiam ad densitatem nubium, quae radios solis non satis profunde ad variandos colores admittunt, respicere potuerit.

*) Sc. πράξει.

πυκνὸν μέν, ἵνα ὡς πρὸς ἀντίτυπον ἡ ὄψις φερομένη μὴ διεισδύνῃ, ἀλλ' ἀνακλᾶται καὶ φέρεται πρὸς τὸ ὁρώμενον. λεῖον δὲ καὶ ὁμαλόν, ἵνα μὴ διαχῆται τραχέος ὄντος τοῦ κατόπτρου καὶ διαιρῆται τὸ εἴδωλον τοῦ ὁρατοῦ. τοῦτο μὲν πρῶτον λῆμμα. δεύτερον δ' ὅτι ἐν τοῖς μικροτέροις κατόπτροις οὐ τὸ σχῆμα φαίνεται τοῦ λαμπροῦ, ἀλλὰ τὸ χρῶμα μόνον, ἐπειδὴ οὐ χωρεῖται ἐν αὐτοῖς, ὥσπερ ἐπὶ ῥανίδων ῥαινομένων ἐπὶ ἡλίῳ· ἐν ταύταις γὰρ οὐκ ἐμφαίνεται τὸ σχῆμα τοῦ ἡλίου, ἀλλὰ μόνον τὸ χρῶμα. τρίτον, ὅτι τὸ ὁρώμενον λαμπρόν ἐστιν, ὅταν φαίνηται ἀμαυρόν, ἢ διὰ τὴν περικειμένην ἀχλύν, ἢ διὰ τὴν ἀσθένειαν τῆς ὄψεως. καὶ γὰρ ἡ ἀτονία τῆς φύσεως ἐπὶ τὸ μέλαν ὁδεύουσα, ἀμαυρότερον ποιεῖ φαίνεσθαι τὸ λαμπρόν. ταῦτα μὲν οὖν εἰσὶ τὰ γ' λήμματα. λοιπὸν εἴπωμεν περὶ τῆς γενέσεως τῆς ἅλω, ὅπως γίνεται κυκλοτερὴς οὕτως. πρὸς γὰρ τὴν τούτου κατασκευὴν εἰλήφθωσαν δύο τρίγωνα ὅμοια ἀλλήλοις, τουτέστιν ἴσας ἔχοντα τὰς πλευρὰς ἑκατέραν ἑκατέρᾳ καὶ τὴν βάσιν τῇ βάσει. καὶ ἔστω τὰ $\overline{αβγ}$, $\overline{δεζ}$. λέγω, ὅτι αἱ ἀπὸ τῶν κορυφῶν αὐτῶν ἀγόμεναι κάθετοι ἐπὶ τὴν βάσιν ἴσαι ἔσονται, καὶ ἴσα τμήματα τῆς βάσεως ἀπολήψονται. ἤχθωσαν γὰρ κάθετοι ἀπὸ τῶν $\overline{αβγ}$, $\overline{δεζ}$ τριγώνων ἐπὶ τὰς $\overline{αγ}$, $\overline{δζ}$ βάσεις, ἡ $\overline{βη}$ καὶ $\overline{εθ}$. λέγω, ὅτι ἴσαι εἰσὶν αἱ κάθετοι καὶ ἴσα τμήματα ἀπολαμβάνουσι τὰ $\overline{ηγ}$ καὶ $\overline{θζ}$. ἐπεὶ γὰρ ἴση



ἐστὶν ἡ $\overline{αβ}$ τῇ $\overline{δε}$ καὶ ἡ $\overline{αγ}$ τῇ $\overline{δζ}$, δύο δὴ αἱ $\overline{αβ}$, $\overline{αγ}$ δυσὶ ταῖς $\overline{δε}$, $\overline{δζ}$ ἴσαι εἰσίν. καὶ βάσις*) ἄρα ἡ $\overline{βγ}$ βάσει τῇ $\overline{εζ}$ ἴση ἐστίν. οὐκοῦν καὶ τὸ $\overline{αβγ}$ τρίγωνον τῷ $\overline{δεζ}$ τριγώνῳ ἴσόν ἐστιν. ἐφαρμόσουσιν ἄρα ἀλλήλοις. οὐκοῦν καὶ γωνίαι αἱ ὑπὸ $\overline{βαγ}$, $\overline{εδζ}$ ἴσαι εἰσί. καὶ ἐπειδὴ ἡ $\overline{αβ}$ τῇ $\overline{δε}$ ἴση ἐστίν, ἀλλὰ καὶ γωνία ἡ ὑπὸ $\overline{βαη}$ τῇ ὑπὸ $\overline{εδθ}$ ἴση ἐστὶ καὶ ἡ ὑπὸ $\overline{αηβ}$ τῇ ὑπὸ $\overline{δθε}$ (ὀρθαὶ γὰρ εἰσί· κάθετοι γὰρ αἱ $\overline{βη}$, $\overline{εθ}$), καὶ λοιπὴ ἄρα γωνία τῇ ὑπὸ $\overline{ηβα}$ τῇ λοιπῇ γωνίᾳ τῇ ὑπὸ $\overline{δεθ}$ ἴση ἐστί. καὶ αἱ λοιπαὶ πλευραί, αἱ $\overline{ηβ}$, $\overline{ηα}$

*) Ald. βάσεις.

ταῖς λοιπαῖς πλευραῖς ταῖς θε, εδ ἴσαί εἰσι, καὶ τὸ αβη τρίγωνον τῷ δεθ τριγώνῳ ἴσόν ἐστι. δέδεικται γὰρ ἐν τῷ ης θεωρήματι τοῦ πρώτου βιβλίου τῆς στοιχειώσεως *), ὅτι ἐὰν δύο τριγώνων τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχει ἑκάτερον ἑκατέρου καὶ μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην ἔχει, καὶ τὰς λοιπὰς πλευρὰς ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει ἑκατέραν ἑκατέρᾳ καὶ τὴν λοιπὴν γωνίαν τῇ λοιπῇ γωνίᾳ. ἴση ἄρα ἡ ηβ κάθετος τῇ θε καθέτῳ καὶ τὰ τῆς βάσεως τμήματα αη, δθ **), τὰ ἀποληφθέντα ὑπὸ τῶν βη, θε καθέτων. ὁμοίως δὲ δείξωμεν, ὅτι καὶ τὸ ηγ τῷ θζ ἴσόν ἐστιν, ὅπερ ἔδει δεῖξαι. τούτων οὕτως ἀποδειχθέντων, ὅτι ἴσαί εἰσιν αἱ κάθετοι αἱ ἐπὶ τὰς βάσεις ἀγόμεναι, ἔλθωμεν ἐπὶ τὸ προκείμενον καὶ δείξωμεν, πῶς κύκλος γίνεται ἡ ἅλως. καὶ ἐνταῦθα γὰρ τρίγωνα πολλὰ γίνονται, βάσιν ἔχοντα τὴν αὐτὴν ἴσα ἀλλήλοις ὄντα, ἀνισόπλευρα μέντοι κατὰ τὰς τρεῖς πλευράς, τουτέστι τὴν μείζονα τῇ μείζονι ἴσην ἔχοντα καὶ τὴν ἐλάττονα τῇ ἐλάττονι. οὐκοῦν καὶ αἱ κάθετοι πᾶσαι τῶν τριγώνων αἱ ἀπὸ τῶν ἀμβλειῶν φερόμεναι ἴσαι ἔσονται. ἔστω γὰρ τὸ μὲν ὄμμα τὸ ο, ἡ δὲ σελήνη τὸ σ· καὶ τοῦ ὄμματος ἐπὶ τὴν σελήνην φερομένου, μεταξὺ δὲ τῆς σελήνης καὶ τοῦ ὄμματος ἔστω νέφη πλείονα, μικρὰ διαφέροντα ἀλλήλων θέσει, τὰ μὲν ὑψηλότερα, τὰ δὲ ταπεινότερα, κείμενα ἐφεξῆς ἀλλήλων· καὶ τὸ τούτων συνάθροισμα ἔστω τὸ γζ. καὶ ἐκπεμπέσθωσαν ἀκτῖνες πλεῖσται



ἀπὸ τοῦ ὄμματος ἐπὶ τὰ νέφη, αἱ ογ, οζ, οδ, οη, καὶ ἀνακεκλάσθωσαν ὡς ἐπὶ τὴν σελήνην, καὶ ποιείτωσαν ***) ἀνακλάσεις τὰς γσ, ζσ, δσ, ησ. δῆλον, ὅτι αἱ ἀπὸ τοῦ ὄμματος ἐπὶ τὰ νέφη αἱ ογ, οδ, οζ, οη ἴσαι ἀλλήλαις εἰσίν, ὡς δέδεικται τῇ προτεραίᾳ, ἐπειδὴ οὐκ ἐν τῷ αὐτῷ ἐπιπέδῳ πίπτουσι. διαφέρουσι γὰρ ἀλλήλων τὰ νέφη τῇ θέσει, ὡς εἴρηται, καὶ διὰ τοῦτο οὐκ

---

*) Elementorum Euclidis. Corrigas ἐν τῷ κϛ θεωρήματι.

) Ald. τμήματα τῷ δθ. *) Ald. ποιήτωσαν.

ἐστιν ἐλάττων ἡ κάθετος, καὶ αἱ πρὸς τῇ καθέτῳ τῶν πλαγίων, ἀλλὰ μὴν καὶ αἱ ἀπὸ τοῖ νέφους ἀνακλώμεναι ἶσαι ἀλλήλαις ἔσονται. μείζους δ᾽ αὗταί εἰσιν αἱ ἀπὸ τοῦ νέφους πρὸς τὴν σελήνην τῶν ἀπὸ τοῦ ὄμματος ἐπὶ τὰ νέφη. οὐκοῦν τρίγωνα πολλὰ συνίστανται ὅμοια ἀλλήλοις, τουτέστιν ἴσας ἔχοντα τὰς μείζονας πλευρὰς ταῖς μείζοσι καὶ τὰς ἐλάττονας ταῖς ἐλάττοσι, βάσιν ἔχοντα τὴν αὐτὴν τὴν οσ, ἥτις ἐστὶν ἄξων πάντων τῶν κώνων, τὸ ογσ, οζσ, οδσ, οησ καὶ ἄλλα τοιαῦτα πλείονα ἀνισόπλευρα. οὐκοῦν ἐπειδὴ ἶσα ἀλλήλοις εἰσὶ τὰ τρίγωνα, πᾶσαι αἱ ἀπὸ τῶν ἀμβλειῶν αὐτῶν κάθετοι ἶσαι ἀλλήλαις ἔσονται. τοῦτο γὰρ προλαβόντες ἐδείξαμεν, ὅτι ἐπὶ τῶν ἴσων γωνιῶν αἱ ἀπὸ τῶν κορυφῶν ἐπὶ τὴν βάσιν ἐρχόμεναι κάθετοι ἶσαι ἀλλήλαις. εἰσαγέσθωσαν καὶ πιπτέτωσαν ἐφ᾽ ἓν σημεῖον τῆς οσ καθέτου, ἐπὶ τὸ ἐκ τῶν κύκλῳ γωνιῶν αἱ ἀπὸ τῶν κορυφῶν ἐπὶ τὴν βάσιν ἐρχόμεναι κάθετοι *). ἐπεὶ οὖν ἶσαι ἀλλήλαις εἰσὶν αἱ κάθετοι, κύκλῳ φερόμεναι ἀπὸ τῶν τριγώνων ἐπὶ τὸ ε σημεῖον τῆς οσ βάσεως, ἥτις ἐστὶ κάθετος ἀπὸ τοῦ ὄμματος ἐπὶ τὴν σελήνην, δῆλον, ὅτι κέντρῳ μὲν τῷ ε διαστήματι διὰ μιᾶς ὁποιασοῦν καθέτου κύκλος γραφήσεται ὁ γζδη, πρὸς ὃν κύκλον ὡς ἀπὸ τοῦ κέντρου τοῦ ε ἀχθήσονται αἱ εγ, εζ, εη, εδ κάθετοι, κύκλος φανήσεται ἡ ἅλως, ὅπερ ἔδει δεῖξαι. οὕτω μὲν οὖν ἀποδεικτέον, ὅτι κύκλος ἡ ἅλως πάντως φανήσεται, ἢ μέρος κύκλου πάντως, οὐδέποτε δὲ ἀλλοίῳ σχήματι. ἀλλ᾽ ἐπειδὴ συνεχρησάμεθα ἐν τῇ ἀποδείξει, ὅτι αἱ κάθετοι ἐντὸς πίπτουσι τῶν τριγώνων (ἐπὶ τὴν βάσιν γὰρ τὴν αὐτὴν καὶ ἐπὶ τὸ αὐτὸ σημεῖον), οὐκ ἀπεδείξαμεν δ᾽ εἰ ἐντὸς πίπτουσι. φέρε καὶ τοῦτο γραμμικαῖς ἀνάγκαις δείξωμεν. ὅτι γάρ εἰσι τρίγωνα, ὧν αἱ κάθετοι ἐκτὸς πίπτουσι, δῆλον. ἔστω γὰρ τρίγωνον τὸ αβγ ἀνίσους ἔχον τὰς πλευράς **). καὶ ἀπὸ

*) Repetit deinde Aldus verba: *ἶσαι ἀλλήλοις* (sic!) *εἰσαγέσθωσαν …… κύκλῳ γωνιῶν.*

**) Figura, quam Aldus dedit, minime cum verbis Olympiodori congruit: itaque aliam effinximus, uti etiam ad ea, quae mox sequuntur, ubi nulla adpicta est, prior autem non magis convenit, quam h. l.

τῆς β κορυφῆς ἤχθω κάθετος ἡ βδ. λέγω, ὅτι ἡ βδ ἐκτὸς



πεσεῖται τοῦ αβγ τριγώνου. εἰ γὰρ μή, πιπτέτω ἐντός, καὶ ἤχθω ἐπὶ τὸ ε σημεῖον. φανερόν, ὅτι ἡ ὑπὸ βεγ ὀρθὴ γωνία ἐστί. πᾶσα γὰρ κάθετος ἐπ' εὐθεῖαν πίπτουσα τὰς ἐφεξῆς ὀρθὰς γωνίας ποιεῖ. ἔστι δὲ καὶ ἡ ὑπὸ βαε *) γωνία μείζων ὀρθῆς. ἀμβλεῖα γάρ ἐστιν. ἡ γὰρ μείζων αὐτὴν πλευρὰ ὑποτείνει ἡ βγ. τριγώνου ἄρα τοῦ εβα **) δύο γωνία αἱ ἀπὸ εαβ, βεα δύο ὀρθῶν μείζονές εἰσιν, ὅπερ ἄτοπον. οὐκ ἄρα ἐντὸς πεσεῖται ἡ βδ κάθετος, ὅπερ ἔδει δεῖξαι. ἐπειδὴ οὖν ἐδείξαμεν, ὅτι δυνατὸν κάθετον ἐκτὸς γωνίας πεσεῖν, φέρε δείξωμεν, ὅτι τῶν προκειμένων γωνιῶν ***) ἐντὸς πίπτουσιν αἱ κάθετοι. ἐπειδὴ γὰρ ἐδείχθη, ὅτι ἡ ἀπὸ τοῦ ὄμματος ἐπὶ τὴν σελήνην ἐπιζευγνυμένη κάθετός ἐστι βάσις πάντων τῶν γεγενημένων τριγώνων ἐκ τῶν πεμπομένων ὄψεων ἀπὸ τοῦ ὄμματος ἐπὶ τὸ νέφος καὶ τὸν ἥλιον †), αἱ δὲ ἀπὸ τοῦ ὄμματος μέχρι τοῦ νέφους ἐλάττονές εἰσι τῶν ἀπὸ τοῦ νέφους ἐπὶ τὸν ἥλιον ἐκπεμπομένων, συμβαίνει σκαληνὰ γίνεσθαι τὰ τρίγωνα, ἀνίσους ἔχοντα τὰς πλευράς. οὐκοῦν ἐπειδὴ μεγίστη μέν ἐστιν ἡ βάσις, ἐλάττων δὲ ἡ ἀπὸ τοῦ ὄμματος ἐπὶ τὸ νέφος, μέση δὲ ἡ ἀπὸ τοῦ νέφους πρὸς τὴν σελήνην, εὑρεθήσεται ἀμβλεῖα μὲν γωνία ἡ ἐν τῇ ἀνακλάσει γινομένη, ἣν ὑποτείνει ἡ βάσις, ὀξεῖα δ' ἡ πρὸς τῷ ὄμματι καὶ τῆς σελήνης. οὐκοῦν ἡ ἀπὸ τῆς ἀμβλείας γωνίας ἀγομένη κάθετος ἐντὸς πεσεῖται τοῦ τριγώνου. εἰ γὰρ μὴ ἐντός, πιπτέτω ἐκτὸς καὶ ἔστω ἡ βε καὶ ἐπεζεύχθω ἡ εα. ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ βεα γωνία. ἔστι δὲ καὶ ἡ ὑπὸ εαβ μείζων ὀρθῆς. ἀμβλεῖα γὰρ

---

*) Ald. βγε.

**) Ald. εβγ et mox pro βεα, βεδ, quod tamen ad idem redit.

***) Scr. τριγώνων.

†) Negligentia ipsius procul dubio Olympiodori, qui ἥλιον subito pro luna inferat.

ἐστι, ὑποτείνει γὰρ αὐτὴν ἡ μείζων πλευρὰ ἡ εβ *). τριγώνου ἄρα τοῦ εαβ δύο γωνίαι, αἱ ὑπὸ βεα, εαβ, δύο ὀρθῶν μείζονές εἰσιν, ὅπερ ἄτοπον. οὐκ ἄρα ἐκτὸς πεσεῖται ἡ βε κάθετος. ἐντὸς ἄρα πεσεῖται, ὅπερ ἔδει δεῖξαι. πάλιν ἄξιόν ἐστι ζητῆσαι, πῶς κατὰ ἀνάκλασιν λέγεται εἶναι ἡ ἅλως. καίτοι ἐχρῆν κατὰ διάκλασιν αὐτὴν λέγειν γίνεσθαι, εἴπερ μεταξὺ φαίνονται τὰ ἔνοπτρα, τουτέστι τὰ νέφη, τοῦ τε ὄμματος καὶ τοῦ λαμπροῦ. ῥητέον, ὅτι οὐκ εἰσὶ μεταξύ. δεῖ γὰρ νοῆσαι τὸ ὄμμα καὶ τὸ λαμπρόν, τουτέστι τὴν σελήνην, ἐν ἑνὶ ἐπιπέδῳ ὄντα (κάθετος γὰρ ἦν ἡ ἐπιζευγνύουσα αὐτὰ εὐθεῖα), ἐν δὲ ἄλλῳ ἐπιπέδῳ εἶναι τὰ νέφη πέριξ τοῦ λαμπροῦ. τὴν δὲ ὄψιν ἐκπεμπομένην ὡς πρὸς τὰ νέφη ἀνακλᾶσθαι ὡς πρὸς τὴν σελήνην. πάλιν ζητητέον, τί δήποτε κρίκος φαίνεται ἡ ἅλως καὶ μὴ τύμπανον συνεχές; ἢ ῥητέον, ὅτι ἡ κατὰ κάθετον ἐκπεμπομένη ἀκτὶς ἀπὸ τοῦ ὄμματος πρὸς τὴν σελήνην ἐντὸς οὖσα καὶ δυναμικωτάτη τῶν ἄλλων πασῶν δίεισι τὸ πάθος ἀκλάστως. ὡσαύτως δὲ καὶ πλησίον αὐτῆς ἐκπεμπομένης εὐθεῖαι ἔρχονται ἄκλαστοι. καὶ τούτου χάριν ἐν τῷ μέσῳ, ἐν ᾧ διέρχονται αἱ ἀκτῖνες ἄκλαστοι, οὐχ ὁρᾶται ἡ ἔμφασις, ἀλλὰ τὸ ἀληθές. αἱ δ' ἐξωτέρω τῆς καθέτου πεμπόμεναι ἀκτῖνες καὶ διαχεόμεναι ἀσθενέστεραι γίνονται καὶ οὐ δύνανται διεξελθεῖν τὸ νέφος, ἀλλὰ κλῶνται. καὶ διὰ τοῦτο ἔμφασις γίνεται κρικοειδής. ἀλλὰ μὴν κἀκεῖνο ζητητέον· εἰ γὰρ ἐν τῷ περιγείῳ τόπῳ γίνεται ἡ ἅλως, ὁ δὲ περίγειος τόπος οὐ συγκινεῖται τῷ παντί, πῶς ὁρῶμεν τὴν ἅλω συμφερομένην τῇ σελήνῃ; ὅτι γὰρ ἐν τῷ περιγείῳ τόπῳ γίνονται, δῆλον, ἐπειδὴ νηνεμώτερά ἐστι τοῦ ἀπογείου. ἀπόγειον δὲ νῦν καλῶ, οὐ τὸν κυρίως ἀπόγειον, ἀλλὰ τὸν ἀπόγειον τοῦ περιγείου. ἐν τούτῳ

---

*) Quod argumentum, uti quisque intelligit, prorsus nihili est. Docendum enim erat latus εβ trianguli εαβ reliquis esse maius. Diceret igitur Olympiodorus necesse erat, angulum εαβ recto esse maiorem idcirco, quia cum angulo βαγ acuto duos rectos efficiat.

γὰρ μᾶλλον πνεύματά εἰσι *). καὶ οὐκ ἐῶσι στῆναι τὰ νέφη. δέονται δὲ στάσεως πρὸς τὸ γενέσθαι τὴν ἔμφασιν· τί οὖν λέγομεν; ὅτι ἡ ἅλως ἔμφασις οὖσα πρὸς τὴν ἡμετέραν ὄψιν κρίνεται μὴ ἔχουσα ἰδίαν ὑπόστασιν. ἀτενιζόντων τοίνυν ἡμῶν γίνεται, μὴ ἀτενιζόντων δὲ φθείρεται. ἐπειδὴ οὖν ἕκαστος ἡμῶν ἀτενίζων ποιεῖ τὴν ἅλω, ἐπὰν τύχῃ ὁ ἀὴρ ἐπιτήδειος πρὸς τὴν ταύτης γένεσιν, ἐν ᾧ ἂν τόπῳ εἴη ἡ σελήνη περὶ τὸν μεσημβρινὸν ἀτενιζόντων ἡμῶν, γίνεται ἅλως. εἶτα πάλιν κινουμένης τῆς σελήνης καὶ πάλιν ἀτενιζόντων ἡμῶν γίνεται, οὐ τῆς προτέρας μενούσης **), ἀλλ' ἐκείνης μὲν φθαρείσης ἅμα τῷ ἀναχωρῆσαι τὸ ὄμμα, ἄλλης δὲ πάλιν γινομένης ἐπὶ τῷ ἀτενίσαι τὸ δεύτερον. — Olympiodor. fol. 49, a — 50, a.

II, 2. *Περὶ μεσημβρίαν ἢ δείλην*] Ἔοικεν οὐ τὴν δύσιν *δείλην* εἰρηκέναι ***), ἀλλὰ τὴν μετὰ τὴν μεσημβρίαν ὥραν τὴν πρὸ τῆς δύσεως, ἤδη καταφερομένου τοῦ ἡλίου †). Alexander fol. 114, b.

Δείλης ††) ἐκάλεσε τὸν ἑωθινὸν καὶ τὸν περὶ ἑσπέραν καιρόν, τὸ παρὰ ἐνδεῖν τὴν ἀλέαν ἐν τούτοις τοῖς καιροῖς. ἡ οὖν ἶρίς φησιν ἐν μὲν ταῖς χειμερίναις ἡμέραις σπανίως γίνεται καὶ περὶ τὸν μεσημβρινὸν διὰ τὴν εἰρημένην αἰτίαν. ἐν δὲ ταῖς θεριναῖς δείλης μόνον, τουτέστιν ἕωθεν καὶ περὶ ἑσπέραν, οὐ μὴν καὶ

---

*) Quod cum iis pugnat, quae dixerat fol. 6, a. Cfr. Tom. I. p. 150., ubi in not. afferre poteram etiam Diodor. Sicul. XVII, 7. Consentit igitur h. l. cum Theophrasto *de causs. plant.* III, 12, 3, qui montanas regiones flatuosas esse dicit, et cum Virgilio (*Georg.* II, 440 sqq.) in Caucasi verticibus silvas animoso Euri impetu adsidue frangi, praedicante.

**) Ald. *μενάσης*.

***) Uti Homerus *Iliad.* φ', 111.

†) Quam horam Herodotus VII, 167 *δείλην ὀψίην* vocat opponens eam *δείλῃ πρωΐῃ*. *Geoponic.* III, 1, 1. p. 216. Cfr. etiam Ruhnken. ad Tim. *Lex. Plat.* p. 75. Pierson. ad Moerid. Atticist. p. 133 [p. 122. Koch]. Alias etiam occurrit *περὶ δείλην ἑσπέραν*, uti apud Herodianum II, 6, 9. III, 12, 16.

††) Ita enim legit Olympiodorus. Vide Commentar.

εἰς τὴν μεσημβρίαν, διὰ τὸ πολὺ ἀπέχειν τὸν ὁρίζοντα τοῦ μεσημβρινοῦ. — Olymp. fol. 50, a.

II, 5. Ἔστι δὲ τὰ χρώματα, ἅπερ μόνα σχεδὸν οὐ δύνανται ποιεῖν οἱ καταγραφεῖς *)] Ταῦτά φησι τὰ χρώματα τῆς ἴριδος, τὸ φοινικοῦν καὶ τὸ πράσινον καὶ τὸ ἁλουργόν, οὐ δύνανται μιμήσασθαι, ἐπειδὴ αὐτοὶ κεραννύντες τὰ χρώματα γράφουσι· ταῦτα δὲ ἁπλᾶ ἐστιν. ἔστι γὰρ τὸ μὲν φοινικοῦν, οἷον τὸ ὀρόβινον ἄλευρον, τὸ δὲ πράσινον, οἷον αὐτὸ τὸ πράσον, τὸ δὲ ἁλουργόν, οἷον τὸ τῆς ἁλουργίδος, βαθύτερον ὂν τῶν ἄλλων χρωμάτων. εἰσὶ δὲ καὶ ἄλλα χρώματα, ἃ οὐ δύνανται μιμήσασθαι οἱ ζωγράφοι· ὅθεν ἐπήγαγε τό, σχεδὸν μόνα ταῦτα οὐ δύνανται μιμήσασθαι. — Olympiod. fol. 50, b.

II, 7. Πάντα γὰρ ταῦτα ἀνάκλασίς ἐστι. διαφέρουσι δὲ τοῖς τρόποις, καὶ ἀφ᾽ ὧν, καὶ οἷς συμβαίνει γίνεσθαι τὴν ἀνάκλασιν] Ἰδοὺ αὐτὸς Ἀριστοτέλης, ὦ Ἀλέξανδρε, βοᾷ, ὅτι ταῦτα πάντα κατὰ ἀνάκλασιν γίνεται. πῶς οὖν σὺ λέγεις, ὅτι τούτων τὰ μὲν ἀνακλάσει γίνονται, τὰ δὲ διακλάσει. τοῦτο δ᾽ ἠπατήθη ἐκ τοῦ εἰπεῖν τὸν Ἀριστοτέλην, ὅτι διαφέρουσι τοῖς τρόποις. ἐνόμισε γαρ αὐτὸν λέγειν, ὅτι διαφέρουσι τῷ τὰ μὲν κατὰ ἀνάκλασιν γίνεσθαι, τὰ δὲ κατὰ διάκλασιν. μὴ νομίσῃς τὸ ἐπαγόμενον τὸ καὶ ἀφ᾽ ὧν καὶ οἷς συμβάλλει, τουτέστι τὰ ἐφ᾽ ἅ. ὃ γὰρ λέγει Ἀριστοτέλης τοῦτό ἐστιν, ὅτι διαφέρουσι τοῖς τρόποις τὰ κατὰ ἔμφασιν γινόμενα, ἀφ᾽ ὧν μὲν γὰρ γίνονται λαμπρῶν, ὅτι τὰ μὲν ἀπὸ τοῦ ἡλίου μᾶλλον ἢ ἀπὸ τῶν ἀστέρων. διαφέρουσι δὲ πάλιν, ἐφ᾽ ἃ γίνονται, νέφεσι, τῷ τὰ μὲν αὐτῶν ἐν ὁμαλοῖς καὶ ὁμοιομερέσι γίνεσθαι νέφεσι, τὰ δὲ ἀνωμάλοις καὶ ἀνομοιομερέσιν, ὡς εἴρηται. — Olympiod. fol. 50, b.

II, 9. Ἐν ταῖς πανσελήνοις**) γὰρ πέφυκε γίνε-

---

*) Ita enim Aldus. Origo varietatis in lectione in verbis proxime antecedentibus: θεωρητέον δ᾽ ἐπὶ τῆς καταγραφῆς quaerenda. Caeterum ex primis Olympiodori verbis patet, etiam hunc post χρώματα legisse ταῦτα.

**) Ita Aldus. At singularem numerum ipse tuetur Olymp.

σθαι] Οὐ μόνον γὰρ πανσέληνον λέγει νῦν, ὅτε μεγίστη ἐστὶν ἡ σελήνη, ἀλλὰ καὶ ὅτε αὔξουσα, ἀμφίκυρτός ἐστιν. ὦπται γὰρ μὴ κατὰ διάμετρον οὔσης τῆς σελήνης τῷ ἡλίῳ γινομένη ἡ ἶρις ἀπὸ τῆς σελήνης ἀμφικύρτου.

III, 1. Πρῶτον περὶ τῆς ἅλω ποιεῖται τὸν λόγον καὶ ζητεῖ περί τε τοῦ σχήματος αὐτῆς, διότι κύκλος, καὶ διὰ τί περὶ αὐτὸν τὸν ἥλιον ἢ τὴν σελήνην, ἤ τι ἄλλο τῶν ἄστρων γίνεται· ἀλλ' οὐχὶ κατ' ἀντικρὺ φέρε εἰπεῖν, ἢ ἐκ πλαγίων. φαίνεσθαι δέ φησι τὴν ἀνάκλασιν τῆς ὄψεως ἐν τούτοις ἀπὸ τῆς συνισταμένης ἀτμίδος εἰς νέφος μετὰ τὸ ἀνεχθῆναι, ἂν ἡ σύστασις αὐτῆς ὁμαλή τε καὶ λεπτομερὴς συνισταμένη τύχῃ. τοιαύτης γὰρ οὔσης αὐτῆς, ἂν ὑπερφερόμενον αὐτοῖς ἄστρον τι τῶν λαμπρῶν, ἢ ἥλιον, ἢ σελήνην τύχῃ, τὸ μὲν κατὰ κάθετον τοῦ ὑπερφερομένου σώματος ἀνάγκη διακρινόμενον μανότερόν *) τε καὶ λεπτότερον γίνεσθαι, μέχρι τινὸς τῆς τοιαύτης προϊούσης ἐν αὐτῇ κινήσεως. τὸ δ' ἐντεῦθεν οὐδὲν τοιοῦτον πάσχει, μένει δὲ οἷονπέρ ἐστιν. πάντῃ δὴ οὖν περὶ τὴν κάθετον τοῦ τοιούτου συμβαίνοντος διὰ τὴν ὁμαλότητα τοῦ νέφους, κύκλον ἀναγκαῖον εἶναι τὸ πέρας τῆς ἐπιεικῶς διακεκριμένης ἀτμίδος, ἀφ' οὗ τὸ ἐπέκεινα πάλιν ὁμαλὸν μένον, συνέστηκεν. ὁμαλὸν δὲ ὂν καὶ μικρομερές, συνεχῆ καὶ μικρὰ κάτοπτρα κατὰ τὴν τοῦ κύκλου περιέχειαν ἴσχει, πρὸς ἃ κατὰ μὲν τοὺς τῆς ὄψεως ἀνάκλασιν αἰτιωμένους ἡ ὄψις προσπεσοῦσα, ἀνακλασθεῖσα πρὸς τὸ ἄστρον, τὴν τῆς ἅλω φαντασίαν ποιεῖ. κατὰ δὲ τὸ ἀληθές, τὸ φῶς τὸ τοῦ ἄστρου προσπῖπτον τοῖς προειρημένοις κατόπτροις, ἔπειτα ἐπὶ τὴν ὄψιν τὴν ὁρῶσαν ἀνακλασθέν τε καὶ διαδοθέν, ποιεῖ τὴν φαντασίαν τῆς ἅλω. ἐν γὰρ τοῖς εἰρημένοις κατόπτροις διὰ μικρότητα, τοῦ χρώματος ἔμφασις γίνεται μόνον. καὶ ἡ μὲν Ἀριστοτέλους δόξα περὶ τῆς ἅλω ὡς ἐπὶ κεφαλαίῳ τοιαύτη. ἐπηκολού-

---

*) Ald. μανώτερον, quod correxi. Sed nescio an iure, cum fol. 120, b. ἀμαυρώτερον scriptum reperiatur, quamvis sequente plus semel forma ἀμαυρότερα, et cum saepe etiam alias ω in comparativorum formis inferat, ubi grammatices norma ο postulasset.

θησε δὲ αὐτῷ καὶ Ποσειδώνιος *), πάντων σχεδὸν τῶν ἄλλων, οὐκ ἀνάκλασιν, ἀλλὰ κατακλάσεις ὄψεων αἰτιωμένων ὡς ἐπὶ τῶν δι' ὕδατος ὁρωμένων γίνεται **). ὑποτίθενται γὰρ σφαιροειδὲς καὶ κοῖλον τὸ νέφος. ἔπειτα τὸ ὑπερκείμενον ἄστρον αὐτοῦ κατὰ κύκλον φασὶ διεσπασμένον ἐν αὐτῷ ὁρᾶσθαι. ἀλλ' ὅτι μὲν αἱ τοιαῦται δόξαι περὶ τῆς ἅλω ψευδεῖς, ἱκανῶς ὁ διδάσκαλος ἡμῶν Σωσιγένης ἐν τῷ ὀγδόῳ περὶ τῆς ὄψεως ἔδειξεν ***).— Alexander fol. 115, b — 116, a.

III, 3. *Διὸ καὶ σημεῖον ἡ μὲν σύστασις* †) *ὕδατός ἐστιν*] Ἀποδείκνυσιν ὁ φιλόσοφος, ὅτι ἐν τοῖς νέφεσιν ἡ ἅλως γίνεται ἐκ τοῦ τὰ ὅμοια γίνεσθαι ἐν τῇ ἅλῳ καὶ ἐν τοῖς νέφεσι. τρία δὲ ταῦτά εἰσιν· ὥσπερ γὰρ τὰ νέφη συνιστάμενα καὶ παχυνόμενα, ὕδατος καὶ ὑετοῦ εἰσὶ ποιητικά, διασπώμενα δὲ ἀνέμων, ἀπορραινόμενα δὲ καὶ διαφορούμενα εὐδίας, οὕτω καὶ ἡ ἅλως παχυτέρα καὶ μελαντέρα ἑαυτῆς φαινομένη, ὄμβρων ἐστὶ ποιητική, διασπωμένη δὲ καὶ ἐλλιπὴς φαινομένη ἀνέμων, ἀπορραινομένη δὲ καὶ φθειρομένη εὐδίας· ἐπειδὴ γὰρ αἱ δύο ἀναθυμιάσεις ἑαυταῖς συμπλεκόμεναι ἄνεισιν ἀπὸ τῆς γῆς ἐπὶ τὸν ἀπόγειον ἀέρα, εἰ μὲν εἴη καπνώδης ἀπωθεῖται τὴν ἀτμιδώδη, καθά πέρ τι φορτίον, ὡς πολλάκις εἴρηται, τηνικαῦτα αὐτὴ μὲν ἀναχωρεῖ πρὸς τὸ συγγενές, ἡ δὲ ἀτμιδώδης ἐν τῷ μέσῳ πλανᾶται περὶ τὸ πέλαγος τοῦ ἀέρος παχυτέρα ἑαυτῆς γινομένη ἢ ψυχομένη ††) διὰ τὴν ἀπουσίαν

---

*) Vicomercatus, ubi laudat haec verba Alexandri p. 304, exhibet *Ποσσειδώνιος*, quod videbatur monendum. Cfr. Heusinger ad Ciceron. *de offic.* III, 2, 9. Bremi ad Ciceron. *de fato* c. 3. p. 16.

**) Vide Commentar ad III, 3. et Ruhkopf ad Senec. *Quaest. natur.* I, 2. p. 22.

***) Ald. *περὶ τῆς ὄψεων.* Sosigenem, astronomiae peritissimum, uti notum est, C. Iul. Caesar ad calendarium emendandum adhibuit. cfr. Interpp. ad Plin. *Histor. natural.* XVIII, 25.

†) Ald. *στάσις.*

††) Ald. *ψυχουμένη.*

τῆς καπνώδους ἀναθυμιάσεως, εἶτα ἐπὰν συστῇ ὑπὸ τὴν σελήνην, τηνικαῦτα ποιεῖ τὴν ἅλω μελαντέραν ἑαυτῆς φαίνεσθαι καὶ παχυτέραν διὰ τὸ τὴν ἀτμίδα ταύτην, ἤγουν τὰ νέφη, πεπυκνῶσθαι. καὶ διὰ τοῦτο ἡ τοιαύτη ἅλως ὄμβρου ἐστὶ ποιητική *). *ὠδίνει γὰρ τὰ νέφη, ἐν οἷς ἐστιν ἡ ἅλως, τὸν ὑετόν. ὅταν δ᾽ ἡ καπνώδης ἀναθυμίασις ἔτι ἐμπεριέχηται ἐν τῇ ἀτμίδι, εἰ μὲν ἄρξηται διαφορεῖν αὐτὴν ἡ καπνώδης ἀναθυμίασις καὶ ἐκκρίνεσθαι διασπῶσα αὐτήν, τηνικαῦτα γίνεται ἡ ἅλως διεσπασμένη. ἡ γὰρ μοῖρα τῆς ἀτμίδος, ἣν διασπάσασα ἡ καπνώδης ἀναθυμίασις ἐξῆλθεν ἐκείνη τῷ κύκλῳ. καὶ τούτου χάριν ἡ διεσπασμένη ἅλως πνευμάτων ἐστὶ ποιητική· ὅταν δὲ παχεῖα οὖσα ἡ καπνώδης ἀναθυμίασις μὴ ἐκκρίνηται εὐχερῶς ἀπὸ τῆς ἀτμίδος, ἀλλ᾽ ἐνίσχηται, ἐπειδὴ ἐνισχομένη λεπτύνει τὴν ἀτμίδα, ἣ καὶ λαμπροτέραν ἀπεργάζεται, ὅταν οὖν οὕτως ἔχουσα ἡ ἀτμὶς ὑπὸ τὴν σελήνην φανῇ, οἷον ἔκλευκος καὶ ἀπομαραινομένη, τηνικαῦτα εὐδίας ἐστὶ ποιητική. ὁρᾷς, ὁπόση ἐστὶ κοινωνία τοῖς νέφεσι καὶ τῇ ἅλῳ. δεῖ γὰρ νοεῖν τὸ αὐτὸ καὶ ἐπὶ τῶν νεφῶν πάντων ἁπλῶς, ὅταν μὴ ὦσιν ὑπὸ τὴν σελήνην γινόμενα. ἡ ἅλως ἄρα ἐν τοῖς νέφεσι γίνεται.* — **Olympiodor. fol. 51, a.**

III, 8. *Ἔστω γὰρ ἀπὸ τοῦ σημείου .... τριγώνοις*] *Τοῦτο δ᾽ εἶπεν, ἐπειδὴ δέδεικται, ὅτι ἐν ἴσοις τριγώνοις ἶσαί εἰσιν αἱ κάθετοι καὶ ἐν ἑνὶ ἐπιπέδῳ πᾶσαι. δέδεικται γὰρ ἐν τῷ τετάρτῳ θεωρήματι τοῦ $\overline{\iota\alpha}$ βιβλίου τῆς στοιχειώσεως, ὅτι ἐὰν εὐθεῖά τις εὐθείαις τισὶ τεμνούσαις ἀλλήλας πρὸς ὀρθὰς ἐπὶ τῆς τομῆς ἐπισταθῇ καὶ τῷ ἑνὶ αὐτῶν ἐπιπέδῳ, ἶσαί εἰσι πᾶσαι αἱ κάθετοι* **). *ἡ γὰρ* $\overline{\alpha\beta}$ *κάθετος ἐπὶ ταύτας ἐνήνεκται.* — **Olympiod. fol. 51, b.**

---

*) Perperam hic et in sequentibus **Olympiodorus** scripsit *ποιητική*, cum scribendum erat *σημαντική*.

) Verba **Euclidis haec sunt: *ἐὰν εὐθεῖα δύο εὐθείαις τεμνούσαις ἀλλήλας πρὸς ὀρθὰς ἐπὶ τῆς κοινῆς τομῆς ἐπισταθῇ, καὶ τῷ δι᾽ αὐτῶν ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται.* Unde corrigenda sunt verba **Olympiodori**.

III, 9. Ἐν ἑνὶ ἐπιπέδῳ .... ἡ ὄψις] Αὕτη μὲν ἡ αἰτία τοῦ κυκλικὸν φαίνεσθαι σχῆμα τῆς ἅλω. ἐκ τούτου δὲ δῆλον γέγονε καὶ περὶ τῆς γενέσεως αὐτῆς, ὅτι τῆς ὄψεως ἐκπεμπομένης ἐπὶ τὸ νέφος καὶ ἀνακλωμένης πρὸς τὴν σελήνην, ἡ ἅλως γίνεται. ἐφ' οἷς ὁ φιλόσοφος καὶ τὰς αἰτίας τῶν ἄλλων ὑπαρχόντων τῇ ἅλῳ ἀποδίδωσι. μᾶλλον γάρ φησι φαίνεται περὶ τὸν περίγειον ἀέρα, ἐπειδὴ νηνεμώτερός ἐστιν οὗτος ὁ τόπος, ὡς εἴρηται *). ἀλλὰ μὴν καὶ περὶ τὸν ἥλιον ἧττον γίνεται ἡ ἅλως, μᾶλλον δὲ περὶ τὴν σελήνην, ἐπειδὴ ὁ μὲν ἥλιος ἐξαναλίσκει τὴν ἀναθυμιωμένην ὑπ' αὐτοῦ ἀτμίδα, οὐκ ἐξαναλίσκει δ' αὐτὴν ἡ σελήνη, ἀλλ' ὑφ' αὐτὴν ὑφίσταται. καὶ λοιπὸν συνισταμένης αὐτῆς γίνεται ἡ ἅλως. ἐκ δὲ τούτου ἔχεις καὶ διὰ τί νύκτωρ μᾶλλον γίνεται ἢ μεθ' ἡμέραν, ἐπειδὴ τῇ ἡμέρᾳ ἐξαναλίσκεται ἡ ἀτμίς, νύκτωρ δὲ συνίσταται. ἀλλὰ μὴν καὶ ἐν τῷ μεσημβρινῷ μᾶλλον γίνεται, ἧττον δὲ καὶ περὶ τὸν ὁρίζοντα, ἐπειδὴ πολλοῦ δεῖται τόπου πρὸς τὸ συστῆναι. κατελείφθη γὰρ τεσσαράκοντα μοιρῶν ἡ διάμετρος οὖσα τῆς ἅλω **). οὐκοῦν ἐπειδὴ ἐν τῷ μεσημβρινῷ μᾶλλόν ἐστιν εὐρυχωρία ἢ περὶ τὸν ὁρίζοντα, τούτου χάριν ἐν αὐτῷ μᾶλλον γίνεται. ταῦτα περὶ τῆς ἅλω διαλεχθεὶς ὁ φιλόσοφος, μέλλων καὶ εἰς τὸν περὶ ἴριδος ἐμβάλλειν λόγον, πρότερον καὶ ὅσον τινὰ ἀναβρασμὸν ***) παραδίδωσι τῆς ἀνακλάσεως. γίνεται γάρ φησιν ἀνάκλασις καὶ ἀπὸ ἀέρος, γίνεται καὶ ἀπὸ ἀχλύος, γίνεται καὶ ἀπὸ ὕδατος, γίνεται καὶ ἀπὸ στερεοῦ καὶ λείου καὶ διαφανοῦς σώματος. ἀπὸ μὲν ἀέρος, ὥσπερ γέγονεν Ἀντιφέροντι τῷ Ταραντίνῳ οὕτω. ὁ γὰρ ἀσθενεῖς ἔχων τὰς ὄψεις ἐκ τοῦ βαδίζειν αὐτόν, ἡ ἐκπεμπομένη αὐτοῦ ὄψις ψαύουσα τοῦ ἀέρος,

---

*) Cfr. Excerpt. ad III, 2, 1. p. 114.

**) Quod non procul a veritate abhorret. Observationes enim consentientes cum theoria Hugenii (*Philosophic. Transact.* Vol. V. n. 60. *Dissertat. de coronis et parheliis* in *Opp. reliquis.* Amstelaed. 1728. 4. cfr. Priestley *Histor. Optices* ex vers. germ. Klügelii p. 432 sqq.) diametrum esse 45 graduum ostendunt. Adde Newtoni *Optic.* L. II. P. 2. prop. 9. P. IV. Obs. 13.

***) Vocabulum lexicis addatur. Redit infra fol. 52, a. et saepius.

ὡς κατὰ ἀντιτύπου τινὸς φερομένη, δι' ἐσχάτην ἀσθένειαν ἀνεκλᾶτο πρὸς αὐτόν, καὶ ἐδόκει εἴδωλον ὁρᾶν αὐτῷ προσέχον διὰ τὸ ἐνοπτρίζεσθαι αὐτὸν ἐν τῷ ἀέρι καὶ ὁρᾶν ἑαυτόν. ἀπὸ δὲ ἀχλύος, ὅταν ἀμελέστερον ἀπίδωμεν εἰς τὸ λυχναῖον φῶς, τηνικαῦτα γὰρ ἄτονος ὑπάρχουσα ἡ ὄψις φερομένη κατὰ τῆς λιγνύος τοῦ λύχνου ἀνακλᾶται ὡς πρὸς τὸν λύχνον. καὶ ἐντεῦθεν ἰριοειδῆ χρώματα νομίζομεν εἶναι περὶ τὸν λύχνον. ἀλλὰ μὴν καὶ ἀπὸ ὕδατος ἀνάκλασις γίνεται, καὶ οὐ μόνον διάκλασις συνεχοῦς τε ὄντος καὶ εἰς ῥανίδας διαιρεθέντος. ὁρῶμεν γὰρ πολλάκις τὸν ἥλιον ἐν ὕδατι συνεχοῦς τε αὐτοῦ ὄντος καὶ διῃρημένου, ἀλλὰ ποῦ μὲν τὸ χρῶμα μόνον, ποῦ δὲ καὶ τὸ χρῶμα καὶ τὸ σχῆμα. γίνεται δὲ ἀνάκλασις καὶ ἀπὸ τῶν κατόπτρων, ὡς πολλάκις εἴρηται. οὗτος ὁ ἀναβρασμὸς τῆς ἀνακλάσεως. — Olympiod. fol. 51, b.

III, 11. Φαίνεται .... μελαντέρα] Παρὰ δὲ τοῦτον τὸν κύκλον τὸν φαινόμενον λευκόν, ἡ ἐχομένη περιφέρεια, διὰ τὴν ἐκείνου λευκότητα μελαντέρα φαίνεται. διὰ μέσου δὲ εἰπών, τὸ πρὸς δὲ τῇ γῇ μᾶλλον διὰ τὸ νηνεμωτέραν εἶναι, ἀσαφεστέραν ἐποίησε τὴν λέξιν. ἔστι δὲ ὃ λέγει, ὅτι πρὸς τῇ γῇ μᾶλλον ἡ τοιαύτη σύστασις γίνεται, καὶ ἡ ἔμφασις ἡ προειρημένη ὁρᾶται διὰ τὸ νηνεμώτερον εἶναι τὸν τόπον τοῦτον. πνεύματος γὰρ ὄντος, οὐχ οἷόν τε ἑστῶσαν φαίνεσθαι τὴν ἀναθυμίασιν, ἐν ᾗ τὰ ἔνοπτρα. ἴσως δὲ διὰ τὸ πρόσγειον τῆς τοιαύτης συστάσεως, ἐχούσης τινὰ ἀπὸ τῆς γῆς μέλανος ἔμφασιν, τὴν ἐχομένην περιφέρειαν τῆς λευκῆς λέγει φαίνεσθαι μέλαιναν· τοῦτο γὰρ σημαίνειν δοκεῖ τὸ παρὰ δὲ τοῦτο. — Alexander fol. 116, b.

IV, 1. Ὅτι ἡ ὄψις ἀνακλᾶται ἀπὸ πάντων τῶν λείων, καὶ οὐκ ἀφ' ὕδατος μόνον, ἀλλὰ καὶ ἀέρος συνίστησιν. ἦν δ' ἂν ἀληθέστερον καὶ κατὰ τὴν οἰκείαν δόξαν αὐτοῦ λεγόμενον, τὸ μὴ τὴν ὄψιν ἀπὸ τῶν τοιούτων ἀνακλᾶσθαι λέγειν πρὸς ἴσας γωνίας, καὶ τὰ ὑποπίπτοντα τῶν ὁρατῶν ὑπὸ τὴν τοιαύτην αὐτῆς ἀνάκλασιν οὕτως ὁρᾶν. ἀλλὰ τὸ φῶς εἶναι τὸ ἀνακλώμενον ἀπὸ τῶν τοιούτων. καὶ νῦν αὐτῷ τὰ χρώματα, ὄντα τοῦ φωτὸς κινητικά, ὡς χρωννῦναί πως αὐτό. καὶ εἶναι τὴν ἀνάκλασιν αὐτοῦ πρὸς ἴσας γωνίας, καθ' ἣν ἀνάκλασιν,

ὅταν ὄψει τινὶ περιπίπτῃ, τότε ὁρᾷ ἡ ὄψις τὰ οὕτω πρὸς αὐτὴν κείμενα. ἀλλ' ἐπεὶ ὅσον ἐπὶ τῷ λόγῳ μηδὲν δοκεῖ διαφέρειν τὸ ἢ τοῦ φωτὸς ἀνάκλασιν λέγειν, ἢ τῆς ὄψεως, ὡς ἤδη προεῖπον, ἥν τε εὐπαρακολουθητοτέρα διὰ τὴν τῶν μαθηματικῶν χρῆσιν ἡ τῆς ὄψεως ἀνάκλασις, αὐτῇ χρῆται. εἰπὼν δὴ καὶ ἀπὸ ὕδατος καὶ ἀπὸ ἀέρος τὴν ὄψιν ἀνακλᾶσθαι, ἀπὸ τοῦ πῶς ἔχοντος ἀέρος ἢ πῶς ἔχουσα αὐτὴ ἀνακλᾶται λέγει. ἤτοι οὖν ἀνακλᾶται ἀπ' αὐτοῦ, ὅταν τύχῃ συνιστάμενος εἰς νέφος καὶ πυκνούμενος ἤδη, ἢ διὰ τὴν αὐτὴν ἀσθένειαν. πολλάκις γάρ φησι τὴν ὄψιν ἀπὸ τοῦ ἀέρος καὶ μὴ πεπυκνωμένου ὄντος, ἀνακλᾶσθαι δι' ἀτονίαν καὶ ἀσθένειαν, τοῦ ἀέρος αὐτῇ γινομένου πυκνοῦ, ὡς μὴ δύνασθαι διϊέναι δι' αὐτοῦ τὰς ἀκτῖνας τὰς ἐκπεμπομένας, ἀλλὰ ἀνακλᾶσθαι, ὡς ἀπό τινος στερεοῦ καὶ ἀντέρεισιν ἔχοντος. καὶ τῆς τοιαύτης ἀνακλάσεως τῆς δι' ἀσθένειαν γινομένης παρατίθεται μαρτύριον τὸ γινόμενόν ποτε περί τινα ἠρέμα καὶ οὐκ ὀξὺ βλέποντα. ἀεὶ *) γὰρ αὐτῷ εἴδωλον ἐδόκει προηγεῖσθαι ἐξ ἐναντίας αὐτῷ ὅτε ἐβάδιζε, βλέπον πρὸς αὐτόν. ἐν ἄλλοις δὲ εἴρηκε καὶ τίς ἦν ὁ τοῦτο πάσχων; ὅτι Ἀντιφέρων ὁ Ὀρείτης **). τοῦτο δέ φησιν αὐτὸν πάσχειν διὰ τὸ τὴν ὄψιν ἀσθενῆ οὖσαν καὶ λεπτὴν δι' ἀρρωστίαν, μὴ δυναμένην ἀπωθεῖν τὸν πλησίον ἀέρα καὶ διαιρεῖν, ἀνακλᾶσθαι πρὸς αὐτόν, ὡς αὐτὸν ἐνορᾶν ἐν τῷ ἀέρι τῷ πρὸ τῆς ὄψεως ὡς ἐν κατόπτρῳ. ὃ ταῖς ὑγιαινούσαις ὄψεσι συμβαίνει πάσχειν ἀπ' ἀέρος πυκνοῦ τε καὶ πόρρω ἀφεστῶτος. ἀπὸ γὰρ τοῦ τοιούτου ἀνακλῶνται. ἀλλ' ἐπεὶ μὴ οἷόν τε τὴν ὄψιν ἀνακλᾶσθαί φαμεν, ἐπιζητήσειεν ἄν τις, τί ἦν τὸ γινόμενον πάθος περὶ τὸν Ἀντιφέροντα. ἢ ὥσπερ τοῖς οὐλήν τινα περὶ τὴν κόρην ἔχουσιν ἢ διὰ βαρεῖαν ὀφθαλμίαν, ἢ διὰ τρῶσίν τινα, καὶ μέντοι τοῖς ὑποχεῖσθαι μέλλουσι κωνώπιόν τι πρὸ τῶν ὀφθαλμῶν ἵστασθαι δοκεῖ, τὸ ἐν αὐτῇ τῇ κόρῃ ὂν καὶ ἐπικείμενον παρὰ φύσιν, ὡς ἔξω ὂν ὁρῶσι διὰ τὴν συνήθειαν τῆς

---

*) Ald. αἰεί.

**) Respexit ad libr. *de memor.* c. 1; quo tamen id iure fecerit, dicetur in commentariis.

αἰσθήσεως. σύνηθες μὲν γὰρ αὐτῇ τὰ ἔξω ὁρᾶν. καὶ πάντα τὰ ὁρώμενα, ὡς ἔξω ὄντα ὁρᾷ· τρόπον δέ τινα καὶ ταῦτα ἔξω ἐστὶν αὐτῆς διὰ τὸ ἔξωθεν προσκεῖσθαι παρὰ φύσιν. σημεῖον δὲ ἀπὸ τοιούτου τινὸς πάθους κωνωπίου γίνεσθαι φαντασίαν, τὸ τότε μάλιστα τοὺς ὁρῶντας αὐτὸ ὁρᾶν, ὅτε ἐκ τοῦ στόματος τῆς κοιλίας ἀνενεχθῇ τις ἀναθυμίασις ἀπὸ τῶν ἐν αὐτῇ καταλειφθέντων ἀπέπτων· πληρούμενα γὰρ τὰ περὶ τὰς κόρας φλεβία ῥυπαρᾶς καὶ ἀκατεργάστου περιττώσεως, ἀντιφράττει τῇ τοῦ αἰσθητηρίου διαφανείᾳ. καὶ τὸ κατασκίαζον αὐτήν, τοῦτο ἡ ὄψις ὡς πρὸ ὀμμάτων ὂν καὶ ἔξω ὁρᾷ. γίνεται δὲ τὸ αὐτὸ πάθος καὶ νεφελοειδοῦς τινὸς συστάσεως συνισταμένης περὶ τὴν κόρην. οὔπω μὲν ἱκανῆς πρὸς τὸ ἐπιφράττειν καὶ κωλύειν αὐτὴν ὁρᾶν. ἤδη δὲ πάχος ἐχούσης, ὡς πρὸ τῶν μελλουσῶν ὑποχύσεων γίνεσθαι φιλεῖ *). τὸ γὰρ φῶς τοῖς οὕτως ἔχουσι σὺν τοῖς ἔξωθεν ὁρατοῖς, καὶ τὸ τοιοῦτον πάθος καὶ τὸ οὕτω προσκείμενον ὁρατὸν ὥς τι τῶν ἔξω ποιεῖ. ὡς οὖν ἐκείνοις ἐοικός τι φαίνεται κωνωπίῳ πρὸ τῆς ὄψεως αἰωρεῖσθαι, ποτὲ μὲν ἔχοντι πτερά, ὅταν ᾖ ὠγκωμένα τὰ φλεβία, ποτὲ δὲ χωρίς τινος τοιαύτης προσθήκης, ὅταν ἐλάττων ἡ περὶ αὐτὰ πλήρωσις ᾖ, οὕτω καὶ τῷ Ἀντιφέροντι, μικρὸν καὶ οὐκ ὀξὺ ὁρῶντι, διὰ τὸ πλείω τινὰ σύστασιν ἐπεσκεδᾶσθαι ταῖς κόραις, μεῖζόν τι πρὸ τῆς ὄψεως ἐδόκει προηγεῖσθαι, ὃ εἴκαζε προσώπῳ, ὡς οἱ προειρημένοι κώνωπι, ὅμοιόν τι πάσχοντες, τοῖς τὰς τῶν νεφῶν συστάσεις τε καὶ ἐξοχὰς εἰκάζουσιν ἀπὸ μικρᾶς ὁμοιότητος Σατύροις ἢ θηρίων τινῶν μορφαῖς **). — Alexander fol. 117, a. b.

---

*) Galen. *de usu part. corpor. humani* X. init. — *τὰ καλούμενα πρὸς τῶν ἰατρῶν ὑποχύματα, μέσα μὲν ἱστάμενα τοῦ κρυσταλλοειδοῦς ὑγροῦ καὶ τοῦ κερατοειδοῦς χιτῶνος, ἐμποδίζοντα δὲ τὰς ὄψεις, ἄχρι περ ἂν τύχῃ παρακεντηθέντα.* Meminit eiusdem mali Chalcidius in Platon. *Tim.* p. 333 ed. Fabric. ubi perperam *ὑπόκρισις* editum est, emendatum iam a Schneidero *Eclog. phys.* II. p. 245. Conferas, si placet, de suffusione oculorum eiusque, si fieri potest, curatione etiam Plinium *Hist. nat.* XXVIII, 8. XXXV, 17. Cels. VII, 14. Galen. *de symptom. caus.* I. p. 99.

**) Ald. *μορφάς*.

IV, 4. *Διόπερ αἵ τ' ἄκραι ἀνεσπασμέναι...... ....μεσουρανοῦντα*] Ἐπιζητήσαι τις *) ἂν τίνος χάριν ταῦτα παρέθετο, δεικνῦναι βουλόμενος, ὅτι καὶ ἀπὸ ἀέρος τῆς ὄψεως ἀνακλάσεις γίνονται, ὥσπερ καὶ ἀφ' ὕδατος. οὐ γὰρ δήπου ταῦτα, ὧν ἐμνημόνευσε δι' ἀνακλάσεως ὁρᾶσθαι λέγοι τις. ἢ τὰ λεγόμενα δεικτικά ἐστι, τοῦ τὴν ὄψιν πάσχειν ὑπὸ τοῦ πυκνοῦ ἀέρος, ἅπερ καὶ ὑπὸ ὕδατος. αἵ τε γὰρ ἄκραι αἱ ἐπὶ τῆς θαλάσσης πόρρωθεν καὶ διὰ πυκνοῦ ἀέρος ὁρώμεναι, ἀνεσπάσμεναι φαίνονται εἰς ὕψος ἀπὸ τῆς θαλάσσης καὶ μείζους. ἔτι δὲ μείζω τὰ μεγέθη φαίνεται πάντων τῶν ὁρωμένων, ὅταν εὖροι πνέωσι, διὰ τὸ πυκνότερον καὶ ὑγρότερον τὸν ἀέρα γίνεσθαι ὑπὸ τῶν νοτίων πνευμάτων, ὁποῖος καὶ ὁ εὖρός ἐστι **). καὶ τὰ ἐν τοῖς ἀχλῦσι δὲ καὶ διὰ τῶν ἀχλύων ὁρώμενα μείζω φαίνεται τῷ τὴν ἀχλὺν εἶναι ἀέρα πεπυκνωμένον. διὰ τοῦτο γὰρ καὶ ἥλιον καὶ τὰ ἄλλα ἄστρα ἀνίσχοντα καὶ δύνοντα, μείζω δοκεῖ εἶναι μᾶλλον ἢ μεσουρανοῦντα***), διὰ τὸ ἀνατέλλοντα μὲν καὶ δύνοντα δι' ἀχλύος ὁρᾶσθαι. διὰ γὰρ τοῦ περιγείου ἀέρος ὁρᾶται, ὃς ἀχλυώδης καὶ παχύτερός ἐστι τοῦ ἐν ὕψει. ὅτι δὲ τὰ αὐτὰ ταῦτα πάθη γίνεται καὶ ἐπὶ τῶν δι' ὕδατος ὁρωμένων γνώριμον. εἰ οὖν αἱ διὰ τοῦ πυκνοῦ ἀέρος διαφάσεις ὅμοιαι ταῖς δι' ὕδατος, εὔλογον καὶ ἀνακλάσεις ὡς ἀπὸ ὕδατος οὕτω γίνεσθαι καὶ ἀπὸ τοῦ τοιούτου ἀέρος. ὁρᾶται δὲ μείζω τά τε δι' ὕδατος καὶ τὰ δι' ὑγροῦ ἀέρος, διὰ τὸ μὴ ὁμοίως τρανῶς φαίνεσθαι. ἀμυδρότερα γὰρ πάντα ὁρᾶται τὰ διὰ παχυτέρου καὶ ἧττον διαφανοῦς ὁρώμενα.

---

*) Ald. ἐπιζητῆσαί τις.

**) Cfr. *Meteorol.* II, 6. p. 364, a: ὅλως δὲ τὰ μὲν βόρεια τούτων καλεῖται, τὰ δὲ νότια. προστίθεται δὲ τὰ μὲν ζεφυρικὰ τῷ βορέᾳ (ψυχρότερα γὰρ διὰ τὸ ἀπὸ δυσμῶν πνεῖν), νότῳ δὲ τὰ ἀπηλιωτικά (θερμότερα γὰρ τῷ ἀπ' ἀνατολῆς πνεῖν). *Polit.* IV, 3. p. 1290, a: μάλιστα δὲ δοκοῦσιν εἶναι δύο [πολίτειαι] καθάπερ ἐπὶ τῶν πνευμάτων λέγεται τὰ μὲν βόρεια, τὰ δὲ νότια, τὰ δ' ἄλλα τούτων παρεκβάσεις.

***) Cfr. ad Excerpt. III, 2, 1.

τὰ δέ γε ἀμυδρότερα φαινόμενα ἡ ὄψις ὡς πόρρω ὄντα ὁρᾷ. τῷ γὰρ τὰ πόρρωθεν ὁρώμενα ἀμυδρότερα ὁρᾶν ἢ εἰ πλησίον ὄντα ἑώρα, διὰ συνήθειαν καὶ τὰ ἀμυδρῶς ὁρώμενα, ὡς πόρρω ὄντα ὁρᾷ. ἀλλὰ μὴν ὑπόκειται κατὰ γωνίαν τινὰ συνισταμένην πρὸς τῇ κόρῃ τὰ ὁρώμενα ὁρᾶσθαι, καὶ τὰ μὲν μείζω κατὰ μείζονα ὁρᾶσθαι γωνίαν, τὰ δὲ ἐλάττω κατὰ ἐλάττονα. διὸ καὶ τὰ αὐτὰ πόρρωθεν ὁρώμενα ἐλάττω φαίνεται ἢ ἐγγύθεν, ὅτι δὴ αἱ ἀπὸ τοῦ ὁρωμένου εὐθεῖαι τὴν πρὸς τῇ κόρῃ γωνίαν ἐλάττω ποιοῦσιν ἀεὶ ἀπὸ τοῦ πλείονος διαστήματος. ὅταν οὖν τι τῷ μὲν ἐγγὺς εἶναι καὶ ἐγγύθεν ὁρᾶσθαι, βλέπηται μείζονι γωνίᾳ, τῷ δὲ ἀμυδρὸν ὁρᾶσθαι φαντασίαν ἀποτελῇ, ὡς ὁρώμενον ἀπὸ πολλοῦ διαστήματος, μεῖζον ἢ ἐστὶ φαίνεται τῇ ὄψει, τῷ ἀφ' οὗ διαστήματος εἰ ἀληθῶς ἑωρᾶτο, ὁρᾶσθαι ἂν αὐτὸ ἐλάττονι γωνίᾳ, καὶ ἀπὸ τούτου δοκεῖν ὁρᾶσθαι τοῦ διαστήματος διὰ τὴν ἀμυδρότητα μεῖζον. τοῦτό τε οὖν αἴτιον τοῦ διὰ τῶν τοιούτων ὁρώμενα μείζω φαίνεσθαι, καὶ ἔτι τὸ χεῖσθαι τὴν ἀπὸ τοῦ αἰσθητοῦ γινομένην κίνησιν ἐν τῷ κατ' ἐνέργειαν διαφανεῖ, ὅταν ὑγρὸν ᾖ καὶ παχύ. ὅτι δὲ οὐκ ἄλογον τὸ λεγόμενον, μάθοι τις ἂν ἀπὸ τῶν γραφομένων γραμμάτων ἐν τοῖς ὑγροτέροις τε καὶ παχυτέροις χάρταις. χεῖται γὰρ ταῦτα καὶ διὰ τοῦτο ἅμα μὲν μείζω, ἅμα δὲ ἀμυδρότερα γίνεται. τρόπον γάρ τινα ὡς τὰ γράμματα ἐν τοῖς χάρταις, οὕτω καὶ τὸ τῶν ὁρωμένων χρῶμα ἐγχαράττεται τῷ κατ' ἐνέργειαν διαφανεῖ. καὶ ψόφοι δὲ καὶ αἱ φωναὶ αἱ δι' ὑγροτέρων γινόμεναι βαρύτεραι *). τὰ δὲ βαρύτερα μετὰ πλείονος ὄγκου. μαρτυροῖ δ'

---

*) Quae vera est causa, cur nocturna maior sit intensio soni, quam diurna. Minoris enim ponderis est argumentum, quod affert Aristoteles *Problem.* XI, 5. p. 899, a: *Διὰ τί εὐηκοώτερα τὰ τῆς νυκτός; ἢ ὅτι μᾶλλον ἠρεμία διὰ τὴν τοῦ θερμοτάτου ἀπουσίαν; διὸ καὶ ὡς ἐπὶ τὸ πολὺ ἀταρακτότερα. ὁ γὰρ ἥλιος ὁ κινῶν.* Idem disertius exponit l. l. XI, 33. p. 903, a, quem locum conferas velim et addas Plutarchi *Quaest. Symposiac.* VIII, 3. Tom. III. p. 970 Wyttenb. Propius ad Alexandri sententiam accedit Sextus Empiricus *Pyrrhonic. Hypotyp.* I, 4, 125. p. 33, ubi ait: *ἡ αὐτὴ φωνὴ ἀλλοία μὲν φαίνεται σὺν λεπτῷ ἀέρι, ἀλλοία δὲ σὺν παχυμερεῖ.*

ἂν τῷ εἰρημένῳ καὶ τὸ συμβαῖνον περὶ τὸ φῶς τὸ ἀπὸ τοῦ ἡλίου. δοκεῖ γὰρ εἶναι σημεῖον ὑετοῦ τὸ τὰς ἀκτῖνας αὐτοῦ ἀνατέλλοντος σκίδνασθαι, μετεώρους τε οὔσας καὶ μόγις καὶ

Quos locos quum laudarem *Meteorol. veter. Graecor. et Roman.* VIII, 40. not. 1. p. 177 sqq., iamiam monui, egregie de hoc phaenomeno disputasse Alexandrum ab Humboldt in peculiari dissertatione inscripta: *Mémoire sur l'accroissement nocturne de l'intensité du son*, neque iniuria monuisse de Luc (*Recherches sur les modifications de l'atmosphère* §. 1031. not. b), noctu si sonus plus solito augeatur, indicium id esse venturae pluviae. Hinc explicandum, cur hieme sonus magis intendatur, quam aestate, quod idem iam novit Aristoteles, causam addens, quia spissior sit aër hiemalis tum in nobis, tum extra nos et quia, quando densior sit, etiam motus sit gravior. Altera huius phaenomeni (cuius veritatem tum alia docent exempla, tum quae Parry proposuit *Edinburgh philosophic. Journal* V. p. 207, *Edinburgh new phil. Journ.* I. April — Octobr. 1826. p. 390) explicatio, quam ex physiologicis rationibus petitam proposuit *Problem.* XI, 17. p. 900. b. (cfr. XI, 56. p. 905, a. 61, p. 905, b. et Alexandri Aphrodisiens. *Problem.* II, 25. 35.) fere congruit cum iis, quae disseruit Sieber *Reise nach der Insel Creta* Vol. I. p. 405. Quae cum exposuissem in Meteorol. veter. Gr. et Roman. l. l. sequenti paragrapho de sono verba feci, quem ex lucis silvisque auditum esse saepenumero veteres perhibent, uti Virgilius *Georg.* I, 476, Ovidius *Metam.* XV, 792 aliique, praesertim Livius, idque phaenomenon cum eo comparavi, quod nostrates *die wilde Jagd* appellare solent, et cum iis, quae de diaboli voce in insula Taprobane audita in libro: *Die Urwelt und die Fixsterne* inscripto ex recentiorum peregrinatorum auctoritate disseruit Schubert. Quamvis, quid hac de re sit sentiendum, saepe quaesitum sit a physicis (cfr. Benzenberg in Gilb. *Annal.* VIII. p. 244), nihil tamen certi eos reperisse, ne probabile quiddam, monui. Addendum vero erat, totam rem propius abesse a fabulosis narratiunculis mythisque popularibus, quam a phaenomenis naturali modo explicandis, qua de causa iam nunc lectores ablego ad v. Dobenek *Des deutschen Mittelalters Volksglauben* Vol. I. p. 62. Grimm *deutsche Sagen* Vol. I. nr. 308 sqq. v. Baczko *Legenden, Volkssagen* etc. (Hal. Saxon. 1817) Vol. II. p. 161. et ad dissertationem, libello periodico insertam, cui titulus: *Die Curiositäten* Vol. II. p. 472 sqq.

ἀμυδρῶς *) ἐπὶ τὴν γῆν διαπέμπεσθαι. διὰ γὰρ πάχος καὶ ὑγρότητα ταῦτα πάντα γίνεται. εἰ δὲ τὸ φῶς τοῦ ἡλίου δι' ὑγρότητα τοῦ ἀέρος σκίδναταί τε καὶ χεόμενον ἀμυδρὸν γίνεται, πολὺ μᾶλλον ἡγητέον περὶ τὰς ἀπὸ τῶν ἄλλων ὁρατῶν κινήσεις τοῦτο γίνεσθαι, ὅσῳ εἰσὶν ἀσθενέστερα τῆς ἀπὸ τοῦ ἡλίου μέχρις ἡμῶν διϊκνουμένης κινήσεως. καὶ αὐτὸς δὲ ὁ ἥλιος, ἐν τῷ τῶν ὑπ' αὐτοῦ ἀκτίνων προειρημένῳ πάθει, μείζων φαίνεται τοῖς ὁρῶσιν αὐτόν. — Alexander fol. 117, b.

Παράδειγμα νῦν λέγει τῆς ἐκ τῆς ἀχλύος γενομένης ἀνακλάσεως οὐκ ἀκριβές. σημεῖον γάρ φησιν, ὅτι ἐκ τῆς ἀχλύος γίνεται ἡ ἀνάκλασις, ὅτι ἕωθεν τὰς ἄκρας τῶν ὀρῶν **), τουτέστι τὰ ἀκρωτήρια μείζονα ὁρῶμεν, καὶ οἷον ἐπινηχόμενα τῇ θαλάττῃ ἀνεσπασμένα τῆς ῥίζης τε αὐτῶν ***) καὶ ὅτι τὰ ἄστρα περὶ τὸν ὁρίζοντα μεγάλα ὁρώμενα, ταῦτα διακλάσεώς ἐστιν, οὐκ ἀνακλάσεως, ὦ Ἀριστίτελες. τὰ γὰρ δι' ὑγροῦ μείζονα φαινόμενα, ἐκεῖνα κατὰ διάκλασιν ὁρᾶται. ἢ φαμεν, ὅτι ἔθος αὐτῷ καταφρονεῖν τῶν παραδειγμάτων. αὐτὸς γάρ που φησί· ληπτέον δὲ βέλτιον τοὺς ὅρους. οὐκοῦν μᾶλλον παράδειγμα ληπτέον τῆς γινομένης ἐκ τῆς ἀχλύος ἀνακλάσεως τὴν περὶ τοὺς λύχνους φαινομένην ἶριν, ὡς εἴρηται. ἀλλ' ἐπειδὴ λόγος ὑμῖν †) γέγονε περὶ τῶν ἀκρωτηρίων, ζητητέον, ποίῳ λόγῳ φαίνονται ὡς ἀνεσπασμένα καὶ ἐπινηχόμενα τῇ θαλάττῃ ἕωθεν. ἐπειδὴ γὰρ ἀχλὺς κέχυται περὶ ταύτην (ἔστι

---

*) Ald. ἀμυδρᾶς. Notum est illud phaenomenon, et ab omnis regionis agricolis creditum, Solem aquas ad se trahere et quasi bibere, ubi radii eius ad verticem usque caeli, caeteroquin nubium expertis, protendantur, idque pluviae tempestatisve esse indicium. Quod phaenomenon respicit etiam Plinius *Histor. natur.* XVIII, 35: *Si in exortu* [*radii*] *spargentur partim ad Austrum, partim ad Aquilonem, pura circa eum* [solem] *serenitas sit licet, pluviam tamen ventosque significabunt.*

**) Ald. ὀρέων.

***) Descriptio phaenomeni, quod elevationem horizontis sive cum Italis: *fata Morgana* vocamus. Cfr. *Meteorol. vet. Gr. et Rom.* IX, 3. p. 186.

†) Mallem ἡμῖν.

γάρ, ἥτις ἐστὶ δίυγρος), μᾶλλον δὲ περὶ τὰς ῥίζας αὐτῶν, ἤπερ περὶ τὰ ἄκρα φαινομένη, ἡ ἀκτὶς ἀπὸ τοῦ ὄμματος ὥσπέρ τις εὐθεῖα ἐπάνω τοῦ ὕδατος τῆς θαλάσσης προσπίπτει τῇ ἀχλύϊ ἐκείνῃ τῇ ὑδατώδει, ἥ τις ἐστὶ πρὸς τῇ ῥίζῃ τοῦ ἀκρωτηρίου. καὶ ἐπειδὴ κἀκείνη δίυγρός ἐστι, παράκειται δὲ καὶ τὸ ὕδωρ τῆς θαλάσσης, λανθάνει ἡ ὄψις διὰ τὴν ὁμοιότητα καὶ οἴεται καὶ αὐτὴν τὴν ἀχλὺν *) ὕδωρ. ἐπειδὴ πρὸς τῇ ῥίζῃ τοῦ ὄρους ἐστὶν ἡ ἀχλὺς ἀπατωμένη νομίζει ἐπάνω τοῦ ὕδατος εἶναι τὸ ὄρος. — Olympiodor. fol. 52, a.

IV, 9. Ὅτι μὲν οὖν ἀνάκλασις ἡ ἶρις τῆς ὄψεως πρὸς τὸν ἥλιόν ἐστι, φανερόν] Ὅτι δὲ ἡ ἶρις κατὰ ἀνάκλασιν γίνεται, καὶ ἔστιν αὐτῆς κατοπτρικὴ ἡ φαντασία, Φίλιππος μὲν ὁ ἑταῖρος Πλάτωνος **) δεικνῦναι πειρᾶται διὰ τοῦ συμμεταχωρεῖν αὐτὴν ἐπὶ ταὐτὰ τοῖς ὁρῶσιν. ὁπότε γὰρ ἐκεῖνοι εἰς τὰ πλάγια μεθίσταιντο, ἐπὶ τὰ αὐτὰ πλάγια καὶ τὴν ἶριν φαίνεσθαι συμμεθισταμένην, ὥσπερ ἑπομένην τῇ τοῦ ὁρῶντος ὄψει. τοῦτο γὰρ ἴδιον τῶν κατὰ ἔμφασιν ὁρωμένων τὸ ἅμα τοῖς ὁρῶσι μεταχωρεῖν καὶ πρὸς τὰ δεξιὰ καὶ πρὸς τὰ ἀριστερά. ἐπεὶ τά γε καθ' εὐθυωρίαν ὁρώμενα, πᾶν τοὐναντίον ὁρᾶται ποιοῦντα. εἰς μὲν γὰρ τὰ δεξιὰ τῶν ὁρώντων αὐτὰ μεθισταμένων, ἐκεῖνα δοκεῖ πρὸς τὰ ἀριστερὰ ἀποκλίνειν· εἰ δὲ οἱ ὁρῶντες αὐτὰ εἰς τὰ ἀριστερὰ μεθίσταιντο, ἐκεῖνα φαντασίαν ἐπὶ τὰ δεξιὰ ἀποκλινόντων παρέχει. οἱ δὲ περὶ

---

*) Ald. ἀχλῦν.

**) Philippus Medamae Bruttiorum oppido in inferiore Italia natus, discipulus Platonis, mathematica, astronomica, meteorologica opera plura composuit, uti librum de lunae figura, quem commemorat Plutarchus (*Quod non suaviter liceat vivere sec. Epic.* Tom. VI p. 466. ed. Wyttenb.), de ventis, cuius mentionem facit Stephan. Byzant. s. v. *Μέδμα*. Idcirco a Plinio *Hist. nat.* XVIII, 31, 74 una cum Callippo, Dositheo, Eudoxo aliisque astronomis laudatur. Adde Gemin. *Element. in Arat. Phaenom.* c. 16. Vitruv. IX, 7. Procl. in Euclid. p. 19: *Φίλιππος ὁ Μεδμαῖος, Πλάτωνος ὢν μαθητὴς καὶ ὑπ' ἐκείνου προτραπεὶς εἰς τὰ μαθήματα.* Petav. *Uranol.* diss. IV, 9. Fabric. *Bibl. Gr.* Vol. IV. p. 10. ed. Harl.

Γεμῖνον *) *καὶ Αἴλιον* **) *εἰς δεῖξιν τοῦ ἔμφασιν τὴν ἶριν εἶναι προσχρῶνται καὶ τῷ προσιόντων τε αὐτῇ δοκεῖν καὶ αὐτὴν προσιέναι καὶ ἀποχωρούντων ἀποχωρεῖν, ὥσπερ ὁρᾶται ποιοῦντα ἐν τοῖς κατόπτροις ἐμφαινόμενα. ὅτι μὲν οὖν καὶ τοῦτο συμβαίνει περὶ τὰς ἐμφάσεις, ὥσπερ καὶ τὸ ὑπὸ Φιλίππου προειρημένον, φανερόν. εἰ δὲ καὶ ἐπὶ τῆς ἴριδος τοῦτο δῆλον γίνεσθαι ἀπὸ τοσούτου διαστήματος ὁρωμένης ἐπιζητήσαι τις ἂν* ***) *ἴσως.* — Alexander fol. 118, a.

Ἡ παροῦσα λέξις ἓξ ἡμῖν τινα παραδίδωσι. πρῶτον μὲν τὴν αἰτίαν, δι' ἣν ἄμφω κατὰ ἀνάκλασιν γινομένων †) *ἴριδός τε καὶ ἅλω, ἡ μὲν ἅλως λευκὸν φαίνεται ἔχουσα χρῶμα, ἡ δὲ ἶρις ποικίλον. τρίχρους γὰρ φαίνεται. καὶ οὐδέτερον τῶν χρωμάτων αὐτῆς ταὐτόν ἐστι τῷ τῆς ἅλω. ἐκεῖνο μὲν γάρ ἐστι λευκότατον, τῆς δὲ τὸ μὲν φοινικοῦν, τὸ δὲ πράσινον τὸ δὲ ἁλουργόν. δεύτερον, δι' ἣν αἰτίαν ὡς ἐπὶ τὸ πλεῖστον κατὰ διάμετρον τοῦ ἡλίου φαίνεται ἡ ἶρις, σπανίως* ††) *δὲ περὶ τὸν*

---

*) Num scribendum sit *Γεμῖνος* aut *Γέμινος*, cum vox latina secundam syllabam corripiat, aliis diiudicandum relinquo.

**) Aelium Stilonem, M. Terentii Varronis magistrum, Alexandrum intellexisse opinor, qui, uti ex Plin. *Histor. natur.* IX, 25 patet, etiam ad naturalem historiam pertinentia conscripsit. Cfr. de eo imprimis Ciceron. *Brut.* 56: *Fuit is omnino vir egregius, et eques Romanus cum primis honestus, idemque eruditissimus et Graecis literis et Latinis; antiquitatisque nostrae et in inventis rebus et in actis, scriptorumque veterum literate peritus. — Sed idem Aelius Stoicus esse voluit* et q. s. Coll. c. 46. *Academ.* I, 2. Interpp. ad Gell. XVI, 8. Saepenumero eius mentio fit apud Grammaticos, Sosipatrum, Priscianum, aliosque.

***) Ald. *ἐπιζητῆσαί τις ἄν*, ut supra fol. 117, b.

†) Ald. *γινομένην*.

††) Quod si iridem interdum etiam, quamvis raro circa ipsum solem adparere contendit Olympiodorus, aut maiorem, irideos quae colores ostendere solet, coronam iridem vocavit, aut tertii ordinis iridem vidit, quae circa solem appareat necesse est, docente iam Bernoulli (*Opp.* Tom. IV p. 197 nr. 171 art. 3.). Talem re vera observavit Reynier (Gren *Journ. für Physik* Vol. IV p. 314).

ἥλιον, καίτοι παρηλίων τε καὶ ῥάβδων τοῖς πλαγίοις τοῦ ἡλίου φαινομένων. τρίτον, ὅτι τὰ θρυλλούμενα ἐπὶ τῆς ἴριδος, ταὐτὸν δ' εἰπεῖν τὸ κατὰ τὴν διάμετρον αὐτὴν γίνεσθαι τοῦ λαμπροῦ καὶ τὸ ἐν κεκερματισμένοις ἐνόπτροις γίνεσθαι αὐτὴν καὶ τὸ μηδέποτε κύκλον τέλειον αὐτὴν *) φαίνεσθαι ἢ ἔλαττον ἡμικυκλίου **) καὶ τρίχροον αὐτὴν εἶναι, ᾖ ψευδῆ· φαίνεται γὰρ ἴσως μηδὲν τούτων ἔχουσα. τὸ τέταρτον, τρία λήμματα παραδίδωσιν συμβάλλοντα πρὸς τὴν τῆς ἴριδος ἀπόδειξιν. πέμπτον, τὴν αἰτίαν τῶν χρωμάτων παραδίδωσιν. ἕκτον, τὴν τάξιν τῶν χρωμάτων, δι' ἣν αἰτίαν τῆς ἐντὸς ἴριδος ἡ μείζων ζώνη καὶ τῆς ἐκτὸς ἡ ἐλάττων φοινικοῦν ἔχουσι χρῶμα, αἱ δὲ παρακείμεναι ταῖς φοινικαῖς ζώναις πράσινον ἔχουσι χρῶμα

Triplices irides soli adversae, saepenumero visae, quales a Ciccolini (Zach *monatl. Correspond.* xx. p. 505), Senguerd (*Philos. natur.* ed. II. Lugdun. 1685. p. 292), Étienne (*Histoire de l'Académie des sciences de Paris* 1743. p. 54), Halley (*Philosoph. Transact.* 1690. p. 193), Celsio (*Schwed. Abhandl.* 1742. p. 235), tunc tantum apparere possunt, ubi maiores aquae, sive ipsum mare, sive lacus, sive maior etiam amnis, in vicinia sunt. Tertia tunc iris reflexione priorum ab aqua ad nubem nascitur, ideoque eodem modo sunt explicanda, quo Vince (Gilb. *Ann.* IV. p. 219) erectas imagines conversis impositas, quae simili reflexione in vicinia lacuum et maris fiunt, explicuit. Aliud phaenomenon iridis a Wollaston observatum (*Edinburgh Transactions* Vol. V. Part. III p. 10. Baumgartner u. v. Ettinghausen *Zeitschr.* III. p. 303) huc trahendum est, cum a reflexione non absimili originem traxerit. Miras omnino formas iridis tali reflexione ab aquarum superficie ad nubes fieri notum est, quemadmodum lunarem illam iridem, quam in America meridionali vidit Don Ulloa (*Voyage historique de l'Amérique meridionale* Amsterdam 1752. Tom. I. p. 368), aut quam Monge ex Aegypto rediens in mari mediterraneo (*Abhandlungen über Aegypten unter Bonaparte* p. 67), aut quam Playfair (Gilb. *Annal.* LXII. p. 124 sqq.), aut quales alii denique conversos arcus observarunt tales, ut concava pars a terrae superficie ad caeli cacumen recederet (Gilb. *Annal.* LXI. p. 363), qua de re explicanda cfr. Scoresby in *Edinburgh new philosophic. Journ.* II. p. 239.

*) Ald. αὐτόν.

**) Supple τμῆμα. Mox pro τρίχροον Ald. τρίχρονον.

ἐφ' ἑκατέρας ζώνης, αἱ δ' ἐκτὸς τοῦ πρασίνου χρώματος ζῶναι ἁλουργὸν ἔχουσι τὸ χρῶμα ἐφ' ἑκατέρας ζώνης *), ὥσπερ λαμβάνεσθαι τὰς δύο ἴριδας ὑπὸ ἁλουργοῦ χρώματος. ταῦτα ἡμῖν τὰ ἓξ παραδίδωσιν ἡ μετὰ χεῖρα λέξις. ἀρξώμεθα οὖν ἀπὸ τοῦ πρώτου, τίς ἡ αἰτία τοῦ μὲν ἅλω λευκὴν φαίνεσθαι, τὴν δὲ ἶριν ποικίλως ἔχουσαν, μήτε ὅμως ὅμοιον τῇ ἅλῳ· τούτου παραδίδωσι δύο αἰτίας ὁ φιλόσοφος. πρῶτον μὲν ὅτι ἡ ἅλως ἀπὸ λευκοτάτου καὶ λεπτοτέρου γίνεται νέφους καὶ ἧττον ὑγροῦ, ἡ δὲ ἶρις ἀπὸ μελαντέρου καὶ παχέος καὶ καθύγρου. τὰ δὲ κάθυγρα μελάντερα φαίνονται δίκην τῶν ἐν ὕδατι βεβρεγμένων ἱματίων. καὶ διὰ τοῦτο ποικιλώτερον χρῶμα ἴσχει ἡ ἶρις, λευκὸν δὲ ἡ ἅλως. δεύτερον δὲ ὅτι ἐπὶ μὲν τῆς ἅλω ἔλαττον ποιεῖ διάστημα ἡ ὄψις πρὸς τὴν σελήνην. κατὰ κάθετον γὰρ ἐκπέμπεται καὶ ὡς ἔλαττον ποιοῦσα διάστημα......**). καὶ γὰρ ἡ ὄψις ὧν ἀμυδρῶς διαλαμβάνεται κατὰ ἀσθένειαν, μελαντέρα δοκεῖ εἶναι. ἰδοὺ γοῦν τὸν οὐρανὸν κυανοῦν χρῶμα δοκοῦμεν ἔχειν καὶ τὴν θάλασσαν πορφυροῦν, διὰ τὸ ἐπὶ πλέον ἐκτεινομένην διάστημα ἐξασθενεῖν ***). καίτοι τοῦ Ἀριστοτέλους

---

*) Ald. *ζώνας*, paulo ante *ἁλουργόν*, et mox deinceps *τὰς δύο ἴρις*.

**) Lacunae indicium reperitur iam in editione Aldina. Fortasse verba exciderunt talia, qualia *ἢ πρὸς τὸν ἥλιον*.

***) De colore aëris caelique, aliter sensit Theophrastus *de colorib.* §. 20 p. 881 ed. Schneider: *Ὁ δὲ ἀὴρ ἐγγύθεν μὲν θεωρούμενος οὐδὲν ἔχειν φαίνεται χρῶμα· διὰ γὰρ τὴν ἀραιότητα ὑπὸ τῶν αὐγῶν κρατεῖται χωριζόμενος ὑπ' αὐτῶν, πυκνοτέρων οὐσῶν καὶ διαφαινομένων δι' αὐτοῦ. ἐν βάθει δὲ θεωρούμενος ἐγγυτάτω φαίνεται τῷ χρώματι κυανοειδής διὰ τὴν ἀραιότητα· ᾗ γὰρ λείπει τὸ φῶς, ταύτῃ σκότῳ διειλημμένος φαίνεται κυανοειδής, ἐπιπυκνωθεὶς δέ, καθάπερ τὸ ὕδωρ, πάντων λευκότατός ἐστιν* (cfr. §. 1. p. 873). — Purpureum maris colorem dixit auctoritate Homeri, apud quem *οἴνοψ πόντος, πορφυρέη ἅλς, πορφυρόεσσα θάλασσα, πορφυρόεντα κύματα* saepenumero occurrunt. cfr. *Il.* φ', 326. ψ', 316. *Odyss.* β', 421. ε', 132 etc. Virg. *Georg.* IV, 373 ibiq. Voss. p. 855. Est ille color, quem Aristoteles *Problem.* XXVI, 37. p. 944, b. cfr. Gell. *Noct. Attic.* II, 30) *ζοφῶδες χρῶμα* appellat, quem mare ostendat flante aquilone, cum austro spirante caeruleum videatur. Atque hic color perpetuo fere apud Latinos mari tribuitur, iisque quae ad mare

βουλομένου ἀχρωμάτιστα εἶναι τὰ οὐράνια σώματα, διὰ τὸ εἶναι ταῦτα τῆς πέμπτης οὐσίας *). πᾶν δὲ χρῶμα ἐκ τῶν τεσσάρων στοιχείων **). οὐκοῦν, ὥς ἔφη, ἐπειδὴ ἔλαττον ἡ ὄψις διάστημα ποιεῖ ἐπὶ τῆς ἅλω, οὐκ ἐξασθενεῖ καὶ τούτου χάριν λευκὸν χρῶμα φαίνεται ἔχουσα· ἐπὶ δὲ τῆς ἴριδος ἐπειδὴ ἐπὶ πλέον ἐκτείνεται (ἀπὸ γὰρ ἡμῶν ἐπὶ τὸ νέφος καὶ ἀπὸ τοῦ νέφους ἐπὶ τὸν ἥλιον κατὰ διάμετρον ὄντα τοῦ νέφους· μεῖζον γὰρ διάστημά ἐστι τὸ κατὰ διάμετρον τῆς καθέτου) τούτου χάριν ἐξασθενοῦσα ἡ ὄψις ποικίλα χρώματα ὁρᾷ ἐπὶ τὸ μελάντερον ὁδεύοντα. τοῦτο μὲν τὸ πρῶτον. δεύτερον ἦν δι' ἣν αἰτίαν περὶ μὲν τὸν ἥλιον οὐ γίνεται ἶρις, ἢ σπανίως γίνεται, κατὰ διάμετρον δὲ αὐτοῦ ὡς ἐπὶ τὸ πλεῖστον γίνεται. ἀλλ' ἵνα τοῦτο νοήσωμεν, δεῖ πρῶτον ἐκεῖνο μὴ ἀγνοεῖν, ὅτι ἡ ἀναθυμιωμένη ἀπὸ τῶν ὑδάτων ἀτμιδώδης ἀναθυμίασις μετεωριζομένη καὶ παχυνομένη ἐν τῷ ἀπογείῳ τοῦ περιγείου ἀέρος μεταβάλλεται εἰς ὕδωρ νεφουμένη καὶ γίνεται ὑετός, ὡς ἐν τοῖς προλαβοῦσιν εἴρηται. ἀλλ' οὐκ ἀθρόον εἰς ὕδωρ μεταβάλλεται, ἀλλ' εἰς ῥανίδας, τουτέστι ψεκάδας. εἶτα τούτων τῶν ῥανίδων συνερχομένων ἀλλήλαις γίνεται ὕδωρ καὶ κατέρχεται ὑετός ***). ἡ οὖν ἶρις ἐν τῷ μεταξὺ χρόνῳ τῶν ψεκάδων καὶ τοῦ ὕδατος ἔχει τὴν γένεσιν. τῆς γὰρ ὄψεως φερομένης

---

spectant, unde Neptunus *caeruleos oculos* habere dicebatur (Cic. *de nat. deor.* I, 30), unde *caeruleus currus Neptuni* audit Virgilio *Aen.* V, 819 et *caerulei Tritonis equi* Ovidio *Heroid.* VII, 50 et al. sim.

*) Cfr. *de caelo* II, 7 sqq. Ex iis, quae ibi disserit Aristoteles, consequitur eum astra coloris expertia censere debuisse. Quod enim deinceps additur ab Olympiodoro, omnem colorem natum esse ex quatuor elementis, patet ex iis, quae exposita sunt initio libelli de coloribus: *ἁπλᾶ τῶν χρωμάτων ἐστί, ὅσα τοῖς στοιχείοις συνακολουθεῖ* et q. s. At male dixit Olymp.: *ἐκ τῶν στοιχείων* quasi colores corporibus adnumerasset. Plinius *Histor. nat.* II, 18 in singulis erraticis sideribus coloris differentiam statuit, ergo colorem iis tribuit.

**) Quod quid sibi velit, intelligitur ex iis, quae dixit fol. 50, a (Excerpt. III, 2, 1.).

***) Cfr. *Meteorolog.* I, 12, 3.

ἐπὶ τὰς ῥανίδας ἐκείνας καὶ ὡς ἐπὶ ἐνόπτρου ἐπὶ τὸν ἥλιον ἀνακλωμένης κατὰ διάμετρον τοῦ ἡλίου χρῶμα ἐν ταῖς ῥανίσιν ὁρᾷ. καὶ αὕτη ἡ ἔμφασις τοῦ χρώματος τοῦ ἡλίου τοῦ ἐν ταῖς ῥανίσιν ἐστὶν ἡ ἶρις· ὅθεν καὶ ὑετόμαντις *) λέγεται παρὰ τοῖς ποιηταῖς ἡ ἶρις, διὰ τὸ ὅσον οὔπω τὰς ῥανίδας ἐκείνας συναγομένας ἐν αἷς ἐμφαίνεται ἶρις, ποιεῖν τὸν ὑετόν. τούτων οὕτως ἐχόντων, εἰ ἐγγὺς εἴη τοῦ ἡλίου τὸ νέφος ἐκεῖνο ἐν ᾧ εἰσιν αἱ ῥανίδες ἤγουν περὶ αὐτὸν τὸν ἥλιον, διὰ τὸ τὰς ἀκτῖνας αὐτοῦ σφοδροτέρας φαίνεσθαι ἐπὶ τὸ νέφος, συμβαίνει μᾶλλον αὐτὸ θερμαίνεσθαι διὰ τὴν παράτριψιν τῶν ἀκτίνων, ἤπερ εἰ ἦν πόρρω. ἐπειδὴ δὲ μᾶλλον θερμαίνεται ἢ τάχιον μεταβάλλεται εἰς ὕδωρ, τῆς συμμεμιγμένης αὐτῷ καπνώδους ἀναθυμιάσεως διαφορουμένης διὰ τὴν ἀλέαν, διαχεῖται καὶ ἀπομαραίνεται. ἐπειδὴ οὖν βραχύτατός ἐστιν ἐπὶ τούτου ὁ μέσος χρόνος καὶ οὐ πολύς, τούτου χάριν οὐ γίνεται ἶρις περὶ τὸν ἥλιον, κατὰ διάμετρον δὲ γίνεται· ἐπειδὴ πλείων ἐστὶν ὁ μέσος χρόνος τῆς εἰς ῥανίδα μεταβολῆς καὶ τῆς εἰς ὕδωρ, δύναται συστῆναι ἡ ἶρις ἐκεῖσε. τοῦτο καὶ τὸ δεύτερον. τρίτον ἦν δεῖξαι, ὅτι τὰ θρυλλούμενα ἐπὶ πάσης ἴριδος ψευδῆ ἐστιν. ἰδοὺ γὰρ ἡ ἶρις ἡ περὶ τοὺς λύχνους φαινομένη ἐν νοτίῳ καταστήματι ἐν χειμῶνι, ἢ ὅταν ὑγροτέρους ἔχωμεν τοὺς ὀφθαλμούς, ἢ ὅταν μὴ ἀκριβῶς ἐνατενίσωμεν τῷ λύχνῳ. ἀπὸ γὰρ τούτων πάντων γίνεται ἶρις περὶ τοὺς λύχνους, οὔτε τρίχροός ἐστιν, ἀλλὰ μονόχρους, καὶ μονόχρους παντελῶς, ἀλλότριον ἔχουσα χρῶμα τῆς ἴριδος τῆς ἐκ τοῦ ἡλίου· οὔτε γὰρ φοινικοῦν, οὔτε πράσινον, οὔτε ἁλουργόν, ἀλλὰ πορφυροῦν. οὔτε μὴν κατὰ διάμετρον γίνεται τοῦ λαμπροῦ, ἀλλὰ περὶ τὸ λαμπρόν, περὶ γὰρ τὸν λύχνον. οὔτε μὴν ἡμικύκλιον φαίνεται ἢ ἔλαττον ἡμικυκλίου αὕτη ἡ ἶρις, ἀλλ' ἀεὶ κύκλος, περὶ γὰρ τὸ φῶς. οὔτε γὰρ ἐν κεκερματισμένοις ἐνόπτροις γίνεται ἡ τοιαύτη ἶρις, ἀλλ' ἐν συνεχεῖ. περὶ γὰρ τὴν περὶ τὸν λύχνον ἀχλύν, ἥτις γίνεται

---

*) ὑετόμαντις iridis epitheton nusquam reperi. Cornicis est apud Euphorionem (p. 134 sq. ed. Meineke) ap. Schol. Nicandri *Theriac.* 406: *ὅτι χειμῶνα δηλοῦσιν οἱ κόρακες καὶ Ἄρατος μαρτυρεῖ καὶ Εὐφορίων ὁμοίως·*

— *ὑετόμαντις ὅτε κρώξειε κορώνη.*

ἐκ τῆς λιγνύος τοῦ λύχνου. ἔστι δὲ καὶ ἑτέρα ἶρις γινομένη κατά τι μὲν ἐοικυῖα τῇ περὶ τοὺς λύχνους, κατά τι δὲ τῇ περὶ τὰ νέφη. ἐὰν γὰρ ὦσι δύο τινές, ὧν ὁ μὲν ἐν τῷ ἐσκιασμένῳ ἵσταται, ὁ δ' ἐν τῷ καταλαμπομένῳ ὑπὸ τοῦ ἡλίου, ὁ δ' ἑστὼς ἐν τῷ καταλαμπομένῳ ῥαίνει ὕδωρ, ὥστε τὰς ῥανίδας ἄνω δέξασθαι τὸ χρῶμα τοῦ ἡλίου, ὁ ἐν τῷ ἐσκιασμένῳ ἑστὼς ὁρᾷ ἶριν γενομένην ἐκ τῶν ῥανίδων τῆς ὄψεως, ἀνακλωμένης ὑπ' αὐτοῦ πρὸς τὸν ἥλιον πορφυροῦν ἔχουσαν χρῶμα. αὕτη οὖν ἡ ἶρις κατὰ μὲν τὸ χρῶμα ἔοικε τῇ περὶ τὸν λύχνον ἴριδι, κατὰ δὲ τὸ μὴ εἶναι τέλειον ἔοικε τῇ ἐν τοῖς νέφεσι γινομένῃ. ὥστε οὐ πᾶσα ἶρις ἐπιδέχεται τὰ εἰρημένα περὶ ἴριδος ἀξιώματα. τέταρτον ἦν τῶν προτεθέντων, τρία λήμματα παραδοῦναι συμβαλλόμενα πρὸς τὴν τῆς ἴριδος ἀπόδειξιν, ὧν τὸ πρῶτον τοιοῦτόν ἐστι· τὸ πολὺ λαμπρὸν ἢ ἐν μέλανι ὀλίγῳ ἢ διὰ μέλανος ὀλίγου θεωρούμενον φοινικοῦν ποιεῖ χρῶμα. ἰδοὺ οὖν ὁ ἥλιος ἀνίσχων καὶ δύνων καὶ οἱ λοιποὶ ἀστέρες δι' ὀλίγου μέλανος ὁρώμενοι καὶ οὐκ ἐν μέλανι (οὐκ ἐν αὐτῷ γάρ εἰσι· πολὺ γὰρ αὐτοῦ ἀπέχουσιν), ἀλλὰ δι' αὐτοῦ ὁρῶνται. ἐν μέλανι δὲ θεωρουμένη φλὸξ φοινικοῦν φαίνεται χρῶμα ἔχουσα, τουτέστιν ἐν καπνῷ περὶ αὐτὸν ὄντι *). μετὰ γὰρ τοῦ καπνοῦ ἐστιν ἡ φλόξ **). ὅθεν ἐν μέλανι εἶπον ὁρᾶσθαι αὐτόν. τοῦτο πρῶτον λῆμμα. δεύτερον, ὅτι ἡ ὄψις ἐπὶ πολὺ προϊοῦσα, ἀσθενὴς γίνεται καὶ ἐλάττων ἑαυτῆς κατὰ τὴν δύναμιν. ὅθεν τὰ πόρρω κείμενα ὁρώμενα μέλανα δοκεῖ εἶναι καὶ τὰ γωνιαῖα σώματα ἀγώνια εἶναι, καὶ τὰ μεγάλα μικρὰ διὰ τὸ μὴ δύνασθαι ἀκριβῶς ἀντιλαμβάνεσθαι. οὐ μόνον δὲ τὰ πόρρω κείμενα, ἀλλὰ καὶ τὰ ἐγγὺς κείμενα, διὰ μακρᾶς δὲ περιόδου ὑποπίπτοντα αὐτῇ ὥσπερ ἐπὶ τῆς ἀνακλάσεως. οὐδὲν γὰρ ἄτοπον ἐγγὺς μὲν εἶναι τὸ ὁρατὸν ἐκ πλαγίων τῆς ὄψεως καὶ ἐκπέμπεσθαι ἐκεῖσε τὴν ὄψιν καὶ ἀνακλᾶσθαι πρὸς τὸ ἐκ πλαγίων ὁρατόν, εἰ καὶ κατ' εὐθυωρίαν κείμενον μήκοθεν ἔκειτο. καὶ διὰ τοῦτο καὶ μελάντερον δοκεῖ εἶναι. ἰδοὺ γοῦν εἰ κατ'

---

*) Ald. ὄντος.

**) Vide *de generat. et interitu* II, 4. p. 331, b. Theophrast. *de igne* §. 3. p. 706. Commentar. ad I, 4, 4. Tom. I. p. 367.

εὐθυωρίαν ἴδωμεν νέφος λευκόν, ἀτενίσαντες ἐν ὕδατι μελάντερον αὐτὸ ὁρῶμεν διὰ τὸ ἐπὶ πλέον διάστημα πορευομένην τὴν ὄψιν ἀσθενεῖν. τρίτον λῆμμα, ὅτι ἐπὶ τῆς ἐκπομπῆς τῆς ὄψεως τὸ μέλαν χρῶμα οἷον ἀπόφασίς ἐστι τῆς ὄψεως. διὰ γὰρ τὴν ἀσθένειαν καὶ διὰ ἀμυδρότητα γίνεται τῆς ὄψεως. καλῶς δ' εἶπεν οἷον ἀπόφασις, ἐπειδὴ οὐ παντελῶς γέγονε στέρησις ὄψεως ἐπὶ τῶν μήκοθεν ὁρωμένων. ὅθεν καὶ χρώματα διάφορα ὁρῶνται. εἰ γὰρ ἦν τελεία ἀπόφασις, οὐκ ἂν ἐφαίνετο τὰ διάφορα χρώματα. πέμπτον ἦν ζητῆσαι τὰς αἰτίας τῶν χρωμάτων τῆς ἴριδος. ἐπειδὴ γὰρ τὰ νέφη, ἐν οἷς ἡ ἶρις ἐκφαίνεται, κατακεκερματισμένα ἐστὶν εἰς μικρὰς ῥανίδας· καὶ τὰ μὲν αὐτῶν πόρρω κεῖνται τῆς ὄψεως, τὰ δ' ἐγγυτέρω, αἱ ἐκ τοῦ ὄμματος ἐπ' αὐτὸ ἐκπεμπόμεναι ἀκτῖνες πλεῖσται οὖσαι αἱ μὲν εἰς τὰ πλησίον νέφη προσπίπτουσαι ἀνακλῶνται πρὸς τὸ ὁρατόν, τουτέστι τὸν ἥλιον, αἱ δὲ εἰς τὰ πορρωτέρω, αἱ δὲ ἔτι εἰς τὰ πορρωτέρω. ἀλλ' αἱ μὲν εἰς τὰ πλησίον νέφη προσπίπτουσαι ἀκτῖνες, ὡς ἂν δι' ὀλίγου μέλανος ὁρῶσαι αὐτόν, τουτέστι ἀχλυώδους ἀέρος, οὐ πάσχουσι πολλὴν τὴν ἀπάτην, ἅτε δὴ μὴ πάνυ ἀσθενήσασαι καὶ δι' ὀλίγης ἀχλύος αὐτὸν ὁρῶσαι. ὅθεν φοινικοῦν χρῶμα ὁρῶσιν αὐτὸ τοῦ ἡλίου ἐν τοῖς νέφεσιν ἐκείνοις, ἐν οἷς προσπίπτουσι διὰ τὸ πρῶτον λῆμμα τὸ λέγον, ὅτι ἐὰν πολὺ λαμπρὸν δι' ὀλίγου μέλανος ὁρᾶται, φοινικοῦν ὁρᾶται. ὅπερ φοινικοῦν οὐ πόρρω ἐκπέπτωκεν τοῦ ἡλιακοῦ χρώματος. οὕτω μὲν οὖν αἱ εἰς τὰ πλησίον νέφη προσπίπτουσαι ποιοῦσι τὸ φοινικοῦν χρῶμα· αἱ δὲ εἰς τὰ πόρρω νέφη προσπίπτουσαι, ἐπειδὴ καὶ διὰ πλείονος διαστήματος ἀνακλῶνται πρὸς τὸν ἥλιον καὶ διὰ πολλοῦ ἀέρος ἀχλυώδους ὁρῶσιν αὐτόν, μελάντερον αὐτοῦ τὸ χρῶμα ὁρῶσιν ἐν τοῖς νέφεσι διὰ τὸ δεύτερον λῆμμα τὸ λέγον, ὅτι ἐπὶ πολὺ προϊοῦσα ἡ ὄψις καὶ ἀσθενοῦσα μελάντερον δοκεῖ εἶναι τὸ ὁρώμενον μὴ ὂν τοιοῦτον. ἐντεῦθεν γίνεσθαι τὸ πράσινον χρῶμα μελάντερον ὑπάρχον ἢ κατὰ τὸ φοινικοῦν. αἱ δὲ εἰς τὰ ἐκ πλείονος διαστήματος ἀνακλῶνται πρὸς τὸν ἥλιον ἤπερ αἱ λοιπαὶ καὶ διὰ πολλοῦ ἀχλυώδους ἀέρος, ἔτι μᾶλλον μέλανος ἀντιλαμβάνονται τοῦ ἡλιακοῦ χρώματος διὰ τὸ τρίτον λῆμμα τὸ λέγον, ὅτι οἷον ἀπόφασίς ἐστιν ὄψεως τὸ μέλαν. αὗται γὰρ

ἐξασθενοῦσαι διὰ τὸ διάστημα καὶ διὰ τὸν πολὺν ἀχλυώδη ἀέρα, ἐλάχιστον αὐτοῦ ἀντιλαμβάνονται, ὡς εἰ καὶ μετὰ δυσμὰς ἀντελαμβάνοντο. ἔνθεν τὸ ἁλουργὸν τῆς ἴριδος φαίνεται χρῶμα. εἰ δὲ καὶ ἄλλα γίνεται χρώματα, ἀλλ᾽ οὖν ἀνεπαίσθητά εἰσι. τοῦτο καὶ τὸ πέμπτον κεφάλαιον. ἕκτον καὶ τελευταῖον ἦν ζητῆσαι τὴν αἰτίαν τῆς τάξεως τῶν χρωμάτων, διὰ τί τῶν δύο ἰρίδων αἱ προσεχεῖς τελευταῖαι μόναι φοινικοῦν ἔχουσι χρῶμα (τουτέστι τὸ πέρας τῆς ἐκτὸς καὶ ἡ ἀρχὴ τῆς ἐντός), αἱ δὲ παρ᾽ ἑκάτερα αὐτῶν πράσινον ἔχουσι χρῶμα, αἱ δὲ κατὰ τὰ πέρατα ἁλουργόν· καὶ ὁ μὲν ἀποφαινόμενος Ἀριστοτέλης τὴν θέσιν αἰτιᾶται καὶ τὸ μέγεθος, θέσιν μὲν ἐπὶ τῆς μείζονος ἴριδος τῆς ἔξωθεν, μέγεθος δὲ ἐπὶ τῆς ἐλάττονος τῆς ἔνδοθεν. ἀλλὰ τέως ἐπὶ τῆς ἔνδον εἴπομεν *). φησὶ γάρ, ὅτι ἐπειδὴ μείζων ἐστὶν ἡ ζώνη τῆς ἐντὸς ἴριδος ἡ πρώτη, ἐν δὲ τοῖς μείζοσι μεγέθεσι πλείονες προσπίπτουσιν ὄψεις, οὗ δὲ πλείονες προσπίπτουσιν ὄψεις οὐ γίνεται ἀπάτη ἢ ἔλαττον γίνεται διὰ τὸ ἀκριβέστερον ἀντιλαμβάνεσθαι τοῦ ὁρατοῦ, τούτου χάριν, ἐπειδὴ ἀπὸ μείζονος περιφερείας, τουτέστι ζώνης, πλείονες ἀνακλῶνται ὄψεις πρὸς τὸν ἥλιον ὡς εἰ ἐκεῖ ὄντος τοῦ ὄμματος, ἔνθα εἰσὶ τὰ νέφη, δι᾽ ἀχλύος ἐπέμποντο ἀπ᾽ αὐτοῦ αἱ ὄψεις πρὸς τὸν ἥλιον· τὸ αὐτὸ δὲ καὶ ἐπὶ πάσης ἀνακλάσεως. οὐδὲν γὰρ διαφέρει τὸ ἀνακλωμένην τὴν ὄψιν ἀπὸ τοῦ ἐνόπτρου φέρεσθαι παρὰ τὸ ὁρατόν, πλὴν ὅτι νῦν μὲν ἐφικέστερον **) αὐτοῦ ἀντιλαμβάνεται ὅταν κατ᾽ εὐθυωρίαν, ἀμυδρότερον δὲ ἐπὶ τῆς ἀνακλάσεως. τοῦτο δὲ διὰ τὸ ἐπιπολὺ ἐκπεμπομένην τὴν ὄψιν ἀτονεῖν· τοῦτο δέ, ὅτι μικροῦ ὄντος τοῦ ἐνόπτρου πολλάκις ὀλίγαι προσπίπτουσιν αὐτῷ ὄψεις, αἵτινες ἀνακλώμεναι πρὸς τὸ ὁρώμενον μικρὸν αὗται οἴονται. διὰ ταύτην μὲν οὖν τὴν αἰτίαν ἡ μεγίστη περιφέρεια ἐπὶ τῆς ἐντὸς ἴριδος φοινικοῦν ἐμφαίνει τὸ χρῶμα. ἡ δ᾽ ἐχομένη αὐτοῦ, ἐπειδὴ ἐλάττων ἐστίν, ἐλάττονες αὐτῇ προσπίπτουσιν ὄψεις καὶ ἐλάττονες ἀνακλῶνται πρὸς τὸν ἥλιον καὶ διὰ τοῦτο πλέον ἀπατῶνται καὶ οὐκ ἀκριβῶς ἀντιλαμβάνονται τοῦ ἡλίου. ἔνθεν

*) Fort. εἴπωμεν.

**) Lexicis addatur vocabulum, si lectio certa.

*μετὰ τὸ φοινικοῦν γίνεται χρῶμα τὸ πράσινον. ἐπειδὴ δὲ ἔτι ἐλάττων ἡ τρίτη περιφέρεια, ἔτι ὀλίγαι εἰσὶν αἱ ἀπ᾽ αὐτῆς ἀνακλώμεναι ὄψεις περὶ τὸν ἥλιον. καὶ τούτου χάριν πλέον ἀπατώμενος ἔτι μελάντερον οἴονται τὸν ἥλιον καὶ γίνεται τὸ ἁλουργόν. ταῦτα μὲν οὖν τῆς ἐντὸς ἴριδος αἰτιᾶται τὸ μέγεθος τῆς τῶν χρωμάτων τάξεως ὁ Ἀριστοτέλης, ἐπὶ δὲ τῆς ἐκτὸς τὴν θέσιν τῶν νεφῶν. ἐπειδὴ γὰρ τὰ νέφη ἐκεῖνα ἐν οἷς ἐμφαίνεται τὸ φοινικοῦν ἔχουσα χρῶμα περιφέρεια, πλησίον ἐστὶ τῆς ὄψεως, μὴ ἀποκάμνουσα ἡ ὄψις τῷ πολλῷ διαστήματι, προσπίπτουσα αὐτοῖς καὶ ἀνακλωμένη πρὸς τὸν ἥλιον ἔλαττον ἀπατᾶται διὰ τὸ σχεδὸν τὸ τοῦ ἡλίου χρῶμα ὁρᾶν. λέγω δὴ τὸ φοινικοῦν. τὰ δ᾽ ἄλλα νέφη, ἐν οἷς εἰσιν αἱ ἄλλαι περιφέρειαι, πόρρω μὲν ὄντα, ἐπειδὴ ἐκ διαστήματος ὄψις ἀνακλᾶται πρὸς τὸν ἥλιον, ἐξασθενεῖ καὶ διὰ τοῦτο οὐκ ἀκριβῶς ἀντιλαμβανομένη ποῦ μὲν ποιεῖ τὸ πράσινον χρῶμα, ποῦ δὲ τὸ ἁλουργόν. ταύτας μὲν οὖν τὰς αἰτίας τῆς τῶν χρωμάτων τάξεως ἀποδίδωσιν ὁ φαινόμενος Ἀριστοτέλης. ἀλλ᾽ ὁ δαιμόνιος ἔφησεν *), δύο οὐσῶν τῶν εἰρημένων αἰτιῶν ἐπὶ τῶν δύο γίνεσθαι ἰρίδων. καὶ γὰρ καὶ ἐπὶ τῆς ἐκτὸς δύναται αἰτιάσασθαι τὸ μέγεθος καὶ ἐπὶ τῆς ἐντὸς τὴν θέσιν. τί δήποτε τὸ μὲν ταύτῃ ἀπένειμας; τὸ δὲ ταύτῃ; φέρε οὖν ὡς ἐπέστησεν ὁ ἡμέτερος πρόγονος εἴπωμεν **) αἰτίαν τῆς τάξεως τῶν χρωμάτων. ἐπειδὴ γὰρ ἐκ τοῦ ὄμματος πιπτουσῶν ἀκτίνων ἡ κατὰ κάθετον φερομένη πρὸς τὸ ὁρατόν, ἥτις καὶ ἄξων ἐστὶ τῶν γινομένων κώνων, ἰσχυροτέρα ἐστὶ τῶν μὴ κατὰ κάθετον, ἀλλὰ πλαγίων φερομένων, καὶ τούτων αἱ πρὸς τῇ καθέτῳ ἰσχυροτέραι εἰσὶ τῶν πόρρω τῆς καθέτου, συμβαίνει τὴν μὲν κάθετον ὡς ἰσχυροτάτην οὖσαν μὴ πάσχειν ἀπάτην ἢ σπανίως ἔχειν, τὰς δὲ πρὸς τῇ καθέτῳ πάσχειν μὲν ἀπάτην, ὀλίγην δέ, τὰς δὲ πόρρω πολλὴν πάσχειν ἀπάτην. τούτων οὕτως ἐχόντων ἐπὶ τῆς ἴριδος φαίνονται ὄψεις πολλαὶ παρὰ τὰ νέφη. ὧν ἡ μέν ἐστι κάθετος, αἱ δὲ παρὰ τὴν κάθετον πίπτουσιν, αἱ δὲ πόρρω τῆς καθέτου. ἀλλ᾽ ἡ μὲν κάθετος ἐμπίπτει ἐπὶ τὸ μεταξὺ τῶν δύο ἰρίδων, ἐπὶ τὸ τῶν μεταξὺ δύο φοινικῶν*

---

*) Ammonius. [illegible] **) Ald. εἴπομεν.

περιφερειῶν, ἔνθα οὐδὲν ὅλως ἀπατηλὸν φαίνεται χρῶμα. μεταξὺ δὲ τῶν δύο ἰρίδων ἐστί τις χώρα χωρὶς χρώματος ἀπατηλοῦ· ἐπειδὴ οὖν ἰσχυρῶς ἀντιλαμβάνεται κάθετος ἐκείνου τοῦ τόπου, ἐν ᾧ πίπτει, τούτου χάριν οὐχ ὁρᾶται. ἐκεῖσε χρῶμα ἀπατηλόν. τοῦτο γὰρ ἐλέγομεν καὶ ἐπὶ τῆς ἅλω, διὰ τί κρίκος φαίνεται καὶ οὐχὶ τύμπανον, ἐπειδὴ ἡ κατὰ κάθετον φερομένη πρὸς τὴν σελήνην ὄψις ἰσχυρὰ οὖσα οὐκ ἀπατᾶται, ἀλλ' ἀκριβῶς ἀντιλαμβάνεται. διὰ τοῦτο οὖν καὶ ἐνταῦθα συμβαίνει, ἔνθα ἡ κάθετος πίπτει, μὴ γίνεσθαι χρῶμα ἐπείσακτον. αἱ δὲ παρὰ τὴν κάθετον πίπτουσαι εὐθεῖαι ἐπειδὴ οὔτε οὕτως εἰσὶν ἰσχυραὶ ὥσπερ ἡ κάθετος, οὔτε οὕτως ἀσθενεῖς ὥσπερ αἱ πόρρω τῆς καθέτου, τούτου χάριν ποιοῦσι μὲν ἀπάτην, ἐλαχίστην δέ, καὶ σχεδὸν αὐτὸ τὸ χρῶμα τοῦ ἡλίου ὁρῶσιν ἐννοθευόμενον διὰ τῆς ἀχλύος, ὅθεν μετὰ τὸν ἀργὸν χρώματος ἐκεῖνον τόπον, ἔνθα ἡ κάθετος ἐπιγίνεται, αἱ περὶ αὐτὸν περιφέρειαι φοινικοῦν ἔχουσι τὸ χρῶμα. σχεδὸν γὰρ τὸ φοινικοῦν πλησίον ἐστὶ τοῦ λαμπροῦ κατὰ τὴν ὁμοιότητα. αἱ δὲ πόρρω τῆς καθέτου πίπτουσαι ὄψεις ἐπὶ τὰ πόρρω νέφη, ἐπειδὴ πλεῖον διάστημα ἀνίουσαι ἀνακλῶνται πρὸς τὸν ἥλιον καὶ ἀσθενεῖς γίνονται. τούτου χάριν ἀμυδρότερον ἀντιλαμβανόμεναι διὰ τὸ δεύτερον λῆμμα ποιοῦσι τὸ πράσινον χρῶμα ἐν ἑκατέρᾳ ἴριδι. μετὰ τὸ πράσινον δ' ἔτι πόρρω τῆς καθέτου πίπτουσαι, ἐπειδὴ μᾶλλον ἄτονοί εἰσιν, ὡς διὰ πολλοῦ διαστήματος ἀνακλώμεναι, ἔτι ἀμυδρῶς ἀντιλαμβάνονται τοῦ λαμπροῦ καὶ ποιοῦσι τὸ ἁλουργὸν μελάντερον ὂν τοῦ πρασίνου, κείμενον δὲ αὐτοῦ ἐφεξῆς ἐν ἑκατέρᾳ ἴριδι· ταύτην μὲν τὴν αἰτίαν τῆς τάξεως ἀποδέδωκεν ὁ μέγας φιλόσοφος *). φέρε δ' ἡμεῖς οἷον τροφεῖα ἀπονέμοντες Ἀριστοτέλει **), δείξωμεν αὐτὸν ταῦτα λέγοντα καὶ οὐ κατὰ τὸ φαινόμενον. — Olympiodor. fol. 52, a — 53, b.

IV, 20. *Δεύτερον δ' ὅτι ἡ ὄψις ἐκτεινομένη*

---

*) Cfr. ad Excerpt. I, 6, 2. Tom. I. p. 183. ad I, 13, 30. p. 256. Adde Olymp. fol. 54, a (Excerpt. III, 4, 20).

**) Hinc corrigantur verba Olympiodori fol. 1, b. (Excerpt. I, 1. Tom. I. p. 132), ubi *τρόφια* mutandum in *τροφεῖα*.

ἀσθενεστέρα γίνεται καὶ ἐλάττων] Τὸ δεύτερον λῆμμα τοῦτ' ἐστίν. ἀλλὰ ζητητέον, πῶς ἡ ὄψις ἀποτεινομένη ἐλάττων γίνεται. μείζω γὰρ μᾶλλον ἔδει λέγειν, ἢ ἐλάττονα λέγει αὐτὴν γίνεσθαι κατὰ τὴν δύναμιν, τουτέστιν ἄτονον. ᾧ δῆλον, ὅτι καὶ πλείονα ὅταν αὐτὴν λέγῃ, δυνάμει αὐτὴν λέγει πλείονα οὐ μεγέθει. οὐκοῦν συμφωνεῖ ἡ τοῦ μεγάλου φιλοσόφου ἐξήγησις πρὸς τὴν ἔννοιαν τοῦ Ἀριστοτέλους ἐπὶ τῆς τάξεως τῶν χρωμάτων τῆς ἴριδος. πλείστην γὰρ εἶπεν ὄψιν ἀνακλᾶσθαι ὁ Ἀριστοτέλης ἀπὸ τῆς μείζονος περιφερείας, οὐ τῷ ποσῷ, ἀλλὰ τῇ δυνάμει, ὡς εἴρηται. — Olympiod. fol. 54, a.

IV, 24. *Ἀλλ' ἐν τοῖς τρισίν......*] Ἐπὶ δὲ τὸ πλεῖον οὐκέτι ἐκβαίνειν φησὶ τὰ τῆς ἴριδος χρώματα τῶν τριῶν, ἀλλ' ἐν τοῖς τρίσιν ἵστασθαι, ὥσπερ καὶ ἐπ' ἄλλων ἡ φύσις ποιεῖται τρία. διὰ τοῦτο γὰρ εἶπεν ἐν τοῖς περὶ οὐρανοῦ καὶ τῶν μεγεθῶν, πρόοδος μέχρι τῶν τριῶν διαστάσεων προῆλθεν, ὡς τῶν τριῶν τὴν κατ' ἀριθμὸν ἐχόντων τελειότητα. πάντα γὰρ ἤδη καὶ πολλὰ τὰ τρία *). — Alexander fol. 109, b.

Ὥσπερ φησὶν ἐν τοῖς πᾶσι τὸ τριπλοῦν θεωρεῖται. πάντα γὰρ ἔχουσι καὶ πρῶτα καὶ μέσα καὶ ἔσχατα. πρῶτον μὲν τὸ φοινικοῦν χρῶμα, δεύτερον τὸ πράσινον, τρίτον τὸ ἁλουργόν. καὶ διὰ τοῦτο τρίχρους ἡ ἶρις· οὐδὲν δὲ αὐτῇ ἄλλο αἰσθητὸν φαίνεται ἄρα **), εἰ μήπου ἀναισθητόν ἐστι. βούλεται γὰρ ὁ Πτολεμαῖος ***) ἑπτὰ χώματα εἶναι τῆς ἴριδος. ἀλλ' ὅσον ἐπὶ

---

*) Cfr. omnino Aristotel. *de caelo* I, 1. p. 268, a.

**) Quinque enumeravit Ammianus Marcellinus xx, 11. p. 282 sq.

***) Locus Ptolemaei, ad quem alludit h. l. Olympiodorus, procul dubio ex *Opticis* petitus est. Quod opus Rogeri Baconis temporibus exstitisse, elucet ex eius *Perspectiv.* p. 118 ed. Combach. Duobus post Baconem saeculis Ptolemaei opus vidit adhuc Regiomontanus (cfr. Weidleri *Hist. Astronom.* Viteb. 1741. 4. p. 311); deinde anno 1572 ante oculos habuit Risner, cum Alhazeni Opticam ederet (*Opticae Thesaurus.* Basil. 1572. fol.). Ultimum vestigium reperitur in schedis quibusdam, anno 1608 conscriptis, quae in regia bibliotheca Parisiensi adservantur, et in quibus

τούτῳ, Ἀριστότελες, εἰ πάντα ἔχει πρῶτα, μέσα, ἔσχατα, οὐκ ἔστιν ἄμεσον ἐναντίον, ὡς σὺ φῄς· καλῶς γὰρ ἔφη Πλάτων πάντα ἔμμεσα *) εἶναι. ἐπὶ γὰρ ἀρτίου καὶ περισσοῦ, ὁ μέσος

---

plures ex Ptolemaei opere loci laudantur (vid. Caussin in *Mémoires de l'Institut royal. Academ. des Inscript. et belles lettres.* Tom. VI. 1822). Deinde diu perditus putabatur, neque quidquam innotuit, nisi quod plures, qui suis oculis librum inspexisse faterentur, monuissent, theoriam refractionis astronomicae in eo contineri et bene, quemadmodum tum temporis putabatur, explicari cur sidera in horizonte maiora appareant. Montucla denique (*Histoire des Mathématiques* Vol. I. p. 314) monuit, codicis, quo Ptolemaei Optica contineantur, mentionem fieri in catalogo bibliothecae Bodleianae (p. 300), Oxonii adservatae, inscripti: *Ptolemaei opticorum sermones quinque ex arabico latine versi*, quem nuperrimis demum temporibus inspexit Rigaud, Professor Oxoniensis. Laplace (*Exposition du système du monde* ed. II. p. 308. cfr. v. Zach *Monatl. Correspondenz* II. p. 72) narravit, in bibliotheca regia Parisiensi similem adservari codicem, quem intuitus Alexander ab Humboldt (*Voyage Part.* IV. *Astronomie et Magnétisme* Vol. I. *Introduct.* p. LXIX) perscrutandum celeberrimo astronomo Delambre tradidit, qui brevem illius operis expositionem publici iuris fecit (*Connaissance des temps* 1826. *Histoire de l'Astronomie ancienne.* Tom. II. p. 423—429).

*) Vide Platonis *Phileb.* c. 6. p. 16: θεῶν μὲν εἰς ἀνθρώπους δόσις, ὥς γε καταφαίνεται ἐμοί, ποθὲν ἐκ θεῶν ἐῤῥίφη διά τινος Προμηθέως ἅμα φανοτάτῳ τινὶ πυρί· καὶ οἱ μὲν παλαιοί, κρείττονες ἡμῶν καὶ ἐγγυτέρω θεῶν οἰκοῦντες, ταύτην φήμην παρέδοσαν, ὡς ἐξ ἑνὸς μὲν καὶ πολλῶν ὄντων τῶν ἀεὶ λεγομένων εἶναι, πέρας δὲ καὶ ἀπειρίαν ἐν ἑαυτοῖς ξύμφυτον ἐχόντων· δεῖν οὖν ἡμᾶς τούτων οὕτω διακεκοσμημένων, ἀεὶ μίαν ἰδέαν περὶ παντὸς ἑκάστοτε θεμένους ζητεῖν. εὑρήσειν γὰρ ἐνοῦσαν· ἐὰν οὖν καταλάβωμεν, μετὰ μίαν δύο, εἴ πως εἰσὶ σκοπεῖν, εἰ δὲ μή, τρεῖς ἤ τινα ἄλλον ἀριθμόν, καὶ τῶν ἓν ἐκείνων ἕκαστον πάλιν ὡσαύτως, μέχριπερ ἂν τὸ κατ' ἀρχὰς ἓν μή, ὅτι ἓν καὶ πολλὰ καὶ ἄπειρά ἐστι, μόνον ἴδῃ τις, ἀλλὰ καὶ ὁπόσα· τὴν δὲ τοῦ ἀπείρου ἰδέαν πρὸς τὸ πλῆθος μὴ προσφέρειν, πρὶν ἄν τις τὸν ἀριθμὸν αὐτοῦ πάντα κατίδῃ, τὸν μεταξὺ τοῦ ἀπείρου τε καὶ τοῦ ἑνός· τότε δ' ἤδη τὸ ἓν ἕκαστον τῶν πάντων εἰς τὸ ἄπειρον μεθέντα χαίρειν ἐᾶν. οἱ μὲν οὖν θεοί, ὅπερ εἶπον, οὕτως ἡμῖν παρέδοσαν σκοπεῖν καὶ μανθάνειν καὶ διδάσκειν ἀλλήλους. οἱ δὲ νῦν τῶν ἀνθρώπων σοφοὶ ἓν μέν, ὅπως ἂν τύχωσι, καὶ πολλὰ θᾶττον καὶ βραδύτερον ποιοῦσι τοῦ δέοντος, μετὰ δὲ τὸ ἓν ἄπειρα εὐθύς· τὰ δὲ

περισσάρτιος, καὶ μεταξὺ νόσου καὶ ὑγείας ἡ οὐδετέρα κατάστασις, ἵνα μὴ ἀθρόα μεταβολὴ ὑπάρχῃ ἐν τῷ παντί *). — Olympiodor. fol. 54, b.

IV, 25. Τὸ δὲ ξάνθον φαίνεται διὰ τὸ παρ' ἄλληλα φαίνεσθαι] Ἐπειδὴ τῇ προτεραίᾳ δείξας ἦν ὁ φιλόσοφος τὴν αἰτίαν, δι' ἣν τρίχρους ἡ ἶρις, διὰ τὸ καὶ ἐν τοῖς κατὰ ἔμφασιν γινομένοις εἶναι καὶ πρῶτα καὶ μέσα καὶ ἔσχατα, ὥσπερ ἐν πᾶσι τοῖς καθ' ὑπόστασιν, ὁρῶμεν δὲ καὶ ἕτερον χρῶμα παρὰ τὰ τρία εἰρημένα, λέγω δὴ φοινικοῦν, πράσινον, ἁλουργόν (γίνεται δὲ ἐν αὐτῇ καὶ ξανθὸν χρῶμα), ἄξιόν ἐστιν ἀπορῆσαι, πῶς τρίχρουν λέγει εἶναι τὴν ἶριν καὶ τοῦ ξανθοῦ χρώματος κατ' αὐτὴν ἐμφερομένου. ἢ ῥητέον, ὅτι τρία χρώματα λέγει εἶναι τῆς ἴριδος ὁ φιλόσοφος κατὰ ἀνάκλασιν γινόμενα· τὸ φοινικοῦν λέγω καὶ τὸ πράσινον καὶ τὸ ἁλουργόν· τὸ γὰρ ξανθὸν οὐ γίνεται κατὰ ἀνάκλασιν, ἀλλὰ μᾶλλον κατὰ κρᾶσιν τοῦ φοινικοῦ καὶ τοῦ πρασίνου χρώματος. κιρνωμένου **) γὰρ τοῦ φοινικοῦ καὶ τοῦ πρασίνου γίνεται τὸ ξανθὸν χρῶμα. καὶ ὅτι τοῦτο ἀληθές ἐστι καὶ ὅτι δυνατὸν

μέσα αὐτοὺς ἐκφεύγει, οἷς διακεχώριστα. τό τε διαλεκτικῶς πάλιν καὶ τὸ ἐριστικῶς ἡμᾶς ποιεῖσθαι πρὸς ἀλλήλους τοὺς λόγους. cfr. p. 23 E. sqq. ubi p. 26 Steph. eodem exemplo a valetudine et morbo petito utitur. — *περισσάρτιος*, quod lexicis accedat, in quibus non nisi ἀρτιοπέρισσος commemoratum est, explicuit Astius ad Nicom. Geras. *Arithmet.* I, 10 p. 227 sq.

*) Cfr. *Categor.* c. 10 p. 12, a: ὅτι δὲ οὐδ' ὡς τὰ ἐναντία ἀντίκειται τὰ κατὰ στέρησιν καὶ ἕξιν λεγόμενα, ἐκ τῶνδε δῆλον. τῶν μὲν γὰρ ἐναντίων, ὧν μηδέν ἐστιν ἀνὰ μέσον, ἀναγκαῖον ἐν οἷς πέφυκε γίνεσθαι ἢ ὧν κατηγορεῖται, θάτερον αὐτῶν ὑπάρχειν ἀεί· τούτων γὰρ οὐδὲν ἦν ἀνὰ μέσον, ὧν θάτερον ἀναγκαῖον ἦν τῷ δεκτικῷ ὑπάρχειν. οἷον ἐπὶ νόσου καὶ ὑγιείας καὶ περιττοῦ καὶ ἀρτίου. ὧν δέ ἐστί τι ἀνὰ μέσον, οὐδέποτε ἀνάγκη παντὶ ὑπάρχειν θάτερον (οὔτε γὰρ λευκὸν ἢ μέλαν ἀνάγκη πᾶν εἶναι τὸ δεκτικόν, οὔτε θερμὸν ἢ ψυχρόν. τούτων γὰρ ἀνὰ μέσον τι οὐδὲν κωλύει ὑπάρχειν. ἔτι δὲ καὶ τούτων ἦν τι ἀνὰ μέσον, ὧν ἀναγκαῖον ἦν θάτερον ὑπάρχειν τῷ δεκτικῷ) εἰ μὴ οἷς φύσει τὸ ἓν ὑπάρχει· οἷον τῷ πυρὶ τὸ θερμῷ εἶναι καὶ τῇ χιόνι τὸ λευκῇ.

**) Ald. κρινωμένου, quod nihili est.

ἀπὸ κράσεώς τινων χρωμάτων ἕτερον γίνεσθαι χρῶμα, δείκνυσιν ὁ Ἀριστοτέλης διὰ ἓξ ἐπιχειρημάτων, ὧν τὸ πρῶτον τοῦτον ἔχει τὸν τρόπον. ἐὰν ἧττον μέλαν παρὰ μελάντερον παραβληθῇ, δόξει λευκὸν εἶναι τὸ ἧττον μέλαν, διὰ τὸ τὰ ὅμοια ἐν τοῖς ὁμοίοις λανθάνειν. ἰδοὺ γοῦν ἧττον ῥυπαρὰ ἱμάτια παρὰ τὰ μᾶλλον ῥυπαρὰ παραβαλλόμενα καθαρὰ εἶναι δοκεῖ. τούτων οὕτως ἐχόντων, ἐπὰν μελάντερον ᾖ τὸ νέφος, ἐν ᾧ ἐστιν ἡ ἶρις, συμβαίνει τὸ φοινικοῦν πρὸς τὸ μέλαν παραβαλλόμενον ξανθὸν φαίνεσθαι. ἐπειδὴ ὕφεσιν ἔχει τὸ πράσινον πρὸς τὸ μέλαν. ἧττον γάρ ἐστι μέλαν. οὐκοῦν εἰ πρὸς τὸ πάνυ μέλαν λευκὸν φαίνεται τὸ φοινικοῦν, πρὸς τὸ ἧττον μέλαν, τουτέστι τὸ πράσινον, ξανθὸν φανήσεται τοῦτο πρῶτον· δεύτερον ἐπιχείρημα. ὅτι γὰρ ἀληθές ἐστι καὶ τὸ ξανθὸν κατὰ κρᾶσιν γίνεσθαι τοῦ φοινικοῦ καὶ τοῦ πρασίνου, δῆλον. ἐπειδὴ λεπτυνομένου τοῦ νέφους, ἐν ᾧ ἐστιν ἡ ἶρις καὶ ἀπομαραινομένου, λευκὸν γίνεται φοινικοῦν ἔτι χρῶμα. ἀλλὰ τοῦτο τὸ λευκὸν ὡς πρὸς τὸ πράσινον παραβαλλόμενον ποιεῖ ξανθὸν χρῶμα, ὥστ' ἐκ πρασίνου καὶ φοινικοῦ καὶ ἁλουργοῦ μόνων ἐνίστασθαι χρωμάτων τὴν ἶριν, μὴ ἐμφαίνεσθαι δὲ τὸ ξανθόν. τρίτον ἐπιχείρημα. ὅτι γὰρ τὸ ἧττον μέλαν πρὸς τὸ μελάντατον προσβαλλόμενον λευκὸν φαίνεται, δῆλον ἐκ τῆς γινομένης ἴριδος ἀπὸ τῆς σελήνης. ἐπειδὴ γὰρ αὕτη ἧττόν ἐστι θερμοποιός, ἢ κατὰ τὸν ἥλιον, συμβαίνει μὴ διαλύειν αὐτὴν τὰ νέφη, ἀλλὰ μένειν παχέα. ἔνθεν μελάντατά εἰσι ταῦτα, ἐν οἷς γίνεται ἡ ἐπ' αὐτοῖς ἶρις· ἄλλως τε καὶ διὰ τὸ ἐν νυκτὶ γίνεσθαι, τὴν δὲ νύκτα συμπράττειν πρὸς τὴν πάχυνσιν τοῦ νέφους. ἐπειδὴ οὖν παχύτατόν ἐστι τοῦτο τὸ νέφος καὶ μελάντατον, συμβαίνει τὰ ἰριοειδῆ χρώματα γινόμενα ἀπὸ τῆς πρὸς αὐτὴν ἀνακλάσεως ὡς πρὸς τὸ μέλαν νέφος παραβαλλόμενα λευκὰ φαίνεσθαι. καὶ διὰ τοῦτο λευκή ἐστιν ἀπ' αὐτῆς ἶρις. ὁρᾷς, ὅτι δυνατὸν ἀπὸ τῆς πρὸς ἕτερον χρῶμα παραβολῆς ἐξ ἑτέρου χρώματος ἕτερον γίνεσθαι. τοῦτο τρίτον. τέταρτον ἐπιχείρημα. ὅτι γὰρ ἀπὸ τῆς πρὸς ἕτερον χρῶμα παραβολῆς ἕτερον χρῶμα γίνεται, δῆλον. ἰδοὺ γοῦν τὰ ποικίλματα τὰ ἐν τοῖς ἱματίοις γινόμενα ἄλλα παρ' ἄλλα τιθέμενα ἀλλὰς διαφορὰς ποιοῦσι χρωμάτων διὰ τὴν ἐξ αὐτῶν γινομένην κρᾶσιν. ὅθεν οἱ περὶ τὰς σμαρά-

γδους δεινοὶ ἔν τισιν ὥραις διακειμένας ὡς τοῦ ἀέρος ἀχλυώδους ἐπιδεικνύουσι τὰς σμαράγδους διὰ τὸ τῇ παραθέσει τῇ πρὸς τὸν ἀχλυώδη ἀέρα λαμπρὸν αὐτοῦ φανῆναι τὸ χρῶμα *). τοῦτο πέμπτον ἐπιχείρημα· ἰδοὺ γὰρ καὶ ἁλουργίς, τουτέστιν ἡ πορφύρα, ἐν ἄλλοις καὶ ἄλλοις ἱματίοις ἐπιβαλλομένη, ἀπὸ γὰρ τοῦ λευκοῦ καὶ τοῦ πορφυροῦ, ἕτερον χρῶμα γίνεται, ἄλλη δ' ἐν ξανθοῖς καὶ χρυσοειδέσιν. ἀπὸ γὰρ τῆς αὐτῶν κράσεως ἕτερον γίνεται χρῶμα. ἕκτον **) καὶ τελευταῖον ἐπιχείρημα· ὁρῶμεν γὰρ καὶ τοὺς ποικιλτὰς τῶν ἱματίων μὴ ἐργαζομένους πρὸς τὸν λύχνον, ἐπειδὴ ***) ἀχλυώδους ὄντος τοῦ ἀέρος, διαφορὰ χρωμάτων γίνεται ἀπὸ τῶν χρωμάτων, ἐν οἷς ἐργάζονται. καὶ ἀπάτη αὐτοῖς γίνεται διὰ τὴν ποικιλίαν τῶν γινομένων ἀπὸ τῆς κράσεως τῶν χρωμάτων. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης. ὁ δὲ μέγας φιλόσοφος προσεῦρε καὶ ἕτερον ἐπιχείρημα· ὅτι οὐκ ἔστιν ἀνάκλασις τὸ ξανθὸν χρῶμα. εἰ γὰρ ἦν ἀνάκλασις, ἔδει πρὸ τοῦ φοινικοῦ γίνεσθαι, ἐπειδὴ ἧττον ἔχει τὴν ἀπάτην ἡ ὄψις ἐν τῷ ξανθῷ ἤπερ ἐν τῷ φοινικῷ. τὸ γὰρ ξανθὸν πρὸς τῷ λευκῷ μᾶλλόν ἐστι. ὥσπερ οὖν τὸ φοινικοῦν πρὸ τοῦ πρασίνου γίνεται, διὰ τὸ ἧττον αὐτοῦ ἔχειν ἀπάτην.... .... †). μέχρι τούτων ἀποδείξας ὁ φιλόσοφος, ὅτι τὸ ξανθὸν χρῶμα ἀπὸ τῆς κράσεως γίνεται τοῦ φοινικοῦ καὶ τοῦ πρασινοῦ, ὥσπερ καὶ ἄλλα τινὰ χρώματα, ζητεῖ τὴν αἰτίαν, δι' ἣν ἡ ἐντὸς ἶρις λαμπροτέρα φαίνεται τῆς ἐκτός. καὶ αἰτιᾶται τὴν

---

*) At Plinius *Histor. natur.* XXXVII, 5 ait: *Longinquo amplificantur visu* [smaragdi], *inficientes circa se repercussum aëra, non Soli mutati, non umbra, non lucernis, semperque sensim radiantes et visum admittentes ad crassitudinem sui facilitate translucida: quod etiam in aquis non fit.* Sed ipse Plinius l. l. §. 18. vitia quaedam commemorat, quibus prae reliquis smaragdis Cypriae scateant, eaque contemplantibus minus aperta, caelo nubibus tecto et in crasso aëre.

) Ald. ἕτερον. *) Ald. ἐπεὶ δέ.

†) Lacunae signum in editione Aldina reperitur. Supple: *οὕτω καὶ τὸ ξανθὸν πρὸ τοῦ φοινικοῦ ἔδει γίνεσθαι, εἰ ἦν ἀνάκλασις, διὰ τὸ ἧττον αὐτοῦ ἔχειν ἀπάτην*, aut alia, quae similem fundunt sensum, verba.

θέσιν τῶν νεφῶν. ἐπειδὴ γάρ φησι τὰ τῆς ἐντὸς ἴριδος νέφη πλησιώτερόν ἐστι τῆς ὄψεως, μᾶλλον ἡ ὄψις ἀκριβέστερον αὐτῶν ἀντιλαμβάνεται. μὴ ἀποκάμνουσα οὖν ἡ ὄψις σφοδρότερα οὖν καὶ λαμπρότερα οἴεται χρώματα. ἐπὶ δὲ τῆς ἔξω ἴριδος, ἐπειδὴ πόρρω εἰσὶ τὰ νέφη τῆς ὄψεως, ἀποκάμνουσα ἡ ὄψις ἔλαττον ἀντιλαμβάνεται τῶν ἐκείνης χρωμάτων. καὶ οὕτω μὲν αὐτός· σὺ δ' εἰπὲ αἰτίαν εἶναι τὴν κάθετον καὶ τὰ πρὸς τῇ καθέτου καὶ τὰ *) πόρρω τῆς καθέτου, ὡς πρῴην εἴρηται. οὕτω προπαρασκευάσας ὁ φιλόσοφος, ἃ ἔδει προπαρασκευάσαι περὶ τῆς ἴριδος, δείκνυσι τὴν αἰτίαν, δι' ἣν κυκλοτερὴς γίνεται ἡ ἶρις· καὶ διὰ τί ἡμικύκλιον, ἐν τῇ ἐφεξῆς **) μαθησόμεθα. ἵνα δὲ τοῖς λεγομένοις παρακολουθήσωμεν, δεῖ λαβεῖν πρῶτον λῆμμα τοιοῦτον. ἐὰν ᾖ ἡμικύκλιον καὶ ἀχθῇ αὐτοῦ ἡ διάμετρος, καὶ ἐπὶ τῆς διαμέτρου ληφθῇ τι σημεῖον, ὃ μή ἐστι κέντρον ἡμικυκλίου. ἀπὸ δὲ τοῦ σημείου ἐκείνου ἀχθῇ τις εὐθεῖα ἐπὶ τὴν περιφέρειαν, καὶ ἀπὸ τῆς περιφερείας ἀχθήσεταί τις εὐθεῖα ἐπὶ τὸ πέρας τῆς διαμέτρου, ὡς ἐπιτοξεῦσαι τὴν διάμετρον καὶ τὴν ἀπὸ τοῦ σημείου ἐπὶ τὴν περιφέρειαν ἀχθεῖσαν εὐθεῖαν, ὥστ' εἶναι δύο εὐθείας ἐν αὐτῷ τῷ ἡμικυκλίῳ, ἄλλαι δύο εὐθεῖαι οὐ συσταθήσονται λόγον ἔχουσαι τὸν αὐτὸν ταῖς προτέραις. ἔστω γὰρ ἡμικύκλιον τὸ ημν καὶ



ἤχθω αὐτοῦ διάμετρος ἡ ην, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς διαμέτρου, ὃ μή ἐστι κέντρον τοῦ ἡμικυκλίου, τὸ κ, καὶ ἔστω μείζων ἡ ηκ τῆς κν· καὶ ἀπὸ τοῦ κ σημείου τις εὐθεῖα ἐπὶ τὴν περιφέρειαν ἡ κμ καὶ ἐπεζεύχθω ἡ μη. λέγω, ὅτι ἐν τῇ ***)

*) Ald. τάς, quod fortasse retinendum ita, ut suppleatur ἀκτῖνας. Sed tunc prius τά in τάς mutandum.

**) Sc. θεωρίᾳ.

***) Ita Aldus, quod quamvis in lexicis ἡ ἡμίκυκλος non sit adnotatum, corrigere non ausus sum. Caeterum longum fuisset enumerare vitia, quibus textus Aldinus h. l. tum in ipsa figura, tum in singulis punctis et lineis signandis mirum quantum scatet, quae non admonito lectore correxi.

ημν ἡμικύκλῳ οὐ συσταθήσονται ἄλλαι δύο εὐθεῖαι τὸν αὐτὸν λόγον ταῖς ημ, μκ. καὶ ἐπεί ἐστι ὡς ἡ μη πρὸς μκ, οὕτως ἡ λη πρὸς λκ, καὶ ἐναλλάξ, ὡς ἡ μη πρὸς λη, οὕτως ἡ μκ πρὸς λκ, μείζων δ' ἐστὶν ἡ λη τῆς μη (πρὸς γὰρ τῇ διαμέτρῳ ἐστὶ καὶ μείζονος τῆς περιφερείας τῆς ημλ), μείζων ἄρα ἡ λκ πόρρω τοῦ κέντρου τῆς πρὸς τὸ κέντρον μκ, ὅπερ ἄτοπον. ἐν γὰρ τῇ ηκ ἐστι *). οὐκ ἄρα ἐπὶ τοῦ αὐτοῦ ἡμικυκλίου ἄλλαι δύο εὐθεῖαι συσταθήσονται, ὅπερ ἔδει δεῖξαι. τούτου τοῦ λήμματος προληφθέντος ἀποδείκνυσιν ὁ φιλόσοφος τὴν αἰτίαν, δι' ἣν κυκλοτερὴς φαίνεται ἡ ἶρις, καὶ διὰ τί ἡμικύκλιον, τὸν τρόπον τοῦτον· ἔστω γάρ φησιν ὁ ὁρίζων ὁ θηγν κύκλος, κέντρον δὲ τοῦ ὁρίζοντος ἔστω τὸ κ, διάμετρος δὲ ην, μέλαν δὲ νέφος τὸ μν· καὶ ἔστω τὸ κ, τουτέστι τὸ κέντρον, ἡ ὄψις. ἀπὸ δὲ τοῦ κ, τουτέστιν ἀπὸ τῆς ὄψεως ἐκπεμπέσθω ἀκτὶς πρὸς τὸ μ νέφος, ἡ κμ καὶ ἀνακεκλάσθω ὡς πρὸς τὸ η, ὅπερ ἐστὶν ὁ ἥλιος ἀνατέλλων. τὸ γὰρ πρᾶγμα ἀπὸ τῶν ἀρκτῴων στοιχείων δείκνυσιν **) ὁ φιλόσοφος, ὅπερ ἐποίησεν ἐν τῇ περὶ



γενέσεως καὶ φθορᾶς. καὶ ποιεῖ τὸ τρίγωνον τὸ κμη ἀμβλεῖαν ἔχον τὴν πρὸς κ γωνίαν. ὅτι γὰρ ἀναγκαίως ἀμβλεῖά ἐστιν αὕτη, δῆλον, ἐπειδὴ μεταξύ ἐστιν ἡ ὄψις τοῦ τε ἡλίου καὶ τοῦ νέφους. ὑψηλότερον δὲ φαίνεται τὸ νέφος τοῦ ἡλίου διὰ τὸ τὸν ἥλιον πρὸς τῷ ὁρίζοντι εἶναι τέως· ἄλλως τε καὶ ὑπὸ μεγίστης εὐθείας ὑποτείνεται τῆς μη, ἥτις ἐστὶν ἀνάκλασις. νοείσθω δὴ τοῦτο τὸ τρίγωνον ἀγειρόμενον καὶ περιαγόμενον περὶ τὴν ηπ ἄξονα, ὡς γίνεσθαι κῶνον, οὗ ἡ κορυφὴ τὸ η·

---

*) Haec postrema verba prorsus inepta. Deinde nescio, an post *συσταθήσονται* exciderint verba *τὸν αὐτὸν ἔχουσαι.*

**) Quid haec sibi velint apparet ex iis, quae adscripsimus ex Olympiodoro fol. 57, b. in Excerpt. ad III, 5, 15.

ὅστις κῶνος σύγκειται ἐκ πολλῶν τριγώνων ὁμοίων τῶν κμη, ἅπερ τρίγωνα γίνεται ἀπὸ τῶν ὄψεων τῶν προπιπτουσῶν ἀπὸ τοῦ κ ἐπὶ τὸ μν νέφος καὶ ἀνακλωμένων ἐπὶ τὸ η, τουτέστι τὸν ἥλιον. δηλονότι περιαγωγῇ τοιαύτῃ κυκλοτερὴς γενήσεται ἶρις περὶ τὸ νέφος καὶ τούτου χάριν κυκλικὸν ἔχει σχῆμα ἡ ἶρις. αἱ γὰρ κάθετοι πᾶσαι τῶν τριγώνων ἐφ᾽ ἓν σημεῖον πεσοῦνται τὸ π, ὅπερ ἐστὶ κέντρον τῆς ἴριδος. ἐκτὸς γὰρ τῶν τριγώνων πίπτουσιν αἱ κάθετοι αὐτῶν ἐπὶ τὸ π σημεῖον. οὕτω μὲν οὖν κυκλικὸν σχῆμα λαμβάνει ἡ ἶρις. διὰ τί δὲ ἡμικύκλιον λαμβάνουσιν οὕτως. τὸ γὰρ ἐπίπεδον, ἐν ᾧ ἐστι τὸ κ, ἐν ᾧ ἐνεγράψαμεν τὸ κμη τρίγωνον, ταὐτὸν δ᾽ εἰπεῖν τὸ ἐμβατὸν τοῦ ὁρίζοντος, ἐκβαλλόμενον ὡς ἐπὶ τὸ κέντρον τῆς ἴριδος τὸ π, τέμνει δίχα τὸν κύκλον τὸν ἐκ τῶν τριγώνων γινόμενον καὶ ἐνταῦθα ἡμικύκλιον φαίνεται ἡ ἶρις. συμβαίνει γὰρ τὸ ἡμικύκλιον τῆς ἴριδος ὀρθῶς ἐφεστάναι τῷ ὁρίζοντι. ἔστι δὲ τοῦτο καὶ φυσικῶς νοῆσαι. ἐπειδὴ γὰρ ἀπὸ τοῦ ὄμματος αἱ ὄψεις κωνοειδῶς ἐκπέμπονται, ὡς ποιεῖν κῶνον μέγαν τὴν μὲν κορυφὴν ἔχοντα πρὸς τῷ ὄμματι, τὴν δὲ βάσιν πρὸς τῷ ὁρατῷ, δῆλον ὅτι καὶ ἐπὶ τοῦ νέφους κωνοειδῶς προσπίπτουσι καὶ πρὸς τὸ νέφος· καὶ ἡ μὲν κορυφὴ τοῦ κώνου γίνεται τὸ ὄμμα, βάσις δὲ τὸ νέφος. ἐπειδὴ οὖν κωνοειδῶς καὶ κυκλοτερῶς προσπίπτουσιν αἱ ὄψεις τῷ νέφει, τούτου χάριν κυκλοτερὴς ἡ ἶρις φαίνεται. ἐπειδὴ κωνοειδῶς προσπίπτουσαι, κωνοειδῶς καὶ ἀνακλῶνται πρὸς τὸν ἥλιον, διὰ τοῦτο μὲν κυκλοτερής. ἡμικύκλιον δ᾽, ἐπειδὴ ὁ ὁρίζων κωλύει καὶ τὰς ἀκτῖνας τοῦ ὄμματος χωρεῖν ἐπὶ τὸ κάτω. λοιπὸν εὑρίσκεται ὡς κῶνος δεδιχασμένος ἀπὸ κορυφῆς μέχρι τῆς βάσεως, ὥστε τὸν ἄξονα αὐτοῦ ἐν τῷ ἐπιπέδῳ εἶναι τοῦ ὁρίζοντος. ταῦτα μὲν οὖν ὁ Ἀριστοτέλης. φέρε δ᾽ ἡμεῖς ἀπορήσωμεν πρὸς τὸ ὑπ᾽ αὐτοῦ εἰρημένον θεώρημα. ἐπειδὴ γὰρ κέντρον εἶπε τὸ κ τοῦ ὁρίζοντος, δῆλον ὅτι ἴση ἐστὶν ἡ ἀπὸ τοῦ κ πρὸς τὸ μν νέφος προσπίπτουσα εὐθεῖα τῇ ἀπὸ τοῦ η ἐπὶ τὸ κ. καὶ ἶσον ἔσται τὸ διάστημα τὸ ἀπὸ τοῦ ἡλίου ἐπὶ τὸ ὄμμα τῷ διαστήματι τῷ ἀπὸ τοῦ ὄμματος ἐπὶ τὸ νέφος, ὅπερ ἄτοπον εἴρηται. τούτου ἡ ἐπίλυσις *) ἐν τῷ περὶ τῆς ἅλω λόγῳ, ἔνθα διαφόρους ὁρίζοντας

*) Ald. ἐπίλησις.

ἐλάβομεν. ῥητέον οὖν καὶ νῦν ἑτέραν ἐπίλυσιν, ὅτι τὸ $\overline{κ}$ καὶ κέντρον ἐστὶ καὶ οὐ κέντρον· κέντρον μὲν τοῦ ὁρίζοντος, ἐπειδὴ, ὅπου ἂν ᾖ τὸ ὄμμα, ἐν κέντρῳ ἐστίν· οὐ κέντρον δὲ ὁρίζοντος· οὐ γὰρ ἴση ἐστὶν ἡ $\overline{ηκ}$ τῇ $\overline{κμ}$. μήποτε οὖν ὁ φιλόσοφος πρὸς τὸ πᾶν ἀπιδὼν κέντρον ἐκάλεσε τὸ $\overline{κ}$. ὅτι γὰρ οὔκ ἐστι τὸ $\overline{κ}$ τοῦ ἐκκειμένου ὁρίζοντος κέντρον, δῆλον ἐντεῦθεν. εἰ γὰρ ἦν κέντρον ἐκβαλλομένη ἐπ' εὐθείας ἡ $\overline{κμ}$ καὶ διάμετρος ἂν ἐγίνετο τοῦ ὁρίζοντος. οὐκοῦν ἡμικύκλια ἂν ἦσαν τὰ τμήματα. εἰ δὲ ἡμικύκλια ἦσαν, ἴσαι ἂν ἦσαν αἱ γωνίαι αἱ πρὸς τῇ περιφερείᾳ γινόμεναι ὑπὸ τῆς $\overline{κμ}$. καὶ ἐπειδὴ ἡ ἀνάκλασις πρὸς ἴσας γίνεται γωνίας, ἴσαι δ' εἰσὶν αἱ πρὸς τῇ $\overline{κμ}$ ἀνακλάσεις πρὸς τὸ $\overline{κ}$ γενήσεται καὶ οὐ πρὸς τὸ $\overline{η}$. τουτέστι πρὸς αὐτὸ τὸ ὄμμα ὡς ἑαυτὸν ἐνοπτρίζεσθαι ἐν τῷ νέφει ὥσπερ ἐπὶ τῶν κατόπτρων καὶ οὐ πρὸς τὸν ἥλιον, ὡς γίνεσθαι τὴν ἶριν. ὥστε οὔκ ἐστι κέντρον τὸ $\overline{κ}$, εἴγε μὴ ἐπ' αὐτῷ γενήσεται ἡ ἀνάκλασις. εἰ δὲ μὴ κέντρον τοῦ ὁρίζοντος τὸ $\overline{κ}$, ἐπεζεύχθη δ' ἀπ' αὐτοῦ πρὸς τὴν περιφέρειαν εὐθεῖα ἡ $\overline{κμ}$, ἐκβαλλομένη *) ἡ $\overline{κμ}$ οὐ γενήσεται διάμετρος τοῦ κύκλου· ἐπειδὴ δ' οὔκ ἐστι διάμετρος, οὐ τμηθήσεται ὁ κύκλος εἰς ἡμικύκλια. ἀλλ' εὑρεθήσεται θάτερον ἔλαττον ἡμικυκλίου. ἐπειδὴ οὖν εἰς ἄνισα τέτμηνται πρὸς τῇ περιφερείᾳ γινόμεναι γωνίαι ὑπὸ τῆς $\overline{κμ}$ ἄνισοι εὑρεθήσονται. ἡ μὲν γὰρ ἀμβλεῖα, ἡ δὲ ὀξεῖα. ἐπειδὴ οὖν ἄνισοί εἰσιν, ἡ δὲ ἀνάκλασις πρὸς ἴσας γίνεται, οὐ γενήσεται ἀνάκλασις πρὸς αὐτός. οὐκοῦν οὐ γίνεται ἀνάκλασις πρὸς τὸ $\overline{κ}$, τουτέστι πρὸς τὸ ὄμμα. ἀλλ' ἐκπεμπομένη ἡ $\overline{κμ}$ καὶ ψαύουσα κύκλου, τουτέστι τοῦ ὁρίζοντος ἤτοι τοῦ ἐκεῖσε νέφους καὶ ἀνακλωμένη ποιεῖ ἴσην γωνίαν ἄλλην τῇ ὑπὸ $\overline{κμν}$, τὴν ὑπὸ $\overline{κμη}$. οὐκοῦν ἐπειδὴ αἱ ὑπὸ $\overline{κμν}$, $\overline{κμη}$ ἴσαι εἰσιν, ἄνισοι δὲ αἱ ὑπὸ $\overline{κμν}$, $\overline{κμθ}$, πρὸς μὲν τὸ $\overline{η}$ γενήσεται ἡ ἀνάκλασις, ὑφ' ἧς γίνονται αἱ ἴσαι γωνίαι, πρὸς δὲ τὸ $\overline{κ}$ οὐ γενήσεται, ἐπειδὴ ἀνίσους πεποίηκε γωνίας ἡ $\overline{κμ}$. καὶ ὅτι τοῦτο οὐκ ἠγνόει Ἀριστοτέλης, ὅτι οὔκ ἐστι κέντρον τὸ $\overline{κ}$ τοῦ ὁρίζοντος, δῆλον ἐκ τοῦ ἀνίσους ὑποτίθεσθαι τὰς γωνίας τὰς ὑπὸ τῆς $\overline{κμ}$ πρὸς τῇ περιφερείᾳ γινομένας, τουτέστι τὴν ὑπὸ $\overline{κμθ}$ καὶ τὴν ὑπὸ $\overline{κμν}$. εἰ γὰρ

---

*) Ald. ἐμβαλλομένη.

ῴετο κέντρον εἶναι τὸ κ καὶ ταύτας ἐξ ἀνάγκης ἴσας ἂν ὑπετίθετο. — Olympiodor. fol. 54, b — 55, b.

IV, 28. Ὅτι ἡ τῶν χρωμάτων τῶν διαφερόντων παράθεσις πολλάκις φαντασίαν ἄλλου ποιεῖ χρώματος, δῆλόν φησιν εἶναι ἐπὶ τῶν ἀνθῶν. ἐν γὰρ τοῖς ὑφάσμασιν ἡ τῶν διαφερόντων ἀνθῶν παράθεσις πλείστην ποιεῖ διαφοράν. οὐ γὰρ ταὐτὸν τὸ πορφυροῦν ἐμφαίνεται λευκῷ τε καὶ μέλανι παρατιθέμενον, ἢ ἄλλῳ τινὶ χρώματι. διὸ καὶ αἱ πορφυραῖ οὐχ αἱ αὐταὶ πᾶσιν ἁρμόζουσι τοῖς χρώμασιν, ἀλλὰ καὶ ἐν αὐγῇ τοιᾳδὶ ἢ τοιᾳδὶ τιθέμενα οὐχ ὅμοια φαίνεται. τὰ γοῦν ταωνικὰ *) καλούμενα ἀπὸ τοῦ χρώματος ἱμάτια ἐν ταῖς πρὸς τὴν αὐγὴν περιστροφαῖς παντοδαπῶν χρωμάτων φαντασίας ἀποπέμπει. διὰ γὰρ τὴν αὐγὴν τὴν ποιάν, ἀλλοιοτέρας ποιεῖ τὰς φαντασίας τῶν χρωμάτων. καὶ οἱ ποικιλταί φασι πολλάκις ἐργαζόμενοι πρὸς τὴν λύχνον διαμαρτάνειν καὶ λαμβάνειν ἄλλα ἀντ' ἄλλων. — Alexander fol. 120, a.

IV, 30. Ἐπιζητήσαι τις ἂν **), εἰ ἡ ἐλάττων τῆς πρώτης ἴριδος, ᾗ καὶ αὐτὴ τοιοῦτον ἔχει τὸ χρῶμα, οὖσα πλησίον τῆς μείζονος περιφερείας τῆς πρώτης ἴριδος ἡ καὶ αὐτὴ τοιοῦτον ἔχει τὸ χρῶμα, τῷ πλείους ὄψεις ἀπὸ τούτων ἀνακλᾶσθαι πρὸς τὸν ἥλιον, τί δήποτε οὐχὶ καὶ τὸ μεταξὺ τῶν περιφερειῶν τῶν εἰρημένων πᾶν, φοινικοῦν ἔχει τὸ χρῶμα· ἐγγύτερον γὰρ τὸ μέρος τοῦτο τοῦ νέφους τῇ μείζονι περιφερείᾳ τῆς πρώτης ἴριδος τῇ φοινικῇ τῆς ἐλάττονος περιφερείας τῆς δευτέρας ἴριδος. ἢ οὔτε ἀπὸ παντὸς μορίου ἡ ὄψις ἀνακλᾶται, καθ' οὓς οὕτω τὰ τοιαῦτα ὁρᾶται, οὔτε ἐπὶ τὴν ὄψιν ἀνακλᾶται τὸ φῶς ἀπὸ παντὸς μορίου, καθ' οὓς οὕτω τὸ ὁρᾶν. ἀλλ' ὡρισμένοι

*) Lexicis addatur vocabulum. Huc spectant *pavonacea tegendi genera*, quorum alia in re mentio fit apud Plinium *Hist. natural.* XXXVI, 22. Notum est, nomen inditum esse hisce coloribus a pavonibus rotantibus (vocabulo utor Columellae IX, 11). Quantopere Graeci pavones admirati sint, patet praeprimis ex Aeliano *Hist. animal.* V, 21, nisi, ut post Freinshemium ad Curt. VIII, 9 voluit etiam Beckmannus *Histor. nat. vet.* p. 32, ibi de psittacis, quos cum pavonibus veteres confundebant, sermo est.

**) Ald. ἐπιζητῆσαι.

οἱ τόποι τῶν ἀνακλάσεων, καὶ δεδομένην χρὴ τὴν ἀπόστασιν εἶναι τοῦ τὸ φῶς ποιοῦντος σώματος ἀπὸ τῶν δεχομένων αὐτὸ κατόπτρων. ἀπὸ τούτων οὖν γίνεται, ἃ ταύτην τὴν θέσιν ἔχει. — Alexander fol. 120, b.

IV, 32. Ὅτι τὰ προειρημένα τῆς ἴριδος χρώματα οἱ γραφεῖς μάλιστα μιμεῖσθαί τε καὶ σκευάζειν οὐ δύνανται, καὶ ὅτι τὸ φοινικοῦν χρῶμα ἐγγυτέρω ἐστὶ τῷ λευκῷ τοῦ τε πρασίνου καὶ τοῦ ἁλουργοῦ, καὶ ἐκ τούτων γνώριμον. αὐτοφυὲς μὲν γὰρ φοινικοῦν χρῶμα τό τε κιννάβαρι *) καὶ τὸ δρακόντιον τὸ ἐκ τοῦ αἵματος τοῦ ζῴου. γίνεται δὲ φοινικοῦν χρῶμα ἔκ τε κουφολίθου **) καὶ ἐκ πορφυροῦ μεμιγμένου· ὃ πολὺ ἀπολείπεται τῶν αὐτυφυῶν. πράσινον δὲ καὶ ἁλουργὸν αὐτοφυῆ μέν, ἥ τε χρυσοκόλλα ***) καὶ τὸ ὄστριον †), αἷμα ὂν καὶ αὐτὸ

---

*) *Κινναβάρεως* nomen antiquitus pluribus rebus, rubro colore splendentibus imponebatur. Qua de re adi Dioscorid. V, 109: *κιννάβαρι οἴονταί τινες ταὐτὸν ὑπάρχειν τῷ καλουμένῳ ἀμμίῳ* (minio), *πλανώμενοι· τὸ μὲν γὰρ ἄμμιον σκευάζεται ἐν Ἰσπανίᾳ, ἐκ λίθου τινὸς μεμιγμένου τῇ ἀργυρίτιδι ψάμμῳ· ἄλλως δὲ οὐ γινώσκεται. Ἐν δὲ τῇ χώνῃ μεταβάλλει εἰς εὐανθέστατον καὶ φλογωδέστατον χρῶμα· ἔχει δὲ τὴν ἀποφορὰν ἐν τοῖς μετάλλοις πνιγώδη· περιτίθενται δὲ γοῦν οἱ ἐπιχώριοι τοῖς προσώποις φύσας, πρὸς τὸ βλέπειν μέν, μὴ σπᾶν δὲ τὸν ἀέρα· χρῶνται δὲ αὐτῷ οἱ ζωγράφοι εἰς τὰς πολυτελεῖς τῶν τοίχων ἐκκοσμήσεις. Τὸ δὲ κιννάβαρι τοῦτο κομίζεται μὲν ἀπὸ Λιβύης, πιπράσκεται δὲ πολλοῦ· καὶ τοσοῦτόν ἐστιν, ὡς μόλις ἐξαιρεῖν τοῖς ζωγράφοις εἰς τὴν ἐν ταῖς γραμμαῖς ποικιλίαν· ἔστι δὲ καὶ βαρύχρουν ἢ βαθύχρουν, ὅθεν ἐνόμισάν τινες αὐτὸ εἶναι αἷμα δράκοντος.* Vide etiam Theophrastum *de lapid.* § 58 p. 701 ibique Schneider. p. 583. Saepenumero apud veteres scriptores redit permutatio cinnabaris (minerae hydrargyri) cum succu *Dracaenae dracontis*, uti apud Plinium *Hist. nat.* XXXIII, 38. Idemque vocatur interdum *ἰνδικόν* (quamvis Dioscorides V, 107 p. 774 aperte distinguat), *τιγγαβάρι* (a Damascio Photii *Bibl.* p. 435), *δρακόντιον*. Adde Kaempfer *Amoenitat. Exotic.* III, 6 p. 352. Salmas. *de Homonym.* c. 105. *Exercitat. Plinian.* p. 1157. Sprengel ad Dioscorid. l. l. Vol. II p. 646 sq.

**) Cfr. Salmas. *de Homonym.* p. 219. *Exercitat. Plinian.* p. 773.

***) cfr. Beckmann ad Aristot. *de mirabilib. auscultat.* p. 124.

†) Cfr. Schneider ad Vitruv. VII, 13. *ὄστριον* de colore

πορφύρας τῆς θαλάσσης. σκευαστὰ δὲ πράσινον μὲν ἐκ κυανοῦ τε καὶ ὠχροῦ, ἁλουργὸν δὲ ἔκ τε κυανοῦ καὶ φοινικοῦ. ἀπολάμψαντος γοῦν κυανῷ ὠχροῦ μέν, τὸ πράσινον ἀποτελεῖται, φοινικοῦ δέ, τὸ ἁλουργόν. καὶ ἐν τούτοις δὲ πάμπολυ τὰ σκευαστὰ τῶν αὐτοφυῶν ἀπολείπεται. καὶ ὅτι μὲν οἱ γραφεῖς μάλιστα ταῦτα οὐ δύνανται μιμεῖσθαι τὰ χρώματα, γνώριμον ἐκ τούτων. ὅτι δὲ τὸ φοινικοῦν ἐγγυτέρω τῷ λευκῷ τοῦ πρασίνου τε καὶ ἁλουργοῦ, ἐκ τῆς σκευασίας αὐτῶν δῆλον. τὸ μὲν γὰρ φοινικοῦν ἐκ κουφολίθου κατασκευάζεται, ὅ ἐστι λευκόν. τὸ δὲ πράσινον ἐξ ὠχροῦ, ὅ ἐστιν ἀσθενὲς λευκόν. ἀμαυρούμενον γὰρ τὸ φῶς εἰς τοῦτο πρῶτον μεταβάλλει τὸ χρῶμα. ὥστε μᾶλλον ἐγγὺς τῷ λευκῷ τὸ φοινικοῦν τοῦ πρασίνου. διὸ εἰκότως, ἔνθα πλεῖον ἐμφαίνεται τὸ φῶς τὸ ἀπὸ τοῦ ἡλίου τῷ νέφει μέλανι ὄντι, ἐκεῖνο φοινικοῦν φαίνεται. πράσινον δὲ ἐν τῷ ἧττον. πάλιν δ' αὖ τὸ πράσινον τοῦ ἁλουργοῦ ἐγγυτέρω τοῦ λευκοῦ, εἴγε τῷ μὲν ἐξ ὠχροῦ ἡ γένεσις, τῷ δὲ ἁλουργῷ ἐκ φοινικοῦ. κοινὸν γὰρ τὸ κυανὸν αὐτοῖς. μᾶλλον δὲ λευκὸν τὸ ὠχρόν, ἢ τὸ φοινικοῦν. δηλοῖ δέ, ὡς εἶπον τοῦτο, ἀμβλυνόμενον τὸ φῶς καὶ εἰς οὐδὲν πρὸ τοῦ ὠχροῦ μεταβάλλον, ὥστε εἰκότως πάλιν ἐπὶ τῆς ἴριδος δευτέραν τάξιν ἔχει τὸ πράσινον χρῶμα. τελευταῖον δὲ τὸ ἁλουργόν, ὡς ἤδη γειτνιῶν τῷ μέλανι, ὅ ἐστιν ἀπόφασις τοῦ λευκοῦ καὶ στέρησις. μαρτυρῆσαι *) δ' ἂν τοῖς προειρημένοις καὶ τόδε. ὅταν γὰρ πρὸς τὸν ἥλιον ἢ ἄλλο τι λαμπρὸν βλέψαντες μύσωμεν, παραφυλάσσουσιν ἡμῖν φαίνεται κατ' εὐθυωρίαν, καθ' ἣν συμβαίνει τὴν ὄψιν ὁρᾶν, πρῶτον μὲν λαμπρὸν τὴν χρόαν, εἶτα μεταβάλλον εἰς φοινικοῦν, εἶτα πράσινον, εἶτα πορφυροῦν, μεθ' ἣν εἰς τὴν μέλαιναν χρόαν μεταπεσὸν ἀφανίζεται. τῆς γὰρ κινήσεως τῆς ἀπὸ τοῦ λευκοῦ μεινάσης ἐν τῇ ὄψει, κατ' ὀλίγον ἀφανιζομένης ἀεὶ **) εἰς τὸ ἐγγυτέρω, ἡ ἔκλυσις γίνεται, ὥστε εἰς τὸ

---

purpureo dicebatur apud Graecos (**Plat.** *Cratyl.* 35. **Athen.** p. 197, quos locos laudat **Schneiderus** in lex. s. v.), uti apud Latinos *conchylium.* cfr. **Plin.** *Hist. nat.* IX, 36. De purpurarum tinctione cfr. **Schneider** ad **Ulloam** Tom. II p. 377 sqq.

*) Ald. *μαρτυρῆσαι.* **) Ald. *αἰεί.*

φοινικοῦν πρῶτον ἢ εἰς τὸ πράσινον. ἐγγυτέρω γὰρ τοῦτο τοῦ λευκοῦ. ὁμοίως καὶ ἐπὶ τοῦ πρασίνου καὶ ἁλουργοῦ. — Alexander fol. 121, a.

V, 2. Ἐὰν ἀπὸ τοῦ κ γραμμαί............ ἀπὸ τοῦ κ ἐπὶ τὸ μ] Γραμμὰς λέγει τὰς ἀπὸ τοῦ ὄμματος ἐκπεμπομένας ὄψεις ἐπὶ τὸ νέφος καὶ ἀνακλωμένας ἐπὶ τὸν ἥλιον, αἵτινες ποιοῦσι κώνους δύο, τὸν μὲν μέγαν, τὸν δὲ μικρόν, ἀμφοτέρους ἔχοντας τὴν αὐτὴν βάσιν τὴν κμ, κορυφὰς δὲ διαφόρους, τὸν μὲν μείζονα πρὸς τὸν ἥλιον ἔχοντα τὴν κορυφήν, τὸν δ' ἐλάττονα πρὸς τὸ ὄμμα. ἄξονα δὲ τῶν δύο τὸν αὐτόν, τὴν ηκ, ἥτις ἐν αὐτῷ τῷ ἐπιπέδῳ τοῦ ὁρίζοντός ἐστι. καλῶς δ' εἶπεν οἷον ἄξονα, ἐπειδὴ οὐ κυρίως ἐστὶν οὗτος ἄξων, ἀλλὰ νοεῖται, ἐπειδὴ κατὰ περιαγωγὴν τῶν τριγώνων γίνεται οὗτος ἄξων, ἐπειδὴ κυρίως ἡ καθετός ἐστιν, ἡ ἀπὸ τοῦ ὄμματος ἐπὶ τὸ νέφος πεμπομένη. — Olymp. fol. 56, a.

Καὶ ἀπὸ τοῦ κ ἐπὶ τὸ μ ἐπιζευχθεῖσαι....... μείζω γωνίαν] Οὐκ ἄρα, ὦ Ἀλέξανδρε, κέντρον ἐστὶ τὸ κ τοῦ ὁρίζοντος *). εἰ γὰρ ἂν οὕτως ἀπὸ τοῦ κέντρου ἐπὶ τὴν περιφέρειαν ἐκβληθεῖσα εὐθεῖα ἴσας ἂν ἐποίησε τὰς πρὸς τῇ περιφερείᾳ γωνίας. νῦν δὲ μείζονα λέγει τὴν μίαν. — Olympiodor. fol. 56, a.

V, 5. Ἐπεὶ γὰρ τὰ κη σημεῖα δέδοται....... πρὸς τὴν κμ] Δέδεικται ἐν τοῖς δεδομένοις **), ὅτι ἐὰν δύο σημεῖα δοθῇ τῇ θέσει, τουτέστιν ὁμολογηθῇ, καὶ ἡ ἐπιζευγνύουσα αὐτὰ εὐθεῖα δέδοται, καὶ λέγεται δεδόσθαι θέσει καὶ μήκει. καὶ πάλιν, ἐὰν ἄλλα σημεῖα δοθῇ καὶ ἡ ἐπιζευγνύουσα αὐτὰ εὐθεῖα, καὶ ὁ λόγος τῶν εὐθειῶν δέδοται, ποῖον λόγον ἔχει ἡ δὲ πρὸς τὴν δὲ ***). τρία οὖν εἰσι τὰ ζητούμενα, σημεῖα, εὐθεῖα, λόγος, ἅτινα τοῦ ἑνὸς δοθέντος καὶ τὰ ἄλλα ἕπονται. ἐπειδὴ οὖν φησι δέδοται σημεῖον, τὸ η γὰρ ἥλιος, ἀλλὰ καὶ

---

*) Quod noster exposuit Alexander fol. 121, b.

**) Euclid. *Dat.* 26. Posterior tamen theorematis pars apud Euclidem non deprehenditur.

***) Ita Olympiodorus Aldi. Fortasse scribendum ἥδε (sc. ἡ προτέρα εὐθεῖα) πρὸς τήνδε (sc. τὴν δευτέραν δοθεῖσαν εὐθεῖαν).

τὸ κ̄, ἡ ὄψις γάρ ἐστιν, οὐκοῦν καὶ ἡ κη̄ *) δεδομένη ἂν εἴη. ἐπειδὴ δὲ καὶ τὸ μ̄ δέδοται, ἐπειδὴ μέσον ἐστὶ τοῦ η̄ καὶ τοῦ κ̄, δεδομέναι ἂν εἴησαν ἡ κμ̄ καὶ ἡ μη̄. ἐπειδὴ δὲ αὗται δεδομέναι εἰσί, καὶ ὁ λόγος αὐτῶν ἄρα δεδομένος ἂν εἴη. οὐκοῦν ἐπειδὴ δεδομένος ἐστὶν ὁ λόγος τῶν ημ̄, μκ̄, ἐκκείσθω τις εὐθεῖα ἡ δβ̄ καὶ τετμήσθω κατὰ τὸν λόγον τῆς ημ̄ πρὸς τὴν μκ̄ καὶ τὰ ἑξῆς. — Olympiodor. fol. 56, b.

V, 15. Ἐὰν οὖν περιαγάγῃς τὸ ἡμικύκλιον τὸ ἐφ' ᾧ τὸ ᾱ περὶ τὴν ἐφ' ᾗ ἡ κπ̄] Ἔστι δὲ ἔθος αὐτῷ ἀπὸ τῶν ἀρκτικῶν στοιχείων ὀνομάζειν τὰ πράγματα. τί γὰρ δήποτε τὸ ἡμικύκλιον ἐκάλεσεν ᾱ; ἔδει γὰρ μᾶλλον η̄ εἰπεῖν. ἢ διὰ τοῦτο ἐνδείκνυται, ὅτι τὸ ἡμικύκλιον οὐ τοῦ ὁρίζοντος λαμβάνει, ἀλλὰ τὸ ἡμισφαίριον τοῦ παντός. ὅθεν ἐπειδὴ τοῦτο ἄνω ἐστί, τούτου χάριν ᾱ αὐτὸ ἐκάλεσε. τί οὖν φησιν, ὅτι ἐὰν ἐπινοίᾳ περιαγάγῃς τὸ ἡμισφαίριον περὶ τὸν ἄξονα, ἐν ᾧ ἐστιν ἡ κπ̄, τουτέστι πέριξ συμπεριαγάγῃς ἐν αὐτῷ καὶ τὸ ηκμ̄ τρίγωνον, ὡς πολλὰ γενέσθαι τρίγωνα ὅμοια αὐτῷ καὶ ἰσόπλευρα ἐν διαφόροις ἐπιπέδοις κατὰ τὴν περιαγωγὴν γινόμενα **). — Olympiodor. fol. 57, b.

V, 16. Γίνεσθαι δὲ καὶ νύκτωρ †) ἀπὸ τῆς σελήνης ὀλιγάκις] Τοῦτο ὡς πρὸς ἀπόδειξίν τινα ἐπήγαγε τοῦ τὴν ἶριν γίνεσθαι κρατουμένου τοῦ ἡλίου. ἐπειδὴ γὰρ καὶ ἀπὸ τῆς σελήνης ἶρις γίνεται διὰ τὸ εἶναι αὐτὴν ψυχροτέραν τοῦ ἡλίου καὶ μὴ ἰσχύειν τὰ νέφη διαλύειν. ἄλλως τε νὺξ ἀντιπράττει τῇ διαλύσει τῶν νεφῶν. καὶ λοιπὸν τὰ νέφη ἐπικρατοῦντα τῆς σελήνης ποιοῦσιν ἀνακλᾶσθαι τὰς ὄψεις ἐπ' αὐτῆς καὶ γίνεται ἡ ἶρις, δηλονότι ἐπὶ τοῦ ἡλίου τότε γίνεται ἶρις, ὅταν κατακρατήσαντα τοῦ ἡλίου παχυνθῶσι τὰ νέφη, προσπιπτούσας αὐτοῖς τὰς ὄψεις μὴ διϊέναι, ἀλλ' ἀνακλᾶσθαι ὡς πρὸς τὸν ἥλιον καὶ γίνεσθαι τὴν ἶριν. ἀλλ' εἴποις ἄν, οὐκοῦν

---

*) Ald. ἡ κ̄.

**) In iis, quae sequuntur fol. 58, a, verba notentur, quae in lexicis desiderantur, ἀμβλειογώνειος (si forma vera, quae bis deinceps recurrit) et ἀνισόπλευρος.

†) Apud Aldum exhibetur νέφος νυκτῶν pro νύκτωρ.

ἔδει συνεχῶς τε γίνεσθαι ἐπὶ τῆς σελήνης ἶριν, ἐπειδὴ ὡς ἐπὶ τὸ πλεῖστον κατακρατοῦσι τὰ νέφη τῆς σελήνης, ἅμα τε διὰ τὴν φύσιν αὐτῆς, ἅμα τε ὅτι καὶ νύκτωρ γίνεται; ἢ ῥητέον, ὅτι ὅσον μὲν καὶ τοῦτο ἔδει συχνότερον γίνεσθαι· ἀλλ' ἐστὶν ἄλλο τι τὸ ἐμποδίζον. τὰ γὰρ ἰριοειδῆ *) χρώματα μελάντερα ὄντα ἐν μέλανι τῷ νέφει καὶ ἐν τῷ σκοτεινῷ ἀέρι λανθάνουσι. τὰ γὰρ ὅμοια πέφυκε λανθάνειν ἐν τοῖς ὁμοίοις. Olympiodor. fol. 58, a.

V, 18. Πάλιν ἔστω ὁρίζων........] Διδάξας ἡμᾶς ὁ Ἀριστοτέλης τὴν αἰτίαν τοῦ κυκλικοῦ τῆς ἴριδος σχήματος καὶ ὅτι τοῦ ἡλίου ὄντος ἐπὶ τοῦ ὁρίζοντος ἡμικύκλιον φαίνεται, ἔτι πρὸς τούτοις καὶ τὸν ἕτερον πόλον τῆς ἴριδος ὄντα μεταξὺ τοῦ κέντρου τῆς ἴριδος καὶ τοῦ ἐξ ἐναντίας πέρατος τῆς διαμέτρου, νῦν πάλιν ἀρθέντος ἀπὸ τοῦ ὁρίζοντος τοῦ ἡλίου ζητεῖ τὸ σχῆμα τῆς ἴριδος ὅπερ ἐστὶ **) ἡμικύκλιον. οὐκέτι δὲ ἡμικύκλιον φαίνεται ἡ ἶρις, ἀλλ' ἐλάττων ἡμικυκλίου. ἀρθέντος γὰρ τοῦ ἡλίου ἀπὸ τοῦ ὁρίζοντος φαίνεται ἡ ἶρις ἐλάττων ἡμικυκλίου καὶ γίνεται τὸ κέντρον αὐτῆς ὑπὸ γῆν καὶ ὁ πόλος. καὶ ὅσον ἐξαίρεται ὁ ἥλιος, τοσοῦτον ἐλαχίστη φαίνεται ἡ ἶρις, καὶ ὅταν γένηται πρὸς τῷ μεσημβρινῷ καταπίνεται. πρὸς τούτοις δὲ καὶ ἄλλα δύο σημαίνει μέρη ὁ μέγας φιλόσοφος ***) τὸ κλίνεσθαι τὴν ἶριν ἐπὶ τὰ νέφη, ἐφ' ἃ καὶ ὁ πόλος γέγονεν ὑπὸ γῆν. πρὸς τούτοις δὲ καὶ τὴν αἰτίαν, δι' ἣν ὅτε μέν ἐστιν ἡμικύκλιον ἡ ἶρις ἐλάττονος κύκλου τμῆμα εἶναι δοκεῖ, ὅτε δ' ἐλάττων ἡμικυκλίου, φαίνεται μείζονος κύκλου. ταῦτα δείκνυται οὕτως. καὶ πρῶτον τὰ Ἀριστοτέλους εἴπωμεν †). Ἔστω ὁρίζων κύκλος ἡ $\overline{\alpha\beta\gamma}$ ††) καὶ ἐξηρήσθω ὁ ἥλιος ἀπὸ τοῦ ὁρίζοντος καὶ ἔστω ὡς κατὰ τὸ $\overline{\eta}$· ἡ δὲ τοῦ ὁρίζοντος διάμετρος ἔστω ἡ $\overline{\alpha\gamma}$, τὸ δὲ κέντρον τὸ $\overline{\kappa}$· ἀρθέντος

---

*) Ald. ἰριοδῆ.

**) Ald. ubique scribit ὅ πέρ ἐστι, οἵ τινές εἰσι et similia, quod fortasse non contemnendum.

***) Ammonius, ut saepenumero monuimus.

†) Ald. εἴπομεν.

††) Sc. περιφέρεια, ut stare possit articulus generis feminini.

οὖν τοῦ ἡλίου, τὸ κέντρον τῆς ἴριδος καὶ ὁ πόλος ὑπὸ γῆν γίνεται τοῦ κ ὑπὲρ γῆν ὄντος. καινοῦ *) ὄντος τοῦ ἄξονος τοῦ ηκοπ **), ἐφ' οὗ ἐστι τὸ κέντρον τῆς ἴριδος καὶ ὁ π ***) πόλος, ἐπεί ἐστι τὸ κ κέντρον ἐπάνω, καὶ ἤρθη ὁ ἥλιος, εἴη ἂν τὸ κέντρον τῆς ἴριδος καὶ ὁ π πόλος ὑποκάτω ἐπὶ τῆς ηκοπ, ἐφ' ᾗ ἐστι τὸ κέντρον τῆς ἴριδος τὸ ο καὶ ὁ π πόλος. καὶ ἐπειδὴ κέντρου ὑποκειμένου τοῦ ἡλίου τῆς ἴριδος, ἡμικύκλιόν ἐστι τὸ γυψ †), φανερόν, ὅτι κάτω ὄντος τοῦ ο κέντρου τὸ ὑπὲρ γῆς τμῆμα τῆς ἴριδος ἔλαττόν ἐστι ἡμικυκλίου, καί ἐστιν ὑπὲρ γῆς τὸ ψ τμῆμα τῆς ἴριδος ἔλαττον τυγχάνον ἡμικυκλίου. καὶ φανερόν, ὅτι ὅσῳ μετεωρίζεται ὁ ἥλιος, τοσούτῳ ἐλαχίστη φαίνεται ἡ ἶρις. καὶ ὅταν γένηται ἐπὶ τοῦ μεσημβρινοῦ, καταπίνεται καὶ οὐ φαίνεται κατωτέρου γινομένου τοῦ κέντρου αὐτῆς καὶ πόλου. καὶ ἔχεις ἐνταῦθα, ὅτι καὶ τὸ σχῆμα τῆς ἴριδος ὥρισται. ἢ γὰρ ἡμικύκλιον φαίνεται, ὅταν ἀνατέλλῃ ὁ ἥλιος, ἢ ἔλαττον ἡμικυκλίου, ὅταν ἀρθῇ ἐκ τοῦ ὁρίζοντος, ἢ καταπίνεται, ὅταν ἐν τῷ μεσημβρινῷ γένηται. φανερὸν δ' ὅτι καὶ κέκλιται ἡ ἶρις, ὅταν ἐξαίρηται ††) ὁ ἥλιος διὰ τὸ τὸν πόλον κάτω εἶναι. τούτου δὲ κάνονα ἔχομεν, ὅτι ἐὰν διὰ πολλῶν τέμνηται κύκλος, δίχα τέμνεται καὶ πρὸς ὀρθάς. διὰ τοῦτο οὖν κέκλιται νῦν, ἐπειδὴ ὁ αβγ ὁρίζων οὔκ ἐστι τῆς ἴριδος διὰ τὸν πόλον. κάτω γάρ ἐστιν ὁ πόλος. οὐδὲ γὰρ κατὰ τὸ γ †††). ἡ δὲ κύκλησις γίνεται ἐπὶ τὰ μέρη, ἐφ' ἃ ὁ πόλος ὑπὸ γῆν τυγχάνει, ὥσπερ ἔστιν ἰδεῖν ἐπὶ τῆς κρίκου τῆς σφαίρας. καὶ δῆλον, ὅτι ὡς ἐπὶ τὸν πόλον γίνεται ὀξεῖα γωνία. ὅτι δὲ καὶ μείζονος κύκλου φαίνεται τμῆμα, συλλογιστέον οὕτως. ὅταν ἐστὶ τὸ λαμπρὸν ἐπὶ τοῦ ὁρίζοντος, δέδεικται ὅτι ἡμικύκλιον φαίνεται ἡ ἶρις· καὶ δῆλον, ὅτι ἀπόγειόν ἐστι τότε τὸ ἡμικύκλιον, ὡς πρὸς τὸ ἔλασσον τοῦ ἡμικυκλίου, ὥστε ὅταν φαίνηται ἔλασσον ἡμικυκλίου τὸ φαινόμενον μέρος περιγειότερον τυγχάνει. ἐπεὶ οὖν περιγειότερον τυγχάνει, ἔχομεν τὸ ζητούμε-

*) Nimirum cum antea axis esset ακγ.

**) Ald. ηουπ, hic et deinceps.

***) Ald. hic et deinceps οπ πόλος.

†) Ald. βυψ. ††) Ald. ἐξαιρῆται. †††) Ald. υ.

*νον. ἐπειδὴ γὰρ μᾶλλον πρὸς τοῖς περιγειοτέροις πλεονάζουσιν οἱ ἀτμοί, δοκεῖ ταύτῃ μείζων φαίνεσθαι. τὰ γὰρ ἐν ὕδατι ὁρώμενα μείζονα φαίνεται, ἢ τὸ ἀληθέστερον. περιγειότερον τυγχάνον τὸ τμῆμα μᾶλλον τῇ ὄψει ὑποπίπτει διὰ τὸ δεύτερον λημμάτιον τὸ λέγον, ὅτι τὰ ἐκ πολλοῦ διαστήματος ἡ ὄψις ἐλάσσονα οἴεται, τὰ δ' ἐγγὺς μείζονα. ἀπορῆσαι δ' ἄξιον πρὸς τὸν Ἀριστοτέλην, πῶς ὁρίζοντα εἰπὼν τὸν $\overline{αβγ}$ κύκλον καὶ ἐξῃρημένον τὸν ἥλιον ἐκ τοῦ ὁρίζοντος, ἔλαβε τὸν ἥλιον ἐπὶ τοῦ $\overline{η}$, ὅ ἐστιν ἐπὶ τοῦ $\overline{αβγ}$ ὁρίζοντος. εἰ γὰρ ἐπὶ τοῦ $\overline{αβγ}$ ἐστὶ τὸ $\overline{η}$, οὐκέτι ἐξῄρηται. καὶ εἰ ἐξῄρηται τὸ $\overline{η}$, οὐκέτι ἐστὶν ἐπὶ τοῦ $\overline{αβγ}$ ὁρίζοντος. ἢ ῥητέον, ὅτι οὐκ ἔστιν ὁ $\overline{αβγ}$ ὁρίζων ἀκίνητος, ἀλλὰ συγκινούμενος τῷ παντί. ἔστι γὰρ καὶ ὁρίζων κινούμενος ἐν τῇ σφαίρᾳ. καὶ τοῦτο οἶδεν ὁ Πτολεμαῖος. τὸν γὰρ τοιοῦτον ὁρίζοντα ἑκτημόριον ὀνομάζει διὰ τὸ ἓξ θέσεις λαμβάνειν τῆς ἡμέρας. ἔστι γὰρ ἡ πρώτη $\overline{ιβ}$ ὧραι, καὶ ἡ δευτέρα $\overline{ια}$, καὶ ἑξῆς ἴσαι. καὶ οὗτος ὁ κύκλος κατὰ τὰς ὥρας τὰς αὐτὰς τὴν αὐτὴν ἴσχει θέσιν, ὥστε οὐδὲν ἄτοπον ὑπέθετο ὁ Ἀριστοτέλης. ἀλλ' ἐπειδὴ ἔδειξεν ὡς καί ποτε ἐλάττων ἡμικυκλίου φαίνεται ἡ ἶρις καὶ εἰπών, ὅτι ὅταν γένηται ὁ ἥλιος πρὸς τῷ μεσημβρινῷ, καταπίνεται καὶ οὐ φαίνεται ἶρις, ὥς τινος ἀπορήσαντος, ὅτι οὐδέποτε πρὸς τῷ μεσημβρινῷ ὄντος τοῦ ἡλίου γίνεται ἶρις, εἰ μὴ ὅταν ἐν τῷ ὁρίζοντί ἐστιν ὁ ἥλιος, ἢ μικρὸν ἀρθῇ ἀπὸ τοῦ ὁρίζοντος. εἰ γὰρ εἴη *) ἐπὶ τοῦ μεσημβρινοῦ, γίνεται διὰ τὸ τὰ προσάρκτια μέρη τῶν κύκλων ὡς ἐπὶ τῆς ἐγκλεισμένης σφαίρας μείζονα εἶναι ἡμικύκλων καὶ πολὺ αἴρεσθαι τὸ λαμπρὸν καὶ ταύτῃ ἀφανίζεσθαι τὴν ἶριν. ἐν γὰρ ταῖς μεγίσταις ἡμέραις ὁ ἥλιος τὰ προσάρκτια τμήματα διώκει, ἐν δὲ ταῖς χειμεριναῖς τὰ νότια κλίματα, ἅπερ ἐστὶν ὑπὲρ γῆς μὲν ἐλάχιστα, ὑπὸ γῆν δὲ μέγιστα. ἡ γὰρ ἔγκλισις τοῦ γίνεσθαι παρασκευάζει. ἐλαχίστων οὖν ὄντων πρὸς τῷ χειμερινῷ ὑπὲρ γῆς τμημάτων, φανερόν, ὅτι ὁ ἥλιος, ὅτε γένηται ἐπὶ τοῦ μεσημβρινοῦ, ὀλίγον ἦρται ἀπὸ τοῦ ὁρίζοντος. καὶ ταύτῃ δύναται ἐν πάσῃ ὥρᾳ καὶ ἐπὶ τοῦ μεσημβρινοῦ ὄντος τοῦ ἡλίου γίνεσθαι ἶρις ἐν τῷ νοτίῳ κλίματι.* — Olympiodorus fol. 58, a. b.

*) Ald. *εἴη.*

V, 21. *Ἐν μὲν ταῖς ἐλάττοσιν ἡμέραις.....]* Οὐ τῶν νυκτῶν λέγει, ἀλλὰ τῶν ἡμερῶν *). ἐν γὰρ τῷ ἔτει παντὶ ἐλάττους μέν εἰσιν ἡμέραι αἱ μετὰ ἰσημερίαν μετοπωρινὴν τῷ τὰ νοτιώτερά τε καὶ μεσημβρινώτερα μέρη τότε κινεῖσθαι τὸν ἥλιον, ἃ διὰ τὴν ἔγκλισιν τοῦ νοτίου πόλου ἐλάττω μὲν ἔχει τὰ ὑπὲρ γῆν τμήματα τῶν κύκλων, καθ᾽ ὧν ὁ ἥλιος κινεῖται, μείζω δὲ τὰ ὑπὸ γῆν. μείζους δὲ, πάλιν αἱ μετὰ ἰσημερίαν ἐαρινὴν τῷ κινεῖσθαι μὲν τότε τὸν ἥλιον τὰ βόρεια μέρη τοῦ ἰσημερινοῦ. ἐν δὲ τούτοις διὰ τὸ ἔξαρμα τοῦ βορείου πόλου μείζω μὲν εἶναι τὰ τμήματα τῶν κύκλων, καθ᾽ ὧν ὁ ἥλιος κινεῖται τὰ ὑπὲρ γῆν, ἐλάττω δὲ τὰ ὑπὸ γῆν. ἀποδίδωσι δὲ διὰ τούτων τὴν αἰτίαν τοῦ κατ᾽ ἀρχὰς τοῦ βιβλίου περὶ τῆς ἴριδος εἰρημένου· εἶπε γὰρ λέγων περὶ αὐτῆς καὶ μετὰ τὴν μετοπωρινὴν ἰσημερίαν ἐν ταῖς βραχυτάταις ἡμέραις, πᾶσαν ὥραν γίνεται τῆς ἡμέρας, ἐν δὲ ταῖς θεριναῖς οὐ γίνεται περὶ μεσημβρίαν. λέγει δὴ αἰτίαν τούτου ταύτην. τὸ τὰ μὲν πρὸς ἄρκτον μέρη τοῦ ἰσημερινοῦ τῶν κύκλων, καθ᾽ ὧν ὁ ἥλιος κινεῖται μετὰ τὴν ἐαρινὴν ἰσημερίαν, μείζω τὰ ὑπὲρ γῆς ἔχειν τμήματα. διὰ τοῦτο γὰρ καὶ ἡμέραι μείζους. τὸ δὲ ἐπὶ μείζω, δηλωτικὸν ἂν εἴη, ἤτοι τοῦ καὶ τὸν ἥλιον διὰ τοῦτο τότε ἐπὶ μεῖζόν τε καὶ ὑψηλότερον αἴρεσθαι, ἢ τοῦ ἀεὶ **) κατὰ τὴν ἀπὸ τοῦ ἰσημερινοῦ ἀπόστασιν μεῖζον τῶν κύκλων τὸ ὑπὲρ γῆς τμῆμα γίνεσθαι. τὰ δὲ πρὸς μεσημβρίαν τοῦ ἰσημερινοῦ μέρη τῶν κύκλων, καθ᾽ ὧν πάλιν ὁ ἥλιος μετὰ ἰσημερίαν μετοπωρινὴν κινεῖται, τὸ μὲν ὑπὲρ γῆς τμῆμα ἔλαττον ἔχει, τὸ δ᾽ ὑπὸ γῆν μεῖζον. καὶ ὅσῳ ἂν πορρώτερον ἀφίστηται τοῦ ἰσημερινοῦ, μεῖζον τὸ ὑπὸ γῆν, ἔλαττον δὲ τὸ ὑπὲρ γῆν ἔμπαλιν τῶν ἐν τοῖς βορείοις μέρεσι. τούτων δὲ οὕτως ἐχόντων, ἐν μὲν ταῖς πρὸς θερινὰς τροπὰς ἡμέραις, αἳ γίνονται προσιόντος τε τοῦ ἡλίου τῷ ἀρκτικῷ κύκλῳ ἀπὸ τοῦ ἰσημερινοῦ καὶ πάλιν

---

*) Ἀλλά de meo adieci. Sed ne hac etiam ratione locus sanus est. Camotius vertit: *Noctibus breviores dies intelligit;* ut fortasse scribendum sit: ἰδοὺ (pro οὐ) τῶν νυκτῶν λέγει ἐλάττονας τὰς ἡμέρας. Etiam Piccolomineus vertit: *Minores ipsis noctibus dies intelligit.*

**) Ald. *αἰεί.*

ἀποχωροῦντος αὐτοῦ ἀπὸ τοῦ προειρημένου κύκλου ἐπὶ τὸν ἰσημερινὸν τῷ τότε μεγίστας εἶναι τὰς ἡμέρας, καὶ μέγιστα *) τὰ ὑπὲρ γῆν τμήματα τῶν κύκλων, καθ' ὧν ὁ ἥλιος κινεῖται, πρὶν τὸν ἥλιον ἐπὶ τὸ μέσον ἐλθεῖν τοῦ κύκλου καὶ μεσημβρίαν ποιῆσαι, παντελῶς κάτω γίνεσθαι τὸν πόλον, ὃς ἦν τοῦ κύκλου, καθ' ὃν ἡ ἶρις φαίνεται. τούτου δὲ κάτω γινομένου, γίνεται κάτω καὶ τὸ κέντρον, ὃ εἶπεν εἶναι ο. ἐπεὶ γὰρ ἐπὶ τῆς αὐτῆς εὐθείας ὅ τε πόλος ἐστὶ τοῦ κύκλου, καθ' ὃν ἡ ἶρις γίνεται καὶ τὸ κέντρον αὐτοῦ καὶ ὁ ἥλιος, ὥσπερ καὶ ἡ ὄψις, δῆλον, ὅτι ὅσῳ ἂν ὁ ἥλιος ὑψηλότερος αἴρηται, τοσούτῳ κοιλότερος ὁ πόλος καὶ τὸ κέντρον τοῦ κύκλου γίνεται. γινομένων δὲ ἐκείνων κοιλοτέρων καὶ ὁ κύκλος ὁ περὶ αὐτὰ ἀεὶ ἔλαττον τὸ ὑπὲρ γῆν ἔχων γίνεται τμῆμα, ὥστε περὶ τὰς μεσημβρινὰς μηδὲ ὑπερέχειν τῆς γῆς ἔτι τὸν κύκλον διὰ τὴν τοῦ κέντρου αὐτοῦ εἰς τὸ κάτω πλείω μετάστασιν. διὸ περὶ τὰς ὥρας ταύτας ἐν ἐκείναις ταῖς ἡμέραις οὐχ οἷόν τε ἶριν γίνεσθαι. οὐ γὰρ τοῦτο λέγει, ὅτι μηδ' ὅλως γίνεται ἶρις ἐν ἐκείναις ταῖς ἡμέραις, ἀλλ' ὅτι μὴ περὶ μεσημβρίαν. διὰ μὲν οὖν τοῦτο μετὰ τὴν ἐαρινὴν ἰσημερίαν περὶ τὰς μεσημβρίας ἶρις οὐ γίνεται **), μετὰ μέντοι τὴν μετοπωρινὴν ἰσημερίαν ἀεὶ καὶ πάσης ὥρας οἷόν τε ἶριν γίνεσθαι. ὅτε καὶ τοῦ κύκλου τοῦ περὶ τὸν π γραφομένου πόλον ***), ἐν ᾧ ἡ ἶρις γίνεται, ἀεί ἐστι τμῆμά τι ὑπὲρ γῆς τῷ τὸν ἥλιον μὴ πολὺ εἰς ὕψος αἴρεσθαι, ὀλίγον γὰρ ὑψωθεὶς ἐν ἐκείνῳ τῷ καιρῷ κατὰ τὴν μεσημβρίαν γίνεται. καί ἐστιν ἡ αὐτὴ αἰτία τοῦ τε ἐλάττονα ἡμικυκλίου ἶριν γίνεσθαι ὑπὲρ τὸν ὁρίζοντα τοῦ ἡλίου ὄντος, καὶ τοῦ μηδ' ὅλως γίνεσθαι περὶ τὰς μεσημβρίας ἐν ταῖς μακροτάταις ἡμέραις. ἡ γὰρ εἰς ὕψος πρόοδος τοῦ ἡλίου, ἀμφοτέρων αἰτία. — Alexander fol. 124, a. b.

VI, 1. *Αὐτὰς δὲ τὰς αἰτίας* †) *ὑποληπτέον καὶ περὶ παρηλίων καὶ ῥάβδων*] Συμπληρώσας ὁ Ἀριστοτέλης τὸν περὶ ἅλω καὶ ἴριδος λόγον, τρέπεται καὶ ἐπὶ τὰ συγ-

---

*) Ald. *μέγισται.* **) Negationem de meo adieci.

***) Ald. *πόλου.* †) Ita enim Olympiodorus.

γενῆ αὐτοῖς, παρηλίους*) φημὶ καὶ ῥάβδους, διὰ τὴν ἐν ἀρχῇ περὶ τούτων εἰρημένην ὑφ᾽ ἡμῶν τάξιν. ὀφείλων δ᾽ ἐντεῦθεν προτάξαι τοὺς παρηλίους διὰ τὸ τίμιον τοῦ σχήματος — κύκλος γάρ τις ὅμοιος τῷ ἡλίῳ δοκεῖ φαίνεσθαι· αἱ δὲ ῥάβδοι εὐθεῖαι. ὁ δὲ κύκλος ἀεί ἐστιν ὅμοιος ἑαυτῷ καὶ οὔτε ἀφαίρεσιν οὔτε πρόσθεσιν ἐπιδέχεται, ὡς ἐν τῇ περὶ οὐρανοῦ πραγματείᾳ**) ἀποδείκνυσι. καὶ διὰ τοῦτο τίμιόν ἐστι τὸ κυκλικὸν σχῆμα. καὶ γὰρ εἴτε προσθήκην εἴτε ἀφαίρεσιν θελήσομεν τοῦ κύκλου ποιῆσαι, ὅλον αὐτὸν ἀμείβομεν. ἡ δ᾽ εὐθεῖα καὶ πρόσθεσιν καὶ ἀφαίρεσιν ἐπιδέχεται μὴ ἀμειβομένη καθ᾽ ἑαυτήν. — διὰ οὖν τὸ τοῦ σχήματος τίμιον ἔδει προτετάχθαι τοὺς παρηλίους τῶν ῥάβδων, αὐτὸς δὲ διὰ τὸ ὁμοχρόους εἶναι τὰς ῥάβδους τῇ ἴριδι προτάττει αὐτὰς τῶν παρηλίων. αἱ γὰρ ῥάβδοι ποικίλαι εἰσὶ τοῖς χρώμασιν. ὁ δὲ παρήλιος μονόχρους. λευκὸς γὰρ ὥσπερ ἡ ἅλως. γίνεται δέ, ὡς πολλάκις εἴρηται, καὶ ταῦτα κατὰ ἀνάκλασιν. ἀνακλωμένη γὰρ ἡ ὄψις, τοιούτων σχημάτων καὶ χρωμάτων ἴσχει φαντασίαν· ἀλλ᾽ ὁ μὲν Ἀλέξανδρός φησιν***) ἐπὶ τῶν ῥάβδων, ὅτι προσπίπτει ἡ ὄψις τῷ νέφει, κἀκεῖθεν ἀνακλᾶται πρὸς τὸν ἥλιον. καὶ τοῦ νέφους †) συνεχοῦς γινομένου, φαίνονται πολλαὶ ῥάβδοι, οὕτω γὰρ γίνονται καὶ ἐν ὕδατι καὶ ἀνακλωμένης ὄψεως ἐπὶ τὸ νέφος. ἡ γὰρ ἀπὸ κάτωθεν ἐπὶ τὰ ἄνω γινομένη ἀνάκλασις ῥάβδων ἐν τῷ ὕδατι δόκησιν παρέχει. οὕτω μὲν ὁ Ἀφροδισιεύς. ὁ μέντοι μέγας φιλόσοφος††) ἄριστα καὶ περὶ τούτων φερόμενος οὐκ ἀνέχεται τοῦ ἐξηγητοῦ διὰ τὸ εἰς ἄτοπα περιβάλλεσθαι τὰ Ἀριστοτέλους. ἔδει γὰρ μὴ ῥάβδους φαίνεσθαι, ἀλλὰ κυκλικὸν σχῆμα διὰ τὸ

---

*) Ald. αὖ τοῖς παρηλίοις. οὓς inepte.

**) *De caelo* II, 4.

***) Quod re vera, si non his, similibus tamen verbis praedicat Alexander noster fol. 124, b. Quodsi tamen ipsius, uti videtur Alexandri Aphrodisiensis verba Olympiodorus afferre voluit (haud enim oratione recta usus esset, si sensum eorum voluisset tantum indicare) nostrum Alexandrum ab Aphrodisiensi differre, denuo ex h. l. probatur.

†) νέφους de meo adieci. ††) Ammonius.

κάτοπτρον ἐφ' ὃ ἀνακλᾶται κυκλικὸν εἶναι. τάχα γὰρ οὐ δι' ἄλλο ἡ ἶρις καὶ ἡ ἅλως κυκλικὰ ἐφαίνετο, εἰ μὴ διὰ τοῦτο. καὶ ἔχεις φυσικὴν αἰτίαν τοῦ κυκλικοῦ καὶ τῆς ἅλω καὶ τῆς ἴριδος σχήματος, ὡς μηδὲ τῆς γραμμικῆς ἐκείνης ἀποδείξεως δεῖσθαι τῆς κυκλικὰ ταῦτα δεικνυούσης *) οὕτως ἀπορήσας πρὸς τὴν Ἀλεξάνδρου ἐξήγησιν, ἐπάγει τὴν οἰκείαν περὶ τούτων κρίσιν καί φησιν, ὅτι αἱ ῥάβδοι γίνονται οὐ προσπιπτούσης τῆς ὄψεως πρὸς τὸ νέφος κἀκεῖθεν ἀνακλωμένης πρὸς τὸν ἥλιον, ἀλλ' ἀπὸ νέφους εἰς νέφος προσπιπτούσης τῆς ὄψεως κἀκεῖθεν ἀνακλωμένης πρὸς ἕτερον νέφος λευκόν. τοῦτο δὲ κατασκευάζει ἐκ δύο τρόπων, ἑνὸς μὲν τοῦ ἐκ τῆς ἀναλογίας τῆς λεγούσης, ὅτι ὥσπερ ἐν τῷ ὕδατι προσπιπτούσης τῆς ὄψεως καὶ ἀνακλωμένης πρὸς τὸ νέφος γίνονται ῥάβδοι χωρὶς ἡλίου, οὕτω καὶ ἐνταῦθα χρὴ κατὰ τὴν αὐτὴν τάξιν χωρὶς ἡλίου ῥάβδους γίνεσθαι, ὡς καὶ τὰ φαινόμενα μαρτυρεῖ. καὶ γὰρ χωρὶς ἡλίου ῥάβδοι ὤφθησαν πολλάκις. οὕτω μὲν ἐκ τῆς ἀναλογίας τοῦ Ἀριστοτελικοῦ παραδείγματος, πρὸς ὅ τινες πειρῶνται ἀντιλέγειν, ὅτι Ἀριστοτέλης ἔφη πρὸς τὸν ἥλιον ἀνακλᾶσθαι, ὅμως μέντοι σύμφωνα καὶ τῷ φιλοσόφῳ λέγειν, οὐκ ἠπόρησεν ὁ μέγας οὗτος ἀνήρ· φησὶ γοῦν, ὅτι ἥλιον νῦν ἐκάλεσεν Ἀριστοτέλης τὸ λευκὸν νέφος. καὶ ὅτι τοῦτο οὐκ ἄτοπον, δῆλον ἐκ τῆς ἀναλογίας, ὡς ληφθέντος παραδείγματος τοῦ ἐν τῷ ὕδατι. λοιπὸν δὲ καὶ ἐκ τῆς συνηθείας τὰ καταλαμβανόμενα ὑπὸ τοῦ ἡλίου εἰώθαμεν ἥλιον καλεῖν. οὕτω γὰρ ἐξατμίζεσθαί τι ἢ θερμαίνεσθαι βουλόμενοι ἐπιτρέπομεν ἐν τῷ ἡλίῳ ἀποτίθεσθαι, τὸν ὑπὸ τοῦ ἡλίου καταλαμβανόμενον τόπον ἥλιον καλοῦντες. — Olympiodorus fol. 58, b—59, a.

VI, 7. *Γίνονται δὲ καὶ πρὸς τῷ ἀνατολικῷ ὁρίζοντι καὶ πρὸς τῷ δυτικῷ, οὐκέτι δὲ καὶ ἐν τῷ μεσουρανήματι.* καὶ ἡ αἰτία πρόδηλος. πρὸς γὰρ τῷ ὁρίζοντι ὄντος τοῦ ἡλίου, τουτέστι πρὸς ἀνατολὰς ἢ δυσμάς, ὡς διὰ στενοῦ πρὸς τῇ γῇ φέρεται ἡ ὄψις, καὶ δοκεῖ συγκροτεῖσθαι καὶ μᾶλλον ἀντιλαμ-

---

*) Etiam Seneca, quamvis alia ratione, demonstrationem cur halo atque iris necessario rotundae esse debeant, circumivit. Vide *Quaest. nat.* I, 2, 2 sqq.

βάνεσθαι καὶ διὰ τὴν τοιαύτην αἰτίαν καὶ αἱ διόπτραι ὑπὸ τῶν μηχανικῶν ἐπινενόηνται, ὡς ἂν διὰ στενοῦ φερομένη ἡ ὄψις ἐξιθύνοιτο καὶ μὴ μένοι περιπλανωμένη *). — Olympiodor. fol. 59, b.

VII, 1. Ὅσα φησὶν ἡ ἀναθυμίασις ἡ ἐκ τῆς γῆς γινομένη καὶ ἡ ἔκκρισις ἔργα ποιεῖ ἐν τῷ ὑπὲρ γῆν τόπῳ, τοσαῦτα σχεδόν ἐστι καὶ τοιαῦτα. καὶ γὰρ εἴ τι παραλέλειπται ἐκ τῶν εἰρημένων γνώριμος ἂν εἴη καὶ ὁ περὶ ἐκείνου λόγος. ὅσα δὲ ἡ ἔκκρισις αὐτὴ καὶ ἀναθυμίασις ἐγκατακλειομένη ἐν τῇ γῇ καὶ τοῖς μέρεσιν αὐτῆς ἀπεργάζεται, ἑξῆς φησι λεκτέον εἶναι. διὰ γὰρ τὸ διπλῆ εἶναι, ὡς προείρηται, ἡ μὲν ξηρά τε καὶ

---

*) Ald. περιπλανομένη. Heliodor. *Optic.* c. 4. p. 5. ed. Matani: ὅτι δὲ τὸ προβαλλόμενον τοῦτο ἀφ᾽ ἡμῶν (ὃ δὴ καὶ ἔθος ὄψιν καλεῖν) ἐπ᾽ εὐθείας φέρεται, καὶ ἐν σχήματι κώνου ὀρθογωνίου, καὶ ὅ τε Πτολεμαῖος δι᾽ ὀργάνων ἀπέδειξεν ἐν τῇ αὐτοῦ ὀπτικῇ πραγματείᾳ, ἔνεστι δὲ καὶ λόγῳ θεωρῆσαι· εἰ γὰρ μέλλει τάχιστα ἡ ὄψις πρὸς τὸ ὁρατὸν ἀφικνεῖσθαι, ἐπ᾽ εὐθείας ἐνεχθήσεται· αὕτη γὰρ πασῶν ἐλαχίστη γραμμῶν τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν. Aristoteles *de generat. animal.* V, 1. dioptram novit, sed αὐλόν vocavit: ὁ γὰρ αὐτὸς ἐπηλυγισάμενος τὴν χεῖρα ἢ δι᾽ αὐλοῦ βλέπων τὰς μὲν διαφορὰς οὐδὲν ἧττον οὐδὲ μᾶλλον κρίνει τῶν χρωμάτων, ὄψεται δὲ πόρρωθεν. οἱ γοῦν ἐκ τῶν ὀρυγμάτων καὶ φρεάτων ἐνίοτε ἀστέρας ἐν τῇ ἡμέρᾳ δηλονότι ὁρῶσιν. Plin. *Histor. nat.* II, 69: *mediam esse mundi totius terram haud dubiis constat argumentis, sed clarissime aequinoctii paribus horis. Nam nisi in medio esset, aequales dies noctesque non posse deprehenderent, et dioptrae, quae vel maxime id confirmant, cum aequinoctiali tempore ex eadem linea ortus occasusque cernatur, solstitialis exortus per suam lineam brumalisque occasus. Quae accidere nullo modo possent, nisi in centro fixa esset.* In astronomicis observationibus Hipparchus dioptra usus est, teste Ptolemaeo *Almag.* p. 125. (cfr. Polyb. X, 46. Procl. ad Euclid. p. 12), Eratosthenes in montium altitudine emetienda cfr. Simplic. in Aristotel. *de coel.* fol. 134, b. Theon in Ptolem. *Almag.* p. 23. Philopon. in Aristot. *Meteorol.* fol. 79, a (vide ad Excerpt. I, 3, 10. Vol. I. p. 154). Adi etiam Theon. ad Ptolem. p. 262 et Vitruv. VIII, 6. Haec fere omnia cum aliis quibusdam composuit Schneiderus *Eclog. phys.* Tom. II p. 267—271, quibuscum collige quae monuerunt Fabricius *Bibl. graec.* Vol. IV p. 466 et Wesseling *Probabil.* c. 11.

καπνώδης, ἡ δὲ ὑγρά, ἣν ἀτμίδα ὀνομάζει, δύο διαφορὰς σωμάτων ποιεῖ ἐν τῇ γῇ, ὥσπερ ἐδείχθη καὶ ὑπὲρ γῆν ποιοῦσα. λέγει δὲ τῶν ὑπὸ γῆς γινομένων ἐκ τῆς ἐναπολαμβανομένης ἀναθυμιάσεως σωμάτων δύο εἴδη εἶναι. τὰ μὲν γὰρ αὐτῶν ὀρυκτὰ εἶναι, ἃ ποιεῖν τὴν ξηράν τε καὶ καπνώδη ἀναθυμίασιν συνισταμένην, ὅταν πλεονάσῃ. εἶναι δὲ ταῦτα λίθων τε γένη τὰ ἄτηκτα καὶ σανδαράκην καὶ θεῖον καὶ μίλτον καὶ ὤχραν καὶ ἀρρενικὸν καὶ χρυσόκολλαν καὶ τἆλλα τὰ τοιαῦτα *). εἶναι δὲ τὰ πλεῖστά φησι τῶν ὀρυκτῶν τὰ μὲν κονία κεχρωματισμένη, τὰ δὲ λίθος ἐκ ξηρᾶς καὶ θερμῆς συστάσεως πεπηγώς τε καὶ γεγονώς. τὰ δὲ μεταλλευτὰ **) γίνεσθαι πάλιν ἐκ τῆς ἀτμιδώδους ἀναθυμιάσεως. ταῦτα δ᾽ ἐστίν, ὅσα ἐστὶν ἢ χυτὰ ἢ ἐλατά, ὡς σίδηρος, χρυσός, χαλκός, καὶ ὅσα τούτοις ὅμοια· ποιεῖν δέ φησι πάντα τὰ προειρημένα τὴν ἀτμιδώδη ἀναθυμίασιν ἐγκατακλειομένην ἐν τῇ γῇ καὶ μάλιστα μὲν ἐν τοῖς λίθοις. διὰ γὰρ τὴν ἐκείνων ξηρότητα εἰς ἓν συνθλίβεται καὶ πήγνυται. ὡς γὰρ ἡ δρόσος καὶ ἡ πάχνη εἰς ἓν συνίστανται, ἀποκριθεῖσαι ἀπὸ τῆς ἀναγούσης ξηρᾶς τε καὶ θερμῆς ἀναθυμιάσεως, οὕτω γίνεται καὶ ἐπὶ τῆς ὑπὸ γῆν ἐγκατακλειομένης ἀτμίδος. διαφέρει δὲ τῶν ὑπὲρ γῆν συνισταμένων, ὅτι ἐπὶ μὲν τῶν ὑπὲρ γῆς μετὰ τὸ ἐκκριθῆναι τὴν ὑγρὰν ἀναθυμίασιν καὶ ὕδωρ γενέσθαι, τότε γίνεται ἐξ αὐτοῦ ἣ δρόσος ἢ πάχνη. ἐπὶ δὲ τῶν ὑπὸ γῆν τῶν μεταλλευομένων ἡ γένεσις, ἐκ τῆς ἀτμίδος οὐκ ἀποκριθείσης πρῶτον καὶ ὕδατος γενομένης, ἔπειτα παγείσης, ἀλλὰ πρὸ τοῦ διακριθῆναι καὶ ἐνεργείᾳ ὕδωρ γενέσθαι πηγνυμένης. διὸ καὶ ἐξ αὐτῆς οὕτω πηγνύμενά τε καὶ γινόμενα, ἅπερ ἐστὶ τὰ μεταλλεύοντα ***), ἔστι μὲν ὡς ὕδατος

---

*) Alexander noster videtur verba *καὶ ἀρρενικὸν καὶ χρυσόκολλαν* in textu suo reperisse. Quod si enim explicandi gratia, haec quoque fossilium genera de suo addere voluisset, idem fecisset in sequentibus, ubi tamen metallorum genera nulla alia, quam quae ipse Aristoteles attulerat, profert. Deinde non dubitasset *σανδαράκην* et *ἀρρενικόν*, quippe quae verba idem significent fossile, arcte coniungere, non aliis interpositis separare. Rem tamen aliis diiudicandam relinquo.

) Ald. *μεταλλατά*. *) Fort. *μεταλλευτά*.

εἶναι, ἔστι δὲ ὥς οὔ. τῷ μὲν γὰρ ἐκ τῆς ἀτμίδος γεγονέναι, δυνάμει ὕδατος οὔσης καὶ ὕλης ὕδατος, κατὰ μὲν τοῦτο ὕδατος ἂν εἴη· τῷ δὲ μὴ ἐξ ἐνεργείᾳ ὕδατος γενομένης αὐτῆς καὶ διακριθείσης πρῶτον γεγονέναι, ὥς οἱ χυμοὶ γίνονται. ἐκ γὰρ ὕδατος οὗτοι διά τι πάθος μεταβάλλοντος, ταύτῃ δὲ πάλιν οὐχ ὕδατος. τῷ γὰρ πρὸ τῆς εἰς ὕδωρ διακρίσεως τὴν πῆξιν αὐτῶν γενέσθαι, ἔχει τι καὶ γῆς ἐν αὐτοῖς· οὐ γὰρ τέλεον ἀπελύθη τῆς ξηρᾶς ἀναθυμιάσεως. διὰ τοῦτο δέ φησιν αὐτὰ καὶ πυροῦσθαι, τουτέστιν ἐξάπτεσθαι καιόμενα καὶ χωνευόμενα καὶ ἀπουσίαν τινὰ ποιεῖν. μόνον γὰρ τὸν χρυσὸν τῶν μεταλλευτῶν μὴ πυροῦσθαι. ὅταν γὰρ ᾖ κεκαθαρμένος *) οὐδὲ ἀπουσία τις ἔτι ἐν τῇ χωνεύσει αὐτοῦ γίνεται. εἰπὼν δὲ ταῦτα, καθόλου μέν φησι καὶ κοινῶς εἰρῆσθαι περὶ αὐτῶν τῶν τε ὀρυκτῶν καὶ τῶν μεταλλευτῶν, τίς τε αὐτῶν ἡ διαφορά, καὶ πόθεν ἡ γένεσις καὶ ποῦ **). ἰδίᾳ δὲ δεῖν φησιν ἕκαστον τῶν εἰρημένων γενῶν προχειριζομένους τὰ οἰκεῖα αὐτοῖς ἐπισκοπεῖν. περὶ ὧν Θεόφραστος πεπραγμάτευται ἔν τε τῷ περὶ τῶν μεταλλευομένων καὶ ἐν ἄλλοις τισίν. — Alexander fol. 125, b — 126, a.

Ὁ φιλόσοφος μετὰ τὸ πληρῶσαι τὰ ἐν τῷ μετεώρῳ γινόμενα πάθη ὑπὸ τῆς διττῆς ἀναθυμιάσεως μέτεισι καὶ ἐπὶ τὰ γινόμενα πάθη ὑπὸ κατεχομένων ἐν τῇ γῇ δύο ἀναθυμιάσεων. καὶ μὴ ἀπορήσῃς, πῶς μετέωρα τὸ βιβλίον ἐπιγέγραπται, εἴγε τῶν ὑπὸ γῆν νῦν ποιεῖται λόγον. εἴρηται γὰρ ὁ σκοπὸς τῆς πραγματείας, ὅτι βούλεται ἐκ τῶν δύο ἀναθυμιάσεων γινόμενα παραδοῦναι, εἴτε ὑπὸ γῆν τυγχάνοιεν, εἴτε ἐν τῷ μετεώρῳ. καὶ διὰ τοῦτο μετέωρα ἐπιγέγραπται, ὡς ἂν τῆς διττῆς ἀναθυμιάσεως ἐν τῷ μετεώρῳ τόπῳ θεούσης. αὗται τοίνυν αἱ ἀναθυμιάσεις κατεχόμεναι δύο τινὰς ποιοῦσι διαφοράς. ὑπὸ μὲν γὰρ τῆς καπνώδους ἀναθυμιάσεως γίνεται τὰ καλούμενα ὑπὸ Ἀριστοτέλους ὀρυκτά, ἅπερ εἰσὶ καὶ λιθώδη, καθάπερ ὦχρα καὶ θεῖον καὶ μίλτος καὶ τὰ τοιαῦτα ***). τὰ δ' ἐκ τῆς

---

*) Ald. κεκαθαρμένοις. **) Mallem πῶς.

***) Ut Alexander addidit nonnulla, ita Olympiodorus σανδαράκην omisit.

ἀτμιδώδους γίνεται μεταλλευτά, ἅπερ καὶ χεῖται καὶ ἐλαύνεται. ἐστὶ δ' ἐν ἑκατέρᾳ καὶ ποιητικὸν αἴτιον καὶ ὑλικόν. ἀλλ' ἐν μὲν τοῖς ὀρυκτοῖς ποιητικὸν μὲν αἴτιόν ἐστιν ἡ καπνώδης ἀναθυμίασις. οὐθὲν οὖν ἐλαύνεται. τὰ γὰρ θερμῷ πηγνύμενα ἐκεῖνα οὔτε χεῖται οὔτε ἐλαύνεται, ὥσπερ πάλιν τὰ ψυχρῷ πηγνύμενα θερμῷ λύεται, οἷάπερ ἐστὶ τὰ μεταλλευτά *), ἅπερ ἐκ τῆς ἀτμιδώδους ἀναθυμιάσεως γίνεται. διὸ καὶ ἐπὶ τούτων πάλιν ποιητικὸν μὲν αἴτιόν ἐστιν ἡ ψῦξις, ὑλικὸν δὲ ὁ ἀτμός. οὐκ ἀναλύεται γάρ, εἰ μὴ ἦν ὑγρότης τις ἡ τὴν πῆξιν ἀναδεξαμένη. τὸ γὰρ ἔλαιον οὐ πήγνυται ὑπὸ ψύξεως, ἀλλὰ παχύνεται διὰ τὸ ἔχειν ἐν ἑαυτῷ ἀερώδη οὐσίαν. ὁ μὲν οὖν Ἀριστοτέλης πήξει ἀτμοῦ δοξάζει γίνεσθαι τὰ μέταλλα. ὁ μέντοι Πλάτων ἐν Τιμαίῳ πῆξιν ὕδατος ὑπὸ ψύξεως **). καὶ δοκοῦσι διαφωνεῖν πρὸς ἀλλήλους οἱ φιλόσοφοι, οὐ διαφωνοῦσι δέ· καὶ γὰρ ὁ ἀτμὸς ὕδωρ ἐστὶν τρόπον τινά. ἔστι γὰρ ὁ ἀτμὸς μεταξὺ ἀέρος τε καὶ ὕδατος. κατὰ οὖν τὸ ὑδατῶδες γίνεται ἡ πῆξις καὶ οὕτως τὰ μέταλλα. καὶ πάλιν ὕδωρ ἐστὶ κατὰ Ἀριστοτέλην τὸ πηγνύμενον. τοῦτο οὖν καὶ ὁ Πλάτων ἀφορῶν πῆξιν ὕδατος ἔφη τὰ μέταλλα. οὕτω μὲν οὖν δείκνυνται συμφωνοῦντες οἱ φιλόσοφοι. περὶ δὲ τῶν μετάλλων οἷον χαλκοῦ, σιδήρου, μολίβδου, χρυσοῦ, ταῦτα λέγομεν, ὅτι ἐφ' ὧν ἐστι μέρος τι γεῶδες μεμιγμένον, ἀτμιδώδη ἐκεῖνα ἰοῖ καὶ κάεται. ὁ γοῦν σίδηρος μᾶλλον ἰοῖ καὶ κάεται, ὡς ἂν ἐκ τῆς ἀτμίδος παχυτάτης οὔσης παγείς. ἔτι δὲ ἔλαττον ὁ χαλκὸς διὰ τὸ μᾶλλον τοῦ σιδήρου ἔχειν τὸ ὑγρόν. καὶ ὁ κασσίτερος δὲ πάλιν ἔλαττον ἰοῖ καὶ κάεται. ὁ μέντοι χρυσὸς ὡς ἂν ἀπὸ ὕδατος καθαροῦ ἀτμιδώδους τὴν πῆξιν κτησάμενος, οὔτε ἰοῦται, οὔτε φθείρεται, οὔτε κάεται. διὰ γὰρ ταύτην τὴν αἰτίαν καὶ βαρύτατός ἐστι τῶν ἄλλων, ὡς ἂν ἀπὸ καθαρᾶς ἀτμίδος τὴν πῆξιν ἀναδεξάμενος. ἐκ πολλῆς γὰρ ἀτμίδος εἰς ἓν συναχθείσης καὶ πιληθείσης γέγονεν ὁ χρυσός. καὶ διὰ τοῦτο βαρύς ἐστιν. καὶ ταῦτα μὲν καθολικῶς περὶ μετάλλων παραδίδωσιν Ἀριστοτέλης ὑπισχνούμενος καὶ ἴδια γράφειν. οὐκ ἔγραψε δέ, ὅσον ἡμᾶς καὶ τοὺς

---

*) Ald. hic et in antegressis *μεταλευτά* uno λ exhibet.

**) Vide totum locum apud Platonem *Tim.* p. 59 Steph. p. 96 sq. Lindau.

πρὸ ἡμῶν εἰδέναι. ὁ μέντοι τούτου μαθητὴς Θεόφραστος ἔγραψεν ἴδια περὶ ἑκάστου μετάλλου. ἰστέον δὲ καὶ τοῦτο, ὅτι ὁ θεῖος Πρόκλος ἐν τοῖς εἰς Τίμαιον ὑπομνήμασιν *) ἀνάγει τὰ μέταλλα εἰς τοὺς ἑπτὰ πλανωμένους, λέγων ἀνακεῖσθαι τὸν μὲν μόλιβδον τῷ Κρόνῳ διὰ τὸ βαρὺ καὶ στυγνὸν καὶ ψυχρό,ν τὸ δὲ ἤλεκτρον **) τῷ Διΐ διὰ τὸ εὔκρατον καὶ ζωογόνον τοῦ ἀστέρος. ὁμοίως δὲ καὶ τὸ μίγμα. τὸ δὲ μίγμα τιμιώτερόν ἐστι χρυσοῦ καὶ εὐκρατέστερον ***). τῷ δὲ Ἄρεϊ τὸν σίδηρον διὰ τὸ τμητικὸν καὶ ὀξύ. ἡλίῳ δὲ τὸν χρυσὸν ὡσανεὶ πηγῇ φωτὸς ὄντι. Ἀφροδίτῃ δὲ τὸν χαλκὸν διὰ τὸ ἀνθηρόν. καὶ ὅτι πλησίον ἐστὶ τοῦ ἡλίου, ὥσπερ καὶ ὁ χαλκὸς τοῦ χρυσοῦ. Ἑρμῇ δὲ τὸν κασσίτερον διὰ τὸ διαφανὲς καὶ στιλπνόν, ἅμα δὲ καὶ διὰ τὸ πλησίον εἶναι τῆς σελήνης, ὥσπερ ὁ κασσίτερος τοῦ ἀργύρου. τῇ δὲ σελήνῃ τὸν ἄργυρον, ἐπειδὴ καὶ ὁ ἄργυρος παρὰ χρυσῷ τιθέμενος δοκεῖ καταλάμπεσθαι ὑπὸ τοῦ χρυσοῦ καὶ φωτεινότερος γίνεσθαι, ὥσπερ ἡ σελήνη ὑπὸ τοῦ ἡλίου καταλάμπεται †). ταῦτα καὶ περὶ μετάλλων, ἐν οἷς συμπληροῦται ἡ παροῦσα θεωρία ἅμα τῷ παρόντι λόγῳ. — Olympiodor. fol. 59, b — 60, a.

VII, 4. *Οἷον δρόσος ἢ πάχνη, ὅταν ἀποκριθῇ*] Ταύτην τὴν λέξιν ἐξηγεῖται ὁ Ἀφροδισιεὺς οὕτως ††). πήγνυ-

---

*) Cfr. Procl. ad Hesiod. *Op. et dies* v. 126.

**) *ἤλεκτρον* metallum quoddam, iam apud Homerum *Odyss.* δ', 73. ο', 460. σ', 296 (*Epigr. Hom.* 15, 11), Hesiodum *Scut.* 142 ac deinde apud poëtas non solum (Sophocl. *Antigon.* 1038. Virg. *Aen.* VIII, 402. 624) sed etiam alios scriptores, uti apud Herodotum III, 115, qui *χρυσὸν λευκόν* vocavit, saepenumero commemoratum, mixtio quaedam erat ex auro argentoque, quae arte etiam parabatur. Cfr. Pausan. V, 12, 6. Plin. *Histor. nat.* XXXIII, 23. Serv. ad Virg. *Georg.* III, 522. Spanh. ad Call. *in Del.* et Buttmann. in commentationibus in Commentar. ad IV, 10, 10 commemoratis. Brisson. *de V. S.* p. 383. Bochart. *Hieroz.* II, p. 871 ed. Leusd.

***) Ald. *εὔκρατον.*

†) Cfr. ad Excerpt. I, 8, 1. Vol. I p. 199. Exc. I, 13, 11 p. 251. Adde Kircher. *Oed. Aeg.* II, p. 2. 36. 179. Fabric. *Bibl. Gr.* Tom. VI, p. 793. Kopp. *de diffic. interpret. vitiose script.* Vol. I, p. 345 sq.

††) Ita etiam explicuit Alexander noster fol. 125, b. Vide verba, quae adscripsimus ad III, 7, 1.

*ται ὑπὸ γῆν ταῦτα, ὥσπερ ἐν τοῖς ὑπὲρ γῆν χωρίοις πάχνη καὶ κρύσταλλος, ὅταν ἀποκριθῇ ἀτμιδώδης ἀναθυμίασις ἀπὸ τοῦ πρὸς γῆν εἰς τὸν ὑπὲρ γῆν τόπον. καὶ πῆξιν εὐθὺς δεξαμένη ποιεῖ πάχνην, μεταβληθεῖσα δὲ ποιεῖ δρόσον, μεταβληθεῖσα δὲ καὶ παγεῖσα ποιεῖ κρύσταλλον, μήπω δὲ ἀποκριθεῖσα, ἀλλ᾽ ἔτι ὑπὸ γῆν οὖσα καὶ παγεῖσα ὑπὸ ψύξεως ποιεῖ τὰ μέταλλα. ἀποροῦσι δὲ αὐτῶν τινες ὡς μὴ δεόντως *) ἐξηγησάμενοι. οὔτε γὰρ ὥσπερ ὁ κρύσταλλος πήγνυται, οὕτω καὶ τὰ μέταλλα λέγει. ὁ γὰρ Ἀριστοτέλης κατιὼν λέγει, ὅτι μήπω τῆς ἀτμιδώδους ἀναθυμιάσεως μεταβληθείσης πήγνυται καὶ ποιεῖ τὰ μέταλλα. ὁ δὲ κρύσταλλος μετὰ τὸ μεταβληθῆναι αὐτὸν γίνεται. καλῶς δ᾽ ἄτοπον ἀπὸ τοῦ τῶν μετάλλων τὰ πλεῖστα καίεσθαι καὶ ἰοῦν διὰ τὸ μετέχειν γεώδους οὐσίας, ἥτις ἐστὶν αὐτοῖς ἀπὸ τῆς καπνώδους ἀναθυμιάσεως. αὕτη δ᾽ ἡ γεώδης οὐσία χωρίζεται τῆς ἀτμιδώδους ἐπὶ κρυστάλλου καὶ πάχνης. κάλλιον οὖν ἐξηγήσατο ὁ μέγας φιλόσοφος εἰρηκώς, ὅτι ἐξέρχονται πρὸς ἀλλήλας αἱ ἀναθυμιάσεις ἀπὸ τοῦ ὑπὸ γῆν εἰς τὸ ὑπὲρ γῆν. καὶ εἰ κατακρατήσει ἡ ψῦξις, τηνικαῦτα ἀποκρίνεται ἡ καπνώδης ἐκ τῆς ἀτμιδώδους καὶ ἐᾷ αὐτὴν ὥσπερ τι ἄχθος. καὶ αὕτη μὲν ἀναχωρεῖ, ἡ δὲ ἀτμίς, εἰ μὲν παγῇ πρὸ τοῦ μεταβληθῆναι εἰς ὕδωρ, ποιεῖ πάχνην, εἰ δὲ μεταβληθῇ καὶ παγῇ ποιεῖ κρύσταλλον. ἐπὶ δὲ τῶν μετάλλων, ὑπὸ γῆν οὐσῶν τῶν δύο ἀναθυμιάσεων γίνεται τὰ μέταλλα, ἐπιπηγνυμένης τῆς ἀτμιδώδους ἀναθυμιάσεως πρὶν ἢ **) ἀποκριθῆναι ἀπ᾽ αὐτῆς τὴν καπνώδη ἀναθυμίασιν. ἐντεῦθεν τὸ κάεσθαι καὶ ἰοῦσθαι ἔχουσι τὰ μέταλλα.* — Olympiodor. fol. 60, b.

---

*) Ald. μηδὲ ὄντως. **) Ald. πρινή.

EXCERPTA

EX

COMMENTARIIS

ALEXANDRI ET OLYMPIODORI

IN

ARISTOTELIS METEOROLOGICORUM

LIBRUM QUARTUM.

Τὸ τέταρτον ἐπιγραφόμενον τῶν Ἀριστοτέλους μετεωρολογικῶν ἐστι μὲν Ἀριστοτέλους, οὐ μὴν τῆς γε μετεωρολογικῆς πραγματείας. οὐ γὰρ ἐκείνης οἰκεῖα τὰ ἐν αὐτῷ λεγόμενα, μᾶλλον δέ, ὅσον ἐπὶ τοῖς λεγομένοις, ἦν ἂν ἑπόμενον τοῖς περὶ γενέσεως καὶ φθορᾶς. εἰπὼν γὰρ ἐν ἐκείνοις *) περὶ τῶν τεσσάρων δυνάμεων τῶν ἁπτῶν, θερμότητος, ψυχρότητος, ὑγρότητος, ξηρότητος. καὶ δείξας ἐκ τοῦ συνδυασμοῦ τούτων τῶν δυνάμεων τὰ στοιχεῖα γινόμενα καὶ εἰπὼν τὰς μὲν ποιητικὰς τῶν δυνάμεων εἶναι, τὰς δὲ παθητικάς, ἐν τούτῳ τίνα ἐστίν, ἃ ἑκάστη αὐτῶν δύναμις ποιεῖ ἢ πάσχει, λέγει καὶ τίνα τὰ γινόμενα ὑπ᾽ αὐτῶν. — Alexander fol. 126, a.

Σκόπος τοῦ παρόντος βιβλίου διαλεχθῆναι περὶ πάντων τῶν ὁμοιομερῶν. ἀλλ᾽ ἐπειδὴ τοῦτο ψεῦδος (ὁμοιομερὴς γὰρ καὶ ὁ οὐρανός, ὁμοιομερῆ δὲ καὶ τὰ τέσσαρα στοιχεῖα, περὶ ὧν ἐνταῦθα οὐ διαλέγεται), χρὴ προσθῆναι τῷ λόγῳ, ὅτι περὶ πάντων ὁμοιομερῶν συνθέτων. ἀλλ᾽ ἐπειδὴ ὁ οὐρανὸς σύνθετος καὶ τὰ στοιχεῖα δὲ σύνθετα (ἐξ ὕλης γὰρ καὶ εἴδους εἰσί), χρὴ προσθῆναι τῶν ὁμοιομερῶν συνθέτων τῶν ἐκ τεσσάρων στοιχείων συγκειμένων. ἀλλ᾽ ἀπορία διαδέχεται τὸν λόγον. εἰ γὰρ περὶ τῶν ὁμοιομερῶν τῶν συγκειμένων ἐκ τῶν τεσσάρων στοιχείων, πῶς ἔτι περὶ μετεώρων τῶν τεσσάρων ἡ πραγματεία; ἢ περὶ τῶν ἐξ ἀμφοτέρων τῶν ἀναθυμιάσεων γινομένων τῆς τε καπνώδους καὶ ἀτμιδώδους λέγεται. εἴγε σάρξ, ὄστεον καὶ τὰ τοιαῦτα ὁμοιομερῆ εἰσι σύνθετα ἐκ τῶν τεσσάρων στοιχείων συγκείμενα, οὐκ ἐκ τῶν ἀναθυμιάσεων. λέγομεν πρὸς τοῦτο, ὅτι περὶ μὲν τῶν ἐκ τῶν ἀναθυμιάσεων γινομένων ὁμοιομερῶν διείλεκται ἐν τῷ πέρατι τοῦ τρίτου βιβλίου. ἔνθα

*) Ald. ἐκείνης.

ἔλεγε διττὰ εἶναι ταῦτα, τὰ μὲν ὀρυκτά, τὰ δὲ μεταλλευτά *). ἐπειδὴ δὲ περὶ τούτων διαλεγόμενος ᾔσθετο καὶ ἄλλα ὄντα ὁμοιομερῆ ἐκ τῆς συνθέσεως τῶν στοιχείων γινόμενα, διὰ τοῦτο κατὰ τὸ εἰωθὸς αὐτῷ ἀπὸ τῶν μερικωτέρων ἐπὶ τὰ καθόλου ἀναγόμενος **), ἐνταῦθα περὶ τῶν ἁπλῶς ὁμοιομερῶν διαλέγεται. ἓξ γὰρ ὄντων τινῶν, ἁπλῶς ὁμοιομερῶν, ἀψύχων ὁμοιομερῶν, ἐμψύχων ὁμοιομερῶν, ἁπλῶς ἀνομοιομερῶν, ἀψύχων ἀνομοιομερῶν, ἐμψύχων ἀνομοιομερῶν, περὶ μὲν οὖν τῶν ἀψύχων ὁμοιομερῶν διείλεκται ἐν τῷ πέρατι τοῦ τρίτου βιβλίου. περὶ δὲ τῶν ἁπλῶς ὁμοιομερῶν ἐνταῦθα διαλέγεται ἐν τῷ δ̄ βιβλίῳ. περὶ μέντοι τῶν ἐμψύχων ὁμοιομερῶν διαλέγεται ἐν τῇ περὶ ζῴων μορίων ἱστορίᾳ ***). περὶ δὲ τῶν ἀνομοιομερῶν τῶν ἀψύχων †) οὐ διαλαμβάνει, διότι οὐκ εἰσίν, ἄψυχα ἀνομοιομερῆ ἡμῶν καλούντων τὰ ὀργανικά. διότι καὶ τὴν ψυχὴν ὁριζόμενοι ††) ἐλέγομεν ἐντελέχειαν εἶναι σώματος φυσικοῦ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος. ὥσπερ οὖν ἄψυχα ἀνομοιομερῆ ὀργανικὰ οὐκ εἰσί †††), καὶ διὰ ταύτην τὴν αἰτίαν περὶ αὐτῶν

---

*) Ald. ubique exhibet uno λ.

**) *Analytic. posterior.* II, 15: ῥᾷόν τι τὸ καθ' ἕκαστον ὁρίσασθαι, ἢ τὸ καθόλου. διὸ δεῖ ἀπὸ τῶν καθ' ἕκαστον ἐπὶ τὰ καθόλου μεταβαίνειν. cfr. *Metaphys.* VII, 10. Caeterum verba Olympiodori in editione Aldina mirum in modum corrupta sunt. Etenim post ἀναγόμενος repetuntur, quae antegressa sunt: ᾔσθετο καὶ ἄλλα ὄντα ὁμοιομερῆ ἐκ τῆς συνθέσεως τῶν στοιχείων γινόμενα. διὰ τοῦτο κατὰ τὸ εἰωθὸς ἐνταῦθα περὶ τῶν ἁπλῶς ὁμοιομερῶν διαλέγεται. ἓξ γὰρ ὄντων τινῶν ἁπλῶν, ὁμοιομερῶν. ἀψύχων ἀνομοιομερῶν. ἐμψύχων ἀνομοιομερῶν, περὶ μὲν τῶν ἀψύχων ὁμοιομερῶν et q. s. Quibus ex verbis, collatis quae sequuntur, eam quam dedimus lectionem effinximus.

***) Qui liber quomodo ἱστορία vocari possit, elucet ex iis, quae de hoc vocabulo dicta sunt ab Interpp. ad Herodotum I, 1. cfr. Trendelenburg ad Aristot. *de anim.* p. 187. Schneider ad Aristot. *histor. animal.* Tom. I p. x sqq.

†) Ald. ἐμψύχων.

††) Hinc elucere videtur, Olympiodorum commentarios in libros *de anima* composuisse.

†††) Conferantur quae de discrimine partium sui similium (ὁμοι-

οὐ διαλέγεται, εἰ μή τί γέ τις ὁμώνυμα*) θέλει λέγειν ὀργανικὰ ὁμωνύμως, οἷον θρόνον καὶ κλίνας καὶ τὰ τοιαῦτα. οὔτε μὴν περὶ τῶν ἁπλῶς ἀνομοιομερῶν διαλέγεται· πρῶτον μὲν ἐπειδὴ οὐκ εἰσὶν ἁπλῶς ἀνομοιομερῆ, εἴγε τὰ ἄψυχα οὐκ εἰσίν, ἀλλὰ μόνα τὰ ἄψυχα. τὸ δὲ καθ᾽ ἑνὸς εἴδους λεγόμενον οὐ δύναται εἶναι ἁπλῶς. ἀλλ᾽ αὐτὸ μόνον εἶδος τοῦ ἁπλῶς ἐπὶ πλειόνων θέλοντος ὑπάρχειν εἰδῶν· δεύτερον δὲ καὶ ὅτι οὐχ εὑρίσκει κοινοὺς λόγους ὑπάρχοντας ἐπὶ πάντων ἀνομοιομερῶν. περὶ μέντοι τῶν ἐμψύχων ὁμοιομερῶν διαλέγεται ἐν τῇ περὶ ζῴων μορίων, ὥστε κοινῶς ἐν ἐκείνῃ τῇ πραγματείᾳ διαλαμβάνει περὶ πάντων ἐμψύχων ὁμοιομερῶν τε καὶ ἀνομοιομερῶν. ὥστε σκοπὸν εἶναι ἐνταῦθα τῷ φιλοσόφῳ διαλεχθῆναι περὶ πάντων ἁπλῶς ὁμοιομερῶν τῶν γινομένων ἐκ τῶν τεσσάρων στοιχείων. ἀλλ᾽ εἰ τοῦτο ἀληθές, ἀποροῦσι λοιπὸν περὶ τῆς τάξεως καὶ διὰ ποίαν αἰτίαν ἐν τῇ περὶ γενέσεως καὶ φθορᾶς συνετάττετο τὰ ἐνταῦθα λεγόμενα. εἰ γὰρ ἐκείνῳ διαλέγεται περὶ τῶν τεσσάρων στοιχείων, καὶ ἐχρῆν διὰ τοῦτο καὶ περὶ τῶν γινομένων ἐξ αὐτῶν διαλεχθῆναι. καὶ εἰκότως ἠπατήθησαν, ἐπειδὴ ἐκ προοιμίων εὐθὺς ὁ Ἀριστοτέλης οἷον ἀνακεφαλαίωσιν ποιεῖται τῶν εἰρημένων ἐν τῇ περὶ γενέσεως καὶ φθορᾶς περὶ τῶν στοιχείων· ὅθεν καὶ ὁ ἐξηγητὴς τοῦ παρόντος βιβλίου Ἀλέξανδρος ἐν ἐκείνῃ τῇ πραγματείᾳ τὸ παρὸν βιβλίον ἠξίου συνάπτεσθαι. λέγομεν δ᾽ ἡμεῖς, ὅτι τριῶν οὐσῶν πραγματειῶν περὶ τῶν στοιχείων, καὶ ἐν μὲν τῇ περὶ οὐρανοῦ διδάσκοντος αὐτοῦ, ὅπως οὐ γίνεται τὰ στοιχεῖα, ἐν δὲ τῇ περὶ γενέσεως καὶ φθορᾶς, ὅπως εἰδοποιεῖται, ἐν δὲ ταύτῃ ὅπως παθαίνεται, εἴπερ προετάττετο οὗτος ὁ λόγος τῶν ἄλλων τριῶν βιβλίων τῶν μετεώρων, ἔμελλε διακόπτεσθαι ἡ θεωρία ἡ περὶ τῶν εἰδοποιουμένων παθαινομένων στοιχείων. ἐχρῆν γὰρ μεταξὺ τοῦ ὅπως οὐ γίνεται τὰ στοιχεῖα καὶ ὅπως

ομερῶν) et dissimilium (ἀνομοιομερῶν) ex mente Aristotelis disputavit Trendelenburg ad Arist. *de anim. Prooem.* p. 160, unde elucebit, quid voluerit Olympiodorus, satis obscure in his locutus.

*) Cfr. Commentar. ad IV, 12, 3.

εἰδοποιεῖται, εἶναι τὴν περὶ τοῦ ὅπως παθαίνονται. πρότερον γὰρ παθαίνεται καὶ οὕτως εἰδοποιεῖται. — Olympiodorus fol. 61, a.

I, 1. Ὅτι δύο μὲν τὰ ποιητικὰ αἴτια, τὸ θερμὸν καὶ ψυχρόν, δύο δὲ τὰ ὑλικά, ξηρὸν καὶ ὑγρόν. *)] Καὶ ὅτι ποιητικά εἰσι τὸ θερμὸν καὶ τὸ ψυχρὸν κατασκευάζει πρῶτον μὲν ἐκ τῆς ἐπαγωγῆς, ὅτι ἑκάτερον τῶν δύο τοῦ τε θερμοῦ καὶ τοῦ ψυχροῦ ἑπτά τινα ἔχει. πρῶτον μέν, ὅτι τὸ θερμὸν ὁρίζει τὸ ὑγρόν, ὥσπερ τὰ ᾠά, ὧν εἰσι τὰ ὑγρὰ ἐν τῇ ἑψήσει, περιορίζει πηγνύον. ἀλλὰ μὴν καὶ τὸ ψυχρὸν περιορίζει τὸ ψυχρὸν ἐν τῷ πηγνύειν τὸν κρύσταλλον**). δεύτερον δέ, ὅτι τὸ θερμὸν συμφύει. ἀλλὰ μὴν τὸ μὲν θερμὸν τὰ ὁμοιοειδῆ συμφύει μόνα, οὐκέτι δὲ καὶ τὰ ἀνομοιοειδῆ συνέρχεσθαι ***), τῶν ἀνομοιοειδῶν ὑφιζανόντων καὶ μενόντων καὶ ταύτῃ μὴ συμφυομένων. ὅθεν τὸν ἄργυρον διακρίνει ἀπὸ τοῦ χρυσοῦ. τὸ μέντοι ψυχρὸν καὶ ὁμοιοειδῶν καὶ ἀνομοιοειδῶν ἐστι συμφυτικόν, ὅθεν ἐν τῇ χιόνι καὶ κάρφη τινὰ εὑρίσκεται. τρίτον, ὅτι τὸ θερμὸν μεταβάλλει εἰς ξηρὸν καὶ εἰς ὑγρόν. ὁμοίως δὲ καὶ τὸ ψυχρόν. τέταρτον, ὅτι τὸ θερμὸν ὑγραίνει διὰ τὸ χεῖν· ἀλλὰ καὶ τὸ ψυχρὸν ὑγραίνει διὰ τὸ ἀποκλείειν τὴν ὑγρότητα. πέμπτον, ὅτι θερμὸν ξηραίνει, ὡς δηλοῦσι τὰ ἐν θερμῷ ἀέρι τιθέμενα ἱμάτια. ἀλλὰ καὶ τὸ ψυχρὸν ξηραίνει· ὁρῶμεν γὰρ τὰ ὑγρὰ ἱμάτια καὶ ἐν ψύξει ξηραινόμενα. ἕκτον, ὅτι τὸ θερμὸν σκληρὸν ᾖ, ὥσπερ ἐπὶ τῶν ἑψομένων ᾠῶν. ἀλλὰ καὶ τὸ ψυχρόν, ὡς ἐπὶ κρυστάλλου. κατ' ἄλλην γὰρ ἰδιότητα ταῦτα ὁρίζει καὶ κατ' ἄλλην σκληρύνει. ἕβδομον, ὅτι τὸ θερμὸν μαλάττει, ὥσπερ ἐπὶ ξύλων καὶ τῶν κεράτων διὰ τὸ χεῖν τὴν ὑγρότητα τούτων. ἀλλὰ καὶ τὸ ψυχρὸν διὰ τὸ ἀποκλείειν τὴν ὑγρότητα. ὥστε ἑπτὰ εἶναι τὰ πάντα. πλὴν εἰ μὴ θελήσει τὸ μεταβάλλειν περιγράψαι καὶ ἓξ αὐτὰ ἀπαριθμήσασθαι. ὅτι μεταβάλλει ταῦτα διὰ τὸ ὑγραίνειν καὶ

*) Ita enim Olympiodorus Aldi textum exhibet.

**) Ald. τὸ κρύσταλον.

***) Videtur deesse ποιεῖ aut simile quoddam verbum. Lexicis addantur verba ἀνομοιοειδής et ὑφιζάνειν.

ξηραίνειν ἤτοι μαλάττειν, ὡς τὸ μεταβάλλειν ἐν τούτοις τοῖς δύο περιέχεσθαι τῷ τε ξηραίνειν καὶ μαλάττειν. ὅταν δὲ λέγω, ὅτι ταῦτα ἐργάζεται τὸ θερμὸν καὶ τὸ ψυχρόν, καὶ τὸ μὲν θερμὸν ψύχει ἢ ὑγραίνει, τὸ δὲ ψυχρὸν θερμαίνει ἢ ξηραίνει, ἢ τί τοιοῦτο ποιεῖ, οὐ κατὰ πρῶτον λόγον ταῦτα ποιεῖν λέγω αὐτό, ἀλλὰ κατὰ συμβεβηκὸς διὰ μέσου τινός, ἐπεί τοί γε καθ' αὐτὸ καὶ πρώτως τὸ μὲν θερμὸν θερμαίνει, τὸ δὲ ψυχρὸν ψύχει. καὶ οὕτω μὲν ἐκ τῆς ἐπαγωγῆς δείκνυσιν ὁ φιλόσοφος ποιητικὰ ὄντα τὸ θερμὸν καὶ τὸ ψυχρόν. λοιπὸν δὲ καὶ ἐκ τοῦ λόγου δείκνυσιν οὕτως, ὅτι εἰ τὸ θερμὸν καὶ ψυχρὸν ὁριστικά τε καὶ συγκριτικά εἰσι τοῦ ξηροῦ καὶ τοῦ ὑγροῦ, τὸ δὲ ὁρίζειν καὶ συγκρίνειν ποιητικῶν αἰτιῶν ἴδιόν ἐστι, δῆλον, ὅτι ποιητικὰ αἴτιά εἰσι τὸ θερμὸν καὶ τὸ ψυχρόν. καὶ πάλιν εἰ τὸ ξηρὸν καὶ ὑγρὸν ὁρίζονται παρὰ τοῦ ψυχροῦ καὶ θερμοῦ, καὶ τὸ μὲν ὑγρὸν τῷ οἰκείῳ ἐστὶ δυσόριστον, τῷ δ' ἀλλοτρίῳ ἀόριστον, τὸ δὲ ξηρὸν τῷ μὲν οἰκείῳ ὅρῳ ἀόριστον, τῷ δὲ ἀλλοτρίῳ δυσόριστον, τὸ δὲ ὁρίζεσθαι ὑλικῶν παθητικῶν ἐστι στοιχεῖον, δῆλον, ὅτι ὑλικά εἰσιν αἴτια τὸ ξηρὸν καὶ τὸ ὑγρόν. — Olympiodor. fol. 61, b.

I, 4. *Διωρισμένων δὲ τούτων, ληπτέον τὰς ἐργασίας αὐτῶν*] Διὰ τούτων δείκνυσιν ο Ἀριστοτέλης, ὅτι ποιητικὰ αἴτιά εἰσι τὸ θερμὸν καὶ τὸ ψυχρόν. καί φησιν, ὅτι τὸ θερμὸν αἴτιόν ἐστι γενέσεως καὶ πέψεως καὶ αὐξήσεως καὶ ἀλλοιώσεως καὶ πάσης ἄλλης μεταβολῆς ἐπὶ τῶν ἐμψύχων. καὶ τὰ ζῷα μᾶλλον ἀποκλίνουσι πρὸς τὸ θερμόν. ἀλλὰ μὴν καὶ τὸ ψυχρὸν αἴτιόν ἐστί φησι γενέσεως, ὥσπερ ἐπὶ τῶν κεράμων. δεῖ γὰρ πρῶτον ὑπὸ ψύξεως παγῆναι τὸν πηλόν, εἶθ' οὕτως ἐν τῇ καμίνῳ ὀπτηθῆναι. εἰ μὴ γὰρ ἐπάγῃ πρῶτον, οὐκ ἠδύνατο ῥυθμισθῆναι τὸ σχῆμα τοῦ κεράμου. ὅπου γε καὶ μετὰ τὸ παγῆναι κατ' ἀρχὰς ἐν τῇ ὀπτήσει διαστρέφεται πολλάκις χεομένης τῆς ἐν αὐτῷ ὑγρότητος. ὕστερον δὲ διαφορουμένης ταύτης ἐν τῇ τελείᾳ ὀπτήσει κατορθοῦται τὸ σχῆμα *). ἀλλὰ μὴν καὶ φθορᾶς αἰτία γίνεται ἡ θερμότης. διαφορουμένου γὰρ τοῦ οἰκείου θερμοῦ ὑπὸ τοῦ ἐν τῷ περιέχοντι κατὰ φύσιν

---

*) Cfr. *Meteorol.* IV, 6, 7.

θερμοῦ καὶ συνυπάγοντος ἑαυτῷ ὑγρότητα, ἥτις ὄχημα ἑαυτῷ γίνεται, καταλιμπάνεται ἡ *) ὑγρότης πλέον οὖσα, ἢ κατὰ τὴν συνοῦσαν θερμότητα. καὶ λοιπὸν κρατοῦντος ἐν τούτοις τοῦ ὑγροῦ φθορὰ γίνεται ἡ κατὰ φύσιν. κατὰ φύσιν καλοῦμεν δὲ τὴν σῆψιν, ἥτις γίνεται τοῦ μὲν οἰκείου θερμοῦ ἀσθενοῦντος καὶ τῆς φυσικῆς ὑγρότητος ὀλιγουμένης διὰ τὸ συνδιαφορεῖσθαι τῷ οἰκείῳ θερμῷ. κρατοῦντος δὲ τοῦ παρὰ φύσιν θερμοῦ καὶ ἀλλοτρίου καὶ τοῦ οἰκείου ψυχροῦ κατὰ φύσιν ταύτην καλοῦμεν τὴν φθοράν. λέγω δὴ τὴν κατὰ σῆψιν γινομένην πρὸς ἀντιδιαστολὴν τῆς δι' ἔγκαυσιν γινομένης· ἐκείνη γὰρ βίαιός ἐστι καὶ παρὰ φύσιν. καὶ οὕτω μὲν ἡμεῖς τὴν διὰ σήψεως φθοράν φαμεν ἐγγίνεσθαι, ἀσθενοῦντος μὲν τοῦ οἰκείου θερμοῦ καὶ ὑγροῦ, κατακρατοῦντος δὲ τοῦ ἀλλοτρίου θερμοῦ καὶ τοῦ οἰκείου ψυχροῦ. οἱ μέντοι ἰατρικοὶ οὐκ ἀνέχονται ὑπὸ τῆς πλεονεξίας τοῦ οἰκείου ψυχροῦ καὶ ἀσθενείας τοῦ οἰκείου θερμοῦ γίνεσθαι τὴν σῆψιν. οὐ γὰρ πάντως φασὶν ἡ ἀσθένεια τοῦ οἰκείου θερμοῦ τὴν ψύξιν εἰσάγει. ἀντεισάγεται γὰρ αὐτῇ ἡ πλεονεξία τοῦ ἀλλοτρίου θερμοῦ, ἥτις οὐκ ἐᾷ γίνεσθαι ψύξιν ἐν τῷ σώματι. εἶτα ἐπειδὴ ὁ Ἀριστοτέλης εἶπεν ἀπὸ σήψεως τὴν κατὰ φύσιν φθορὰν γίνεσθαι ἐπίτηδες ταύτης μνημονεύσας, ἵνα δείξῃ, ὅτι καὶ ὑπὸ θερμότητος καὶ ὑπὸ ψύξεως γίνεται, θερμότητος μὲν ἀλλοτρίας, ψυχρότητος δὲ οἰκείας, εἰκότως καὶ περὶ σήψεως διαλέγεται καί φησιν, ὅτι γίνεται αὕτη ἐνδείᾳ θερμότητος οἰκείας διαφορουμένης ὑπὸ τῆς τοῦ περιέχοντος θερμασίας καὶ συνυπαγομένης αὐτῆς τῆς ἔνδον ὑγρότητος, ἥτις ὄχημα γίνεται τῆς θερμότητος. εἶθ' οὕτως κατακρατεῖ τὸ ἔνδον ψυχρόν, ὡς εἶναι δῆλον, ὅτι ἐνδείᾳ θερμότητος οἰκείας καὶ ὑγρότητος γίνεται ἡ σῆψις. καὶ ὅτι τοῦτο ἀληθές, κατασκευάζει διὰ πλειόνων. καὶ πρῶτόν γε ὅτι δι' ὑγρότητος ἔνδειαν, ὡς δηλοῖ τὰ νεκρὰ τῶν σωμάτων, ἐφ' ὧν καὶ πρῶτον μὲν ἰχωροειδὴς ὑγρότης τούτων ἀποστάζει καὶ διαφορεῖται διὰ τὸ ἔτι εἶναι τὸ θερμόν, ὅπερ συνυπάγεται τὴν ὑγρότητα. ἔτι διὰ τὸ

*) ἡ scripsi pro γάρ, quod est in editione Aldina. Quae verba quam facile confundi potuerint, quivis intelliget, qui signum vidit, quo coniunctio illa exhiberi solet in veteribus editionibus (γὰρ).

ἐκκριθῆναι τὸ ὑγρὸν τηνικαῦτα σήπεται τὸ σῶμα καὶ κοπρῶδες γίνεται καὶ διαπίπτει ἅτε μὴ ἔχον τινὰ ὑγρότητα, διὰ τὸ μὴ θερμασίαν ἔχειν τὴν ἕλκουσαν αὐτὴν εἰς ἑαυτὸ ἀπὸ τοῦ περιέχοντος. ᾧ δῆλον, ὅτι δι' ἔνδειαν ὑγρότητος γίνεται ἡ σῆψις. ἀλλὰ μὴν καὶ ἔνδειαν θερμότητος καὶ τοῦτο δῆλον. καὶ γὰρ ἀνυπέρβλητον ἔχοντα θερμασίαν σώματα διαμένουσι μὴ σηπόμενα, οἷον τὸ πῦρ. τοῦ γὰρ ἀέρος καὶ τοῦ ὕδατος καὶ τῆς γῆς σηπομένων διὰ τὸ ἔλαττον εἶναι τὸ ἐν αὐτοῖς θερμόν, καὶ τοῦ μὲν ἀέρος σηπομένου ποιεῖν ὄρτυγας, τῆς δὲ γῆς ψύλλας, τὸ πῦρ μόνον ὡς ἄσηπτον οὐ ποιεῖ ζῷα διὰ τὸ πλείστην ἔχειν θερμότητα. καὶ τὰ αὐτόματα δὲ θερμὰ ἧττον σήπεται διὰ το ἔχειν οἰκείαν θερμασίαν· ἀλλὰ μὴν καὶ κινούμενα τῶν στασίμων ὑδάτων ἧττον σήπεται διὰ τὸ ἐκ τῆς κινήσεως ἀναρρώννυσθαι ἐν αὐτοῖς τὸ θερμόν. κίνησις γὰρ κρατύνει. ἀργίη δὲ τήκει φησὶν εἷς τῶν ἰατρῶν. ἀλλὰ μὴν καὶ τὰ ὀλίγα ὕδατα μᾶλλον σήπεται ὡς ἂν ὀλίγου ὄντος τοῦ ἐν αὐτοῖς θερμοῦ. τὰ δὲ πολλὰ ἧττον σήπεται, ὡς πλείονα ἔχοντα θερμασίαν. διὸ καὶ τὰ τελματώδη μᾶλλον σήπεται, ὡς ἂν ὀλίγου ὄντος τοῦ ἐν αὐτοῖς θερμοῦ. τὰ δὲ πολλὰ ἧττον σήπεται *). αὕτη δ' οὐ σήπεται διὰ τὸ πολλοῦ μετέχειν θερμοῦ. πολλῆς γὰρ μετέχει τῆς καπνώδους ἀναθυμιάσεως. ἀλλὰ μὴν καὶ τὸ ἀποκρινόμενον θερμὸν ἐκ τῶν φθειρομένων ζῴων σημαίνει, ὅτι δι' ἔνδειαν θερμότητος γίνεται ἡ σῆψις. μετὰ γὰρ τὴν τούτου διαφόρησιν σήπεται τὸ σῶμα, ὅπερ διὰ τὸ εἶναι ζῳογόνον καὶ γενέσεως ἄλλων ζῴων αἴτιον, γίνεται καὶ τὸ εἰρημένον· ἵπποι μὲν σφηκῶν γένεσις, ταῦροι δὲ μελισσῶν **). εἶπον δέ σοι ἔξωθεν ἕτερον ἐπιχείρημα τοῦ ἐνδείᾳ τοῦ θερμοῦ γίνεσθαι τὴν σῆψιν. ὁρῶμεν γάρ, ὅτι τὰ ὠμὰ ***) κρέα τῶν ἑφθῶν μᾶλλον σήπονται διὰ τὸ μόνον τὴν οἰκείαν ἔχειν θερμασίαν, τὰ δ' ἑφθὰ μὴ μόνον τὴν οἰκείαν, ἀλλὰ καὶ τὴν ἐκ τῆς σήψεως ἀναδεδέχθαι· ἥτις ἐν ἕξει αὐτὸ ἐγένετο ἐν τῇ ἑψήσει. ταῦτα

*) Hic procul dubio verba quaedam excidere, cum sequentia spectent ad mare.

**) Nicand. *Theriac.* v. 741.

***) Ald. ᾠά et mox ἐφθῶν.

μὲν πάντα εἴρηται πρὸς τὸ δεῖξαι, ὅτι ἐνδείᾳ θερμότητος καὶ ὑγρότητος οἰκείας γίνεται ἡ σῆψις. ὅτι δὲ καὶ ἐπικρατείᾳ τοῦ ἀλλοτρίου θερμοῦ γίνεται, κατεσκευάσθω οὕτως. ὁρῶμεν γάρ, ὅτι ἐν τῷ θέρει μᾶλλον γίνεται σῆψις ἤπερ ἐν τῷ χειμῶνι. ἡ γὰρ τοῦ θέρους θερμότης ἐκδιαφορεῖ *) τὸ οἰκεῖον θερμὸν μετὰ τοῦ ὑγροῦ. καὶ ἐντεῦθεν γίνεται ἡ σῆψις ἐπικρατοῦντος τοῦ οἰκείου ψυχροῦ διὰ τὸ μὴ εἶναι τὴν ἕλκουσαν τὸ ὑγρὸν θερμότητα ἔνδον. ἀλλὰ μὴν καὶ τὰ πεπηγότα οὐ σήπεται διὰ τὸ μὴ δύνασθαι κατακρατεῖν τὴν ἐκτὸς θερμότητα τῆς ἔνδον, καὶ διαφορεῖν διὰ τὸ ἔχειν πρόβολον τὴν ἐκτὸς ψυχρότητα.— Olympiodor fol. 61, b — 62, a.

I, 5. *Πρῶτον μὲν οὖν καθόλου ἡ ἁπλῆ γένεσις.......*] Ἁπλῆν δὲ γένεσιν εἶπε τὴν κυρίως **) γένεσιν, ἀλλ' οὐ τὴν μετὰ προσθήκης. τὶς γὰρ γένεσις καὶ ἡ ἀλλοίωσις. προσέθηκε δὲ καὶ τὴν φυσικὴν μεταβολήν, ὅτι μὴ μόνη ἁπλῆ γένεσίς ἐστιν ἡ φυσικὴ μεταβολή. ἀλλὰ καὶ ἄλλαι τινές, αἵτινες καὶ αὐταὶ ὑπὸ τούτων γίνονται τῶν δυνάμεων, ὡς αὐξήσεις φυτῶν μεταβολαί τε καὶ πέψεις καὶ τἆλλα τὰ τοιαῦτα. οὐ μόνον δὲ ἡ γένεσις, ἀλλὰ καὶ ἡ ἀντικειμένη φθορὰ αὐτῇ, ἡ κατὰ φύσιν γενομένη, ὑπὸ τούτων γίνεται τῶν δυνάμεων. κατὰ φύσιν γὰρ παντὶ τῷ γενομένῳ φθαρῆναι. ἡ δὲ κατὰ φύσιν γινομένη φθορά, αὕτη δέ ἐστιν ἡ διὰ γῆρας λοιπὸν καὶ ἀσθένειάν τε καὶ κατάψυξιν, οὕτω γίνεται. οὐ γὰρ δὴ καὶ ο βίαιος, οἷον εἴ τις ξίφει πληγεὶς διαφθαρῇ. ἢ αὗται μὲν οὖν τοῖς τε φυτοῖς ὑπάρχουσι καὶ τοῖς ζῴοις καὶ τοῖς μέρεσιν αὐτῶν, τὰς δυνάμεις λέγει τὰς δευτέρας, καθ' ἃς ἡ γένεσις καὶ ἡ φθορά. πασῶν γὰρ αὐτῶν ἕκαστον τῶν εἰρημένων μετέχει. καὶ οὐχ ὥσπερ τὰ στοιχεῖά τε καὶ ἁπλᾶ, δύο μόνον αὐτῶν ἐν αὐτοῖς ἔχει, ὡς προείρηται. ἑξῆς δὲ προστίθησι, τίς ἐστιν ἡ ἁπλῆ τε καὶ φυσικὴ γένεσις. μεταβολὴν δέ φησιν αὐτὴν εἶναι γινομένην ὑπὸ τῶν ποιητικῶν δυνάμεων, τῆς θερμότητος δῆλον

---

*) Vocabulum lexicis addatur. Bis recurrit fol. 63, a in verbis: καὶ γὰρ ὁρῶμεν, ὅτι ἐπὶ τῇ σήψει ζῷα γίνονται, δηλονότι ἐκδιαφορουμένου τοῦ ἐμφύτου καὶ ζῳογόνου θερμοῦ γίνεται· εἰ δ' ἐκδιαφορεῖται, δῆλον ὅτι μειοῦται.

**) Ald. κυρίων.

καὶ τῆς ψυχρότητος, μεταβαλλουσῶν τινα τὰ πάσχειν ὑπ᾽ αὐτῶν πεφυκότα, ἃ ὑποκειμένην ὕλην ὠνόμασε, διὰ τὸ δύναμιν ἔχειν καὶ ἐπιτηδειότητα τοῦ πάσχειν, ἅ ἐστιν ἥ τε ξηρότης καὶ ὑγρότης, ὅταν ἔχωσι δῆλον λόγον πρὸς αὐτὰ τοῦτον, καθ᾽ ὃν τὰ μὲν ποιεῖν, τὰ δὲ πάσχειν οἷά τε. οὐ γὰρ ὁποσονοῦν θερμόν, ἢ ὁποσονοῦν ξηρὸν ἢ ὑγρὸν ἢ ὑγραίνει, ἢ ξηραίνει. ἀλλὰ δεῖ λόγου τινὸς καὶ συμμετρίας.— Alexander fol. 126, b.

Τί φησιν; ὅτι ὡς καθόλου εἰπεῖν ἡ ἁπλῶς γένεσις καὶ καθόλου, ἥτις καθηγορεῖται κατὰ τῶν μερικῶν γενέσεων, πέψεως λέγω καὶ ἀλλοιώσεως καὶ τῶν λοιπῶν, ὑπὸ θερμοῦ καὶ ψυχροῦ γίνεται. ἢ μᾶλλον οὕτω ῥητέον, ὅτι ἁπλῶς γένεσιν λέγει οὐ τὴν ἁπλῆν, ἥτις κατηγορεῖται κατὰ πάσης μερικῆς γενέσεως. ἀλλὰ τὴν τῶν οὐσιῶν γένεσιν, τὴν ἐκ τοῦ ἀφανοῦς εἰς τὸ ἐμφανὲς προάγουσαν τὰ ἔμψυχα σώματα. ταῦτα γὰρ ἡ φύσις ὀργάνῳ κεχρημένη τῷ θερμῷ καὶ ψυχρῷ, ὕλῃ δὲ τῷ ξηρῷ καὶ ὑγρῷ, δημιουργήσασα παρήγαγεν. ᾧ δῆλον, ὅτι κατεχρήσατο λέγων ποιητικὸν αἴτιον εἶναι τὸ θερμὸν καὶ τὸ ψυχρόν. φαίνεται γὰρ ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς λέγων, μὴ εἶναι ποιητικὸν αἴτιον τὸ θερμόν. εἰ γὰρ καὶ ποιητικὸν αἴτιον, χεῖρον ἂν ἦν τοῦ ὀργανικοῦ, ἐπειδὴ τὸ μὲν ὀργανικὸν ὑφ᾽ ἑτέρου τάττεται, τουτέστι τοῦ ποιητικοῦ. τὸ δὲ θερμόν, εἴπερ ἦν ποιητικὸν αἴτιον, οὐκ ἔμελλεν ὑποτάττεσθαι, ἀλλ᾽ ἀεὶ προκόπτειν ἐπ᾽ ἄπειρον καὶ αὔξεσθαι. καὶ ἐλάνθανε φθαρτικὸν ἤπερ ποιητικόν. νῦν οὖν κατεχρήσατο λέγων αὐτὸ ποιητικόν. ἀλλὰ τῆς μὲν ἁπλῶς γενέσεως ποιητικὸν αἴτιον λέγει εἶναι τὸ θερμὸν καὶ ψυχρόν. τῆς δὲ ἁπλῶς φθορᾶς οὐκ εἰσι ποιητικὰ αἴτια, ἀλλά τινος φθορᾶς, ἢ ξίφους, ἢ πυρός, ἤ τινος τοιούτου. ὥσπερ γὰρ ἡ ἁπλῆ γένεσις περιουσίᾳ ἐμφύτου θερμοῦ καὶ ὑγροῦ γίνεται, οὕτως ἡ σῆψις ἐνδείᾳ τούτων καὶ πλεονεξίᾳ τοῦ ψυχροῦ γίνεται. ἡ ἁπλῆ δὲ γένεσις λέγεται ἡ τῶν οὐσιῶν ἀντιπαραβαλλομένη πρὸς τὴν τῶν συμβεβηκότων γένεσιν. ταὐτὸν *) δ᾽ εἰπεῖν πέψεως καὶ τῶν ὑπ᾽ αὐτήν, λέγω δὴ πεπάνσεως, σήψεως, ὀπτήσεως καὶ τῆς ἄλλης μεταβολῆς καὶ ἀλλοιώσεως. — Olympiodorus fol. 62, b.

---

*) Ne corrigas τοῦτο. Eodem enim modo loquitur fol. 63, a (Exc. IV, 2, 1). fol. 64, b (Exc. IV, 2, 5).

I, 6. *Ὅταν δὲ μὴ κρατῇ, κατὰ μέρος μὲν μώλυσις καὶ ἀπεψία γίνεται.*] Ἤτοι δὲ μόλυνσιν *) λέγει τὴν ἐπὶ τῶν ἑψομένων, ὅταν μὴ κρατήσῃ τὸ πῦρ, μολύνεται καὶ οὐχ ἕψεται, ὡς μετ' ὀλίγον ἐρεῖ. τὴν δὲ ἀπεψίαν, ἐπὶ τῆς τῶν ζῴων τροφῆς, ὅταν μὴ κρατηθῇ ὑπὸ τῆς ἐνούσης θερμότητος εἰς τὸ χρήσιμον, ἀλλὰ διαφθαρῇ· ἢ ἐκ παραλλήλου ἄμφω εἶπε καὶ τὴν μόλυνσιν ὡς ἀπεψίαν οὖσαν θείς. — Alexander fol. 127, a.

I, 14. *Καὶ οὔτε τὸ πεπηγός ..... οὔτε τὸ ζέον ἢ θερμόν ......*] Λέγει δὲ καὶ τὰς αἰτίας τοῦ μήτε τὸ πεπηγός, μήτε τὸ θερμόν τε καὶ ζέον σήπεσθαι. τὸ μὲν γὰρ πεπηγός, τῷ μᾶλλον εἶναι ψυχρὸν αὐτό, ἢ θερμὸν τὸν περιέχοντα αὐτὸ ἀέρα, οὐ κρατεῖται ὑπ' αὐτοῦ, ὥστε καὶ ἐξάγεσθαι αὐτοῦ τὸ ἐν αὐτῷ θερμόν. τὸ δὲ σῆπον καὶ μεταβάλλον, κρατοῦν τοῦ σηπομένου καὶ κινοῦν αὐτὸ σήπει. τὸ δὲ θερμόν τε καὶ ζέον τῷ πλείω εἶναι τὴν ἐν αὐτῷ θερμότητα τὴν ἐν τῷ περιέχοντι, οὐ κρατεῖται ὑπ' αὐτοῦ. τὸ γὰρ πλέον, τοῦ ἐλάττονος θερμοῦ κρατοῦν, σβέννυσί τε αὐτὸ καὶ φθείρει. — Alexander fol. 127, b.

I, 18. *Καὶ ζῷα ἐγγίνεται τοῖς σηπομένοις.*] Λέγει δὲ καὶ τὴν αἰτίαν τοῦ ἐν τοῖς σηπομένοις καὶ ζῷά τινα γεννᾶσθαι, ὡς σκώληκας, ἐμπίδας **), κώνωπας. τῷ γὰρ τὴν ἀποκρινομένην ἐξ αὐτῶν θερμότητα φυσικὴν συνιστάναι, τὰ συναποκρινόμενα αὐτῇ σώματα ἂν ἔχῃ ὑγρότητος. — Alexander fol. 127, b.

II, 1. *Λοιπὸν δ' εἰπεῖν τὰ ἐχόμενα εἴδη*] Μετὰ τὰς κοινὰς ἐνεργείας θερμότητος καὶ ὑγρότητος, λέγω δὴ γένεσιν καὶ φθοράν, καὶ περὶ τῶν ἰδιαζόντων ἐνεργειῶν ἑκατέρας διαλέγεται ὁ φιλόσοφος. ἰδιάζουσαι δ' ἐνέργειαι ἐπὶ μὲν θερμότητος

---

*) Ita Aldus tum in commentario, tum in praeposito ῥήματι.

**) Cfr. Aristot. *Histor. animal.* V, 19: αἱ δ' ἐμπίδες γίνονται ἐκ τῶν ἀσκαρίδων. αἱ δὲ ἀσκαρίδες γίνονται ἔν τε τῇ ἰλύϊ τῶν φρεάτων καὶ ὅπου ἂν σύρρευσις γένηται ὕδατος, γεώδη ἔχουσα ὑπόστασιν. De culicum genere, quod ἐμπίς vocatur, adi etiam *Hist. anim.* VIII, 17. Est tipula L. secundum Schneiderum ad I, 1, 6 p. 5.

πέψις καὶ τὰ ὑπ' αὐτήν, πέπανσις, ἕψησις, ὄπτησις· τῆς δὲ ψυχρότητος ἀπεψία καὶ τὰ ὑπ' αὐτήν, ὠμότης καὶ μόλυνσις, στάθευσις *). ἢ γὰρ διὰ τὸ εἶναι κοινὰς ἐνεργείας τοῦ θερμοῦ καὶ ψυχροῦ τὴν γένεσιν καὶ φθοράν, περὶ τούτων πρότερον διειλέχθη, εἶθ' οὕτω περὶ τῶν ἰδιαζουσῶν, λέγω δὴ πέψεως καὶ ἀπεψίας, ἢ ὅτι ἐκεῖναι μὲν πρῶται ἐνέργειαί εἰσι τοῦ θερμοῦ καὶ ψυχροῦ, αὗται δὲ δευτέραι· καὶ ἐκεῖναι μὲν περὶ τὸ εἶναι ἢ μὴ εἶναι καταγίνονται, αὗται δὲ περὶ τὸ τοιῶσδε εἶναι ἢ μὴ εἶναι, αἵτινες μετὰ τὸ γενέσθαι τὸ εἶδος ὑφίστανται. ἢ καὶ διὰ τρίτην αἰτίαν, ὅτι μετὰ τὴν ἁπλῶς καὶ κυρίως γένεσιν, βούλεται καὶ περὶ τῆς τινὸς γενέσεως διαλεχθῆναι, ἥτις ἐστὶ πέψις καὶ ἀπεψία καὶ τὰ ὑπ' αὐτὴν ὄντα. ἔστι τοίνυν τῆς θερμότητος ἰδικὴ ἐνέργεια ἡ πέψις. αὕτη δὲ τριττή ἐστιν. ἢ **) γὰρ ἐπὶ ἐμψύχων καλεῖται πέπανσις, κυρίως τῆς πεπάνσεως ἐπὶ καρπῶν λεγομένης ***), ἢ ἐπὶ ἀψύχων. καὶ ἐπὶ ἀψύχων ἢ ἐν ὑγρῷ θερμῷ γίνεται καὶ καλεῖται ἕψησις, ἢ ἐν ἀνίκμῳ καὶ καλεῖται ὄπτησις. ἀντικεῖται δὲ τῇ μὲν πέψει ἁπλῶς †) ἀπεψία. ὑπὸ δὲ ταύτην ἐστὶν ὠμότης ἀντικειμένη τῇ πεπάνσει. κυρίως γὰρ ὠμὸν λέγομεν ἐπὶ τῶν καρπῶν, ὥσπερ καὶ πέπονας λέγομεν τοὺς ἀκμάσαντας καρπούς. ἡ δὲ μόλυνσις ἀντίκειται τῇ ἑψήσει, ὅτι ἡ μὲν ἕψησις διαλύει τὰ ἑψόμενα, ἡ δὲ μόλυνσις, ἀρχὴ μόνον οὖσα τῆς ἑψήσεως οὐ ποιεῖ διαλύεσθαι τὰ μολυνόμενα. οὐ τοῦτό μου λέγοντος, ὅτι πᾶσα ἕψησις πάντως διαλύει τὰ ἑψόμενα· ἰδοὺ γὰρ τὰ ᾠὰ καὶ οἱ ἐγκέφαλοι καὶ οἱ δίδυμοι καὶ τῶν κρεῶν τὰ τριπτὰ ἑψόμενα οὐ διαλύεται, ἀλλὰ τοὐναντίον συνίσταται καὶ σχῆμα ἀναδέχονται. καθόλου γὰρ ὅσα μὲν ἐνεργείᾳ ††) ἔχουσι τὸ ὑγρόν, ταῦτα τῇ ἑψήσει παχύνεται· ὅσα

---

*) Ita enim ubique Aldus. **) Ald. ἡ.

***) Plantas igitur Olympiodorus *τοῖς ἐμψύχοις* adnumerat. Aristoteles *de anim.* II, 12, 4 *μόριόν τι ψυχικόν* tribuit iis atque aliquid pati eas tactu concedit, at sentiendi vim iis inesse negat. Cfr. Rhoer. ad Porphyr. *de abstin.* I, 18. p. 30.

†) Coniungas *τῇ μὲν πέψει ἁπλῶς*, cui oppositum est *τῇ πέψει τινί*, ut paulo ante *τῇ ἁπλῶς καὶ κυρίως γενέσει* opposuit *τὴν τινὰ γένεσιν*. Cfr. Aristot. *Topic.* III, 1, 9 et Trendel. ad *de anim.* III, 7, 6. — Mox Aldus *ἀπεψίᾳ*. ††) Ald. *ἐνεργείαν*.

δὲ δυνάμει ἔχει τὸ ὑγρόν, ταῦτα ἐν τῇ ἑψήσει διαλύεται *). ἡ δὲ στάθευσις διαλύεται· ἀντίκειται γὰρ τῇ ὀπτήσει. ἀλλ' ἄξιόν ἐστι ζητήσεως, πῶς τούτων μεμνημένος τῶν ἰδιαζουσῶν ἐνεργειῶν ὁ φιλόσοφος τῆς κυρίως πέψεως οὐ μέμνηται, δι' ἧς πέττονται τὰ σιτία **). ἢ λέγομεν, ὅτι διὰ τοῦ εἰπεῖν ἕψησιν παρέλαβε καὶ ταύτην τὴν πέψιν. καὶ γὰρ ἡ πέψις ἐν ὑγρῷ θερμῷ γίνεται, ὥσπερ ἡ ἕψησις. καὶ οἶδε τοῦτο Ἱπποκράτης ἐν τῷ περὶ ὀξέων νοσημάτων. ἔνθα φησί, μήτε δὶς ἕψειν τὰ σιτία τῇ γαστέρι, τὸ ἕψειν εἰρηκὼς ἀντὶ τοῦ πέττειν. ἢ εἰπὲ καὶ ἄλλην αἰτίαν, ὅτι εἰκότως ἐκείνης οὐκ ἐμνημόνευσε τῆς ἑψήσεως, ἐπειδὴ ἐκείνη ὑπὸ φύσεως γίνεται ἐν τοῖς τῶν ζῴων σώμασι. νῦν δ' οὐ περὶ τῶν ὑπὸ φύσεως γινομένων βούλεται διαλαβεῖν, ταὐτὸν ***) δ' εἰπεῖν ὑπὸ φυσικῆς δυνάμεως ἐν σώματι ζῴου οὔσης, ἀλλὰ περὶ τῶν ὑπὸ θερμοῦ καὶ ψυχροῦ γινομένων, τουτέστι τῶν δραστικῶν ποιοτήτων. ἡ γὰρ πέψις εἴδους ἐναλλαγὴν ἔχουσα, ὑπὸ φύσεως γίνεται προνοητικῆς. καὶ μὴ λέγε, ὅτι ἡ πέπανσις ὑπὸ φύσεως γίνεται. οὐ γὰρ εἴδους ἐστὶ μεταβολὴ ἐν τούτῳ, ἀλλὰ ποιότητος μόνης. ὅπου δὲ εἴδους μεταβολή, ἐκεῖ φύσεως ἔργον γίνεται κυρίως. ὥστε τὴν ὅλην περὶ τούτων διαίρεσιν ἔχειν τὸν τρόπον τοῦτον. ἡ πέψις ἢ εἴδους ἐργάζεται μεταβολήν, καὶ λέγεται πέψις ὁμωνύμως τῷ γένει λεγομένη καὶ ὑπὸ φύσεως προνοητικῆς γινομένη. ἢ ποιότητος μόνης ἐργάζεται μεταβολήν. καὶ ταύτην ἢ ἐν ἐμψύχοις καὶ λέγεται πέπανσις, ἢ ἐν ἀψύχοις †), ἢ ἐν ὑγρῷ θερμῷ καὶ λέγεται ἕψησις, ἢ ἐν ἀνίκμῳ καὶ καλεῖται ὄπτησις. — **Olympiodorus** fol. 63, a. b.

Εἰπὼν καθόλου περὶ γενέσεως καὶ φθορᾶς λοιπόν φησιν εἶναι τὸ εἰπεῖν τὰ εἴδη τὰ ἐχόμενα τῶν προειρημένων, ἅπερ

---

*) In editione Aldina verba *ταῦτα τῇ ἑψήσει π. ὅσα δ. δ. ἔχει τὸ ὑγρὸν* bis posita sunt.

) Cfr. **Platon. *de re publ.* II p. 236: *θρέψονται δ' ἐκ μὲν τῶν κριθῶν ἄλφιτα σκευαζόμενοι, ἐκ δὲ τῶν πυρῶν ἄλευρα, τὰ μὲν πέψαντες, τὰ δὲ μάξαντες μάζας γενναίας καὶ ἄρτους ἐπὶ κάλαμόν τινα παραβαλλόμενοι ἢ φύλλα καθαρὰ κατακλινέντες* et q. s.

***) Ut supra fol. 62, b (Exc. IV, 1, 5).

†) Fortasse exciderunt verba *καὶ εἰ ἐν ἀψύχοις*, aut similia.

ἐστὶν ἥ τε γένεσις καὶ φθορά, ἃ καὶ αὐτὰ γίνεται ὑπὸ τῶν δυνάμεων τῶν προειρημένων. ταῦτα δ' ἐστὶ τὰ δι' ὧν αἱ εἰρημέναι δυνάμεις ἕκαστον ὧν ποιοῦσι, ποιοῦσιν ἐν ταῖς ἤδη συνεστώσαις φυσικαῖς οὐσίαις. αὗται δ' εἰσὶ τὰ σώματα τῶν τε ζῴων καὶ τῶν φυτῶν. ἐστὶ δὲ τούτων κοινὰ μέν, δι' ὧν ἕκαστα τῶν ἐν τοῖς προειρημένοις γίνεται, πέψις καὶ ἀπεψία, ἀνάλογον ὄντα τὸ μὲν γενέσει, τὸ δὲ φθορᾷ, ὑπὸ μὲν τοῦ θερμοῦ ἡ πέψις, ὑπὸ δὲ τοῦ ψυχροῦ ἡ ἀπεψία, ἑκάτερον ὑπὸ ἑκατέρου προηγουμένως. ὑφ' ἑκάτερον δὲ τούτου, ὑπὸ μὲν τὴν πέψιν πέπανσις, ἕψησις, ὄπτησις (ταῦτα γὰρ ἀλλήλων ἤδη διαφέροντα πέψεις ἅπαντα), ὑπὸ δὲ τὴν ἀπεψίαν ὠμότης, μόλυνσις, στάθευσις· καὶ γὰρ τούτων ἕκαστον ἀπεψία τις. καὶ ἔστιν ὥσπερ ἡ πέψις τῇ ἀπεψίᾳ ἐναντίον, οὕτω καὶ τῶν ὑπ' αὐτὰ τῇ μὲν πεπάνσει ἡ ὠμότης, τῇ δὲ ἑψήσει ἡ μόλυνσις, τῇ δὲ ὀπτήσει ἡ στάθευσις. — Alexander fol. 128, a.

II, 3. *Πέψις μὲν οὖν ἐστι τελείωσις ὑπὸ τοῦ φυσικοῦ καὶ οἰκείου θερμοῦ ἐκ τῶν ἀντικειμένων παθητικῶν] Λέγει δὴ πέψιν εἶναι τελείωσιν ὑπὸ τοῦ φυσικοῦ καὶ οἰκείου θερμοῦ ἐκ τῶν ἀντικειμένων παθητικῶν. ἐπί τε γὰρ τῶν ζῴων, ἡ*) ὑπὸ τῆς θρεπτικῆς ψυχῆς διὰ τοῦ φυσικοῦ τε καὶ οἰκείου θερμοῦ τῆς τροφῆς τελείωσις, ὡς τὴν δυνάμει τροφὴν ἐνεργείᾳ γενέσθαι, πέψις. ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων πάντων ἡ πέψις ὑπὸ τοῦ ἐν αὐτοῖς θερμοῦ τελειουμένοις γίνεται. τὸ δὲ ἐκ τῶν ἀντικειμένων παθητικῶν εἶπεν, ἀντὶ τοῦ ἐκ τῆς ὑποκειμένης ὕλης, ἥτις ὑπὸ τοῦ θερμοῦ εἰς τὰ ἀντικείμενα ὧν ἔχει παθῶν μεταβάλλεται. διττῆς γὰρ οὔσης τῆς τροφῆς, τῆς μὲν πρώτης τῆς πρὸ τοῦ πεφθῆναι, τῆς δὲ*

*) Ald. ἤ. De anima vegetante, generante ac nutriente cfr. *de anim.* II, 4, 2: *ἡ γὰρ θρεπτικὴ ψυχὴ καὶ τοῖς ἄλλοις ὑπάρχει καὶ πρώτη καὶ κοινοτάτη δύναμίς ἐστι ψυχῆς, καθ' ἣν ὑπάρχει τὸ ζῆν ἅπασιν. ἧς ἐστιν ἔργα γεννῆσαι καὶ τροφῇ χρήσασθαι· φυσικώτατον γὰρ τῶν ἔργων τοῖς ζῶσιν, ὅσα τέλεια καὶ μὴ πηρώματα ἢ τὴν γένεσιν αὐτομάτην ἔχει, τὸ ποιῆσαι ἕτερον οἷον αὐτό, ζῷον μὲν ζῷον, φυτὸν δὲ φυτόν, ἵνα τοῦ ἀεὶ καὶ τοῦ θείου μετέχωσιν ᾗ δύνανται, πάντα γὰρ ἐκείνου ὀρέγεται, κἀκείνου ἕνεκα πράττει ὅσα πράττει κατὰ φύσιν.* Vide Trendelenburg *Prooem.* p. 152 sqq.

ἐσχάτης τῆς *) μετὰ τὴν πέψιν, ἐναντίαι εἰσὶν ἡ πρώτη τῇ ἐσχάτῃ· διὸ καὶ ἐν τοῖς περὶ γενέσεως εἶπε, τὸ τρεφόμενον τρέφεσθαι πῇ μὲν ὑπ' ἐναντίου πῇ δὲ ὑπὸ ὁμοίου **). ἡ μὲν γὰρ ἄπεπτος ἔτι τροφή, ἣν προσφερόμεθα, ἐναντία τῷ τρεφομένῳ, ἡ δὲ μετὰ τὴν πέψιν, ἥτις ἤδη προσγίνεται καὶ ἔστι κυρίως τροφή, ὁμοία ***). γίνεται μὲν γὰρ κατ' ἀλλοίωσίν τε καὶ μεταβολήν, καὶ πέσσεται πᾶν τὸ πεσσόμενον. ἡ δὲ μεταβολὴ ἐξ ἐναντίου εἰς ἐναντίον. τὴν δὲ ὕλην τὴν πεσσομένην ἀντικειμένην εἶπε τῷ ἐξ αὐτῆς πεσσομένῳ τε καὶ τελειουμένῳ καὶ εἰς τὸ εἶδος ἀγομένῳ. ἐρεῖ δ' αὐτὴν καὶ παθητικήν. πᾶσα γὰρ τοιαύτη. διὰ γὰρ τοῦ πάσχειν ἡ τελείωσις αὐτῆς. καὶ αὐτὸς ἐξηγούμενος τὸ εἰρημένον προσέθηκε. ταῦτα γάρ φησιν ἔστι, λέγων τὰ ἀντικείμενα καὶ παθητικά, ἡ οἰκεία ἑκάστῳ †) ὕλη. οὐ γὰρ ἐν πᾶσι τοῖς πεσσομένοις τὸ αὐτὸ ὑποκείμενον, οὐδὲ ἐν πᾶσι τὰ αὐτά ἐστι τὰ πεσσόμενα, ἃ ὅταν πεφθῇ τε τελείωταί τε, καὶ ὃ ἦν δυνάμει τοῦτο ἐνεργείᾳ γέγονεν. ἀρχὴν δὲ καὶ αἰτίαν τῆς τελειώσεως τὴν οἰκείαν θερμότητα τὴν ἐν τῷ πεσσομένῳ γίνεσθαι λέγει. τούτῳ γὰρ ἡ φύσις ὀργάνῳ χρῆται προηγουμένῳ πρὸς τὴν πέψιν, κἂν διά τινος τῶν ἐκτὸς βοηθείας συνεπιτελεσθῇ ἡ πέψις. πολλὰ γὰρ καὶ τῶν ἔξωθεν δοκεῖ πρὸς τὴν πέψιν συνεργεῖν τῆς τροφῆς, ὡς λουτρά, ὧραι, γυμνάσια. ἀλλὰ ταῦτα συνεργὰ μὲν γίνεται τῇ πέψει, εὐκατεργαστότερα καὶ ἀμεταβλητότερα ποιοῦντα τὰ πεσσόμενα. ἀρχὴ

---

*) Quod apud Aldum est δέ omisimus.

**) *De generat. et interit.* I, 7, ubi tamen non de nutritione solum, sed de passione omnino disseritur. Cfr. *de generat.* II, 8. *de anim.* II, 4, 10. et Trendelenburg ad *de anim.* I, 5, 8 p. 284.

***) Cfr. *de generat. et interit.* I, 5: *μεῖζον μέντοι τὸ ὅλον γέγονε, προσελθόντος μέν τινος, ὃ καλεῖται τροφή, καὶ ἐναντίον· μεταβάλλοντος δὲ εἰς τὸ αὐτὸ εἶδος, οἷον εἰ ξηρῷ προσίοι ὑγρόν, προσελθὸν δὲ μεταβάλλοι καὶ γένοιτο ξηρόν. ἔστι μὲν γὰρ ὡς τὸ ὅμοιον ὁμοίῳ αὐξάνεται, ἔστι δ' ὡς ἀνομοίῳ.* *de anim.* II, 4, 16: *ἔστι δὲ ᾧ τρέφεται διττόν, ὥσπερ καὶ ᾧ κυβερνᾷ, ἡ χεὶρ καὶ τὸ πηδάλιον, τὸ μὲν κινοῦν καὶ κινούμενον, τὸ δὲ κινοῦν μόνον. πᾶσαν δ' ἀναγκαῖον τροφὴν δύνασθαι πέττεσθαι, ἐργάζεται δὲ τὴν πέψιν τὸ θερμόν. διὸ πᾶν ἔμψυχον ἔχει θερμότητα.*

†) Ita enim Ald. hic et in antegresso *ῥήματι.*

δὲ καὶ αἰτία ἡ ἐν τῷ τρεφομένῳ θερμότης. εἰπὼν δὲ τὴν πέψιν τελείωσιν εἶναι, τίς ἐστιν ἡ τελείωσις καὶ τὸ τέλος τῆς πέψεως λέγει. καί φησιν εἶναι τὴν φύσιν. ἐπεὶ δὲ διττὴ ἡ φύσις, ἡ μὲν ὡς ὕλη, ἡ δὲ ὡς εἶδος, προσέθηκε ποία φύσις τὸ τῆς πέψεως τέλος. ἡ γὰρ ὡς εἶδος καὶ οὐσία. κατὰ γὰρ τὸ εἶδος ἡ ἑκάστου οὐσία καὶ τὸ εἶναι αὐτῷ ὅ ἐστι. τῆς πέψεως οὖν ἐπί τινων τέλος φησὶν εἶναι τὸ εἶδος τὸ κατὰ τὴν φύσιν ἀπολαβὸν αὐτό, ὡς ἐπὶ τῶν καρπῶν. τοιαύτη γὰρ ἡ τούτων πέψις, ὡς ἐπὶ τῆς τροφῆς. καὶ γὰρ ταύτης τέλος τὸ εἰς τὸ εἶδος μεταβάλλειν τοῦ τρεφομένου φυσικὸν ὄν. ἐπεὶ δὲ οὐ μόνον ἐπὶ τῆς τροφῆς ἡ πέψις λέγεται, ἀλλὰ καὶ ἄλλα τινὰ πέσσεσθαί φαμεν, ὡς τὸ γλεῦκος, ὡς τὰ φύματα καὶ τὰ ἄλλα τὰ τοιαῦτα, ἐπὶ τῶν οὕτω πεσσομένων τὸ τέλος φησὶν εἶναι τῆς πέψεως τὸ μεταβάλλειν εἴς τινα μορφήν, ἐν ᾗ γινόμενον χρήσιμον καὶ ἐνεργέστερον ἡμῖν γίνεται. — Alexander fol. 128, a. b.

Ἐκ τῶν ἀντικειμένων παθητικῶν] Ἔφη διὰ τὴν ὑγρότητα. ταύτης γάρ ἐστι τελείωσις διὰ τὴν πάχυνσιν. καὶ διὰ τοῦτο εἶπε παθητικῶν. πάσχει γὰρ ἡ ὑγρότης. ἀντικειμένων δ᾽ ἐπειδὴ τὸ τρεφόμενον ἔστ᾽ ἂν τρέφηται, ἀνόμοιόν ἐστι τῷ τρεφομένῳ καὶ ἀντικείμενον. τὰ γὰρ ἀντικείμενα πάντως καὶ ἀνόμοια. οὐ πάντως δὲ τὰ ἀνόμοια καὶ ἀντίκεινται. ἀλλ᾽ ἄξιόν ἐστιν ἀπορίας, τί διαφέρει πέψις σήψεως, εἴγε καὶ ἡ σῆψις ἀλλοτρίῳ θερμῷ γίνεται. καὶ ἡ πέψις ἀλλοτρίου τοῦ πεττομένου. ἔφαμεν γάρ, ὅτι ὑπὸ τοῦ ποιοῦντος θερμοῦ πέττεται τὸ πεττόμενον. καὶ λέγομεν πρῶτον μέν, ὅτι ἡ πέψις, ἀλλὰ πρὸς τὴν ἡμῶν χρῆσιν λέγομεν αὐτὴν πέψιν, ἐπεὶ ὅσον πρὸς τὸ πεττόμενον σῆψίς ἐστιν. ἰδοὺ γοῦν τοὺς ἀπίους μετὰ τὴν ἐκ τοῦ δένδρου ἀφαίρεσιν πέττεσθαι λέγομεν, ὡς πρὸς τὴν ἡμῶν χρῆσιν ἀφορῶντες, ἐκείνων μέντοι ἐπὶ σῆψιν ὁδευόντων. ἢ εἶπεν, ὅτι διαφέρει πέψις σήψεως, ὅτι ἐν μὲν τῇ πέψει κρατεῖ τὸ θερμὸν τοῦ ὑγροῦ καὶ ὁρίζει αὐτὸ ἐπὶ πάχυνσιν αὐτὸ φέρον. ἐν δὲ τῇ σήψει τὸ ἀνάπαλιν κρατεῖ τὸ ὑγρὸν τοῦ θερμοῦ τὴν ἀρχήν. ἀλλὰ πάλιν ἀπορητέον, καὶ τί διαφέρει σῆψις ἀπεψίας, εἴγε ἐν ἀμφοτέροις κρατεῖ τὸ ὑγρόν; ἢ ῥητέον, ὅτι ποῦ μὲν κρατεῖ τὸ θερμόν, ὡς ἐν τῇ ἀπεψίᾳ, ποῦ δὲ κρατεῖ τὸ ἀλλότριον θερμόν, ὡς ἐν τῇ πέψει. εἶπε δὲ καὶ ἄλλην δια-

φορὰν σήψεως καὶ πέψεως· ὅτι ἐν μὲν τῇ σήψει τὸ ἀλλότριον θερμὸν ἐπικρατεῖ τοῦ σώματος, ἐν ᾧ γίνεται ἡ σῆψις, ἐν δὲ τῇ πέψει τὸ οἰκεῖον αὐτοῦ ἔμφυτον θερμὸν ἐπικρατεῖ, οὐ λέγω τοῦ πεττομένου, ἀλλὰ τοῦ σώματος, ἐν ᾧ πέψις γίνεται. — Olympiodorus fol. 83, b.

II, 5. *Τὸ δὲ τέλος τοῖς μὲν φύσις**) *ἐστί· φύσις δὲ ἣν λέγομεν ὡς εἶδος καὶ οὐσίαν· τοῖς δ' εἰς ὑποκειμένην τινὰ μορφὴν τὸ τέλος ἐστὶ τῆς πέψεως*] Τί φησιν; ὅτι ἡ μὲν ἀρχὴ τῆς πέψεως πάσης ἀπὸ τοῦ οἰκείου θερμοῦ τοῦ ποιοῦντός ἐστιν, εἰ καὶ ἔξωθεν βοηθεία γένηται πρὸς τὸ περιγενέσθαι. τὸ δὲ τέλος τῆς πέψεως ποῦ μὲν ἡ φύσις ἐστὶν ἡ εἰδοποιοῦσα καὶ μεταβάλλουσα ἀπὸ εἴδους εἰς ἕτερον εἶδος, ὥσπερ ἐν τοῖς ζῴοις τὴν τροφὴν ἡ προνοητικὴ φύσις μετὰ τὴν πέψιν τῆς τροφῆς, ταὐτὸν δ' εἰπεῖν **) τὴν σύστασιν καὶ τὴν πάχυνσιν μεταβάλλει αὐτὴν εἰς ἕτερον εἶδος καὶ εἰς ἑτέραν οὐσίαν καὶ ποιεῖ αὐτὴν σάρκα ἢ νεῦρον ἢ ἕτερόν τι ἁπλῶς πρὸς τὴν φύσιν τοῦ ὑποκειμένου μορίου· ὅπερ ὁ Ἀριστοτέλης ἐσήμανε τί ἐστι φύσις· ὅτι τὸ εἶδος καὶ ἡ οὐσία τοῦ ὑποκειμένου πράγματος. οὕτω μὲν οὖν ἐν τοῖς ζῴοις τὸ τέλος τῆς πέψεως ἡ φύσις ἐστί· τουτέστιν ἡ οὐσία καὶ τὸ εἶδος τοῦ τρεφομένου μορίου. μεταβάλλεται γὰρ εἰς αὐτὸ τὸ πεφθέν. ἐν δὲ τοῖς καρποῖς ***) καὶ τοῖς ἑψομένοις καὶ ὀπτωμένοις οὐχ ἡ φύσις ἐστὶ τὸ τέλος τῆς πέψεως. οὔτε γὰρ γίνεται μεταβολὴ τῆς ὑγρότητος εἰς ἕτερον εἶδος, ἀλλὰ τελείωσις, τουτέστι σύστασις καὶ πάχυνσις. ὥστε ἵστασθαι τὸ εἶδος καὶ τὴν μορφὴν τοῦ πάσχοντος, τουτέστι τοῦ ὑγροῦ, καὶ τελειοῦσθαι οὐ μεταβάλλεσθαι εἰς ἕτερον εἶδος. βλέπε οὖν καὶ διὰ ταύτης τῆς λέξεως, ὅτι περὶ πάσης πέψεως διαλαμβάνει. — Olympiodorus fol. 64, b.

II, 5. *Καὶ πεπέφθαι φαμέν, ὥσπερ τὸ γλεῦκος*] Ἄξιόν ἐστιν ἀπορίας, πῶς λέγει τὸ γλεῦκος ἄπεπτον πεπαίνε-

---

*) Articulus enim deest ante *φύσις* in *ῥήματι* apud Aldum.

**) Vide supra ad Exc. IV, 1, 5. IV, 2, 1.

***) I. e. *τοῖς πεπαινομένοις*, quo verbo cur non usus sit Olympiodorus equidem non assequor.

σθαι *), *εἴγε παχὺ ὄν, προκόπτον λεπτυνόμενον γίνεται* **). *πᾶς γὰρ οἶνος παλαιούμενος λεπτύνεται. ἡ δὲ πέψις τὸ ἀνάπαλιν τὰ λεπτὰ παχύνει. ἢ λέγομεν, ὅτι τὸ γλεῦκος, καθὸ μὲν γλεῦκος, λεπτότατόν ἐστιν. ἀλλ' ἃ σύνεισιν αὐτῷ πνεύματα παχέα καὶ φυσώδη τινὰ τῷ χρόνῳ διαφορεῖται. καὶ λοιπὸν μένει λεπτὸν γλεῦκος. τοῦτο ἡ πέψις παχύνει καὶ οἶνον ποιεῖ. μετὰ δὲ τὸ γενέσθαι οἶνον, τηνικαῦτα τὸ χρῶμα κατὰ μέρος λεπτύνεται. ἀλλὰ πάλιν ἀπορητέον, εἰ γὰρ ἡ πέψις πάχυνσίς ἐστι, πῶς ἐπὶ τῶν σωμάτων οἱ πεττόμενοι* ***) *χυμοὶ λεπτότεροι γίνονται; ἢ ῥητέον, ὅτι οὐ πάντες, ἀλλὰ μόνον οἱ παχεῖς. οἱ γὰρ λεπτοὶ παχύνονται πεττόμενοι. κανὼν γάρ ἐστι τοιοῦτος, ὥστε τὰ δυνάμει ὑγρὰ πεττόμενα ἢ ἑψόμενα διαλύεσθαι, τὰ δ' ἐνεργείᾳ ὑγρὰ πήγνυσθαι. οὐκοῦν ἐπειδὴ οἱ παχεῖς χυμοὶ σχεδὸν ἀνόμοιοί εἰσι τοῖς δυνάμει ὑγροῖς, τούτου χάριν πεττόμενοι διαλύονται καὶ λεπτότεροι γίνονται. οἱ δὲ λεπτοὶ ὅμοιοι ὄντες τοῖς ἐνεργείᾳ ὑγροῖς πεττόμενοι παχύνονται.* — Olympiodorus fol. 64, b.

III, 1. *Πέπανσίς ἐστι σύστασις καὶ πάχυνσις τῆς ἐν τοῖς περικαρπίοις ὑγρότητος* †)] *Τουτέστι πέψις. ἡ γὰρ πέψις σύστασίς ἐστι καὶ πάχυνσις τῆς ὑγρότητος, ὡς εἴρηται. καὶ ὅρα, πῶς μετὰ τὰ γένη, λέγω δὴ πέψιν καὶ ἀπεψίαν, ἐπὶ τὰ τιμιώτερα τῶν εἰδῶν ἐχώρησε, πέπανσίν τε καὶ*

*) Videtur legendum esse *πέττεσθαι.*

**) Ald. *εἴγε π. ὂν προκόπτον, λ. γ. προκόπτον* verte: *in progressu.* Ita apud Ioseph. *de bell. Iud.* IV, 4, 6. p. 285 *νυκτὸς προκοπτούσης, cum multa nox esset.* Et apud Thucyd. IV, 60 *προκοπτόντων* in scholio recte explicatur *προοδοποιούντων.*

***) Ald. *πεπτόμενοι.*

†) Quae verba frustra in textu Aristotelis, qualem nunc habemus, quaeras. Vix tamen dubium esse potest, quin haec ipsa in suis exemplaribus repererit Olympiodorus, cum iis, quae in Exc. ad IV, 2, 3 adscripsimus, haec ipsa, quae nunc exhibemus, adiungat his verbis: *καὶ ταῦτα μὲν ῥητέον περὶ τῆς πέψεως· ἐφ' οἷς ὁ φιλόσοφος καὶ πέρι πεπάνσεως διαλέγεται καὶ ταύτην ὁρίζεται λέγων·* Quod auget dubitationem, est quod haec verba post § 1 capitis superioris reperisse videtur Olympiodorus, qui absoluta demum expositione de maturatione ad explicationem verborum: *λοιπὸν δ' εἰπεῖν τὰ ἐχόμενα εἴδη* et q. s. sese accingat.

ὠμότητα. τιμιώτατα γὰρ ταῦτα τῶν ἄλλων εἰδῶν ὡς ἐν ἐμψύχοις γινόμενα (ἐν γὰρ τοῖς φυτοῖς), ἐκείνων ἐν ἀψύχοις γινομένων. εὐθέως δ' ἐκ τοῦ ὁρισμοῦ τῆς πεπάνσεως ἐδήλωσεν, ὅτι καθολικώτερόν ἐστιν ἡ πέψις τῆς πεπάνσεως. ἡ μὲν γὰρ πέψις τελείωσις ἐλέγετο καὶ πάχυνσις τοῦ ἁπλῶς ὑγροῦ ἐπ' ἐμψύχοις, εἴτ' ἐν ἀψύχοις· ἡ δὲ πέπανσις μόνου τοῦ ἐν τῷ περικαρπίῳ. περικάρπιον δ' ἐστὶν ὑμήν τις, ὃς ἐπινενόηται τῇ φύσει πρὸς φυλακὴν καὶ φρουρὰν τοῦ σπέρματος· οὐδὲ γὰρ ἁπλῶς τοῦ ἐδωδίμου, οὐδὲ καρποῦ, πλὴν εἰ μὴ τὸ αὐτὸ εἴη καὶ σπέρμα καὶ καρπός. τὸ γοῦν ἐδώδιμον ποτὲ μὲν ἐκτός ἐστιν, ὡς ἐπὶ φοινίκων, ποτὲ δ' ἐντός, ὡς ἐπὶ τῶν ἀμυγδάλων. τὸν μέντοι καρπὸν πάντως ἔνδον περιφρουρεῖ διὰ τὴν παλιγγενεσίαν. ἐφ' ὧν ἐπείσακτον ποιεῖ τὴν ἀθανασίαν. καλῶς δὲ πρόσκειται, ὅτι τῆς ἐν τοῖς περικαρπίοις τροφῆς πέψις ἐστὶν ἡ πέπανσις διὰ τὴν ἄλλην πέψιν τὴν γινομένην ἐν τῇ ῥίζῃ καὶ ἐν τοῖς κλάδοις τοῦ φυτοῦ. καὶ γὰρ ἐν τούτοις ὑγρότης πέττεται ὑπὸ τοῦ ἐν αὐτοῖς ἐμφύτου θερμοῦ καὶ τρέφει τὸ δένδρον. ἀλλ' οὐδὲ λέγεται πέπανσις, ἀλλὰ μόνη πέψις. μόνη γὰρ ἡ ἐν τῷ περικαρπίῳ πέψις λέγεται πέπανσις. καὶ ἡ μὲν περὶ τὸ ἄλλο ὑγρὸν τοῦ φυτοῦ γινομένη πέψις τὸ εἶδος ἐναλλάττει αὐτό, ἡ δὲ περὶ τὸ περικάρπιον πέψις, ταὐτὸν δ' εἰπεῖν ἡ πέπανσις, οὐ γίνεται, εἰ μὴ ὅταν τέλειον εἴη τὸ φυτόν, ὡς δύνασθαι τίκτειν ὅμοια. ὥσπερ γὰρ ζῷον ἐκεῖνο λέγομεν τέλειον τὸ δυνάμενον ἑαυτῷ τίκτειν ὅμοια, οὕτω καὶ φυτόν. ὅθεν οὐδὲ τὸ τυχὸν γίγαρτον ἀμπέλου δεῖ λαβεῖν πρὸς τὸ ποιῆσαι ἄλλην ἄμπελον. οὐ γὰρ τὸ ἀπὸ ὠμῆς σταφυλῆς, ἀλλὰ τὸ ἀπὸ τῆς τελειωθείσης κιχραμίς ἐστιν ἐπιτηδεία πρὸς τούτοις *). καὶ γὰρ ἐκ τῶν σπερμάτων τούτων γίνεται τὰ φυτά. ἀλλὰ τὸ πολυχρόνιον τῆς γεννήσεως αὐτῶν φεύγοντες οἱ περὶ ταῦτα δεινοί,

---

*) **Κιχραμίς**, quod in lexicis deest, si certa lectio, nihil aliud significare potest, nisi *τὸ γίγαρτον ἀπὸ τῆς τελειωθείσης σταφυλῆς*. Videtur autem eiusdem originis esse, ac *γίγαρτον*, de quo vide Galen. *de aliment. facult.* II. Tom. IV p. 322 *Kühn.* Niclas ad *Geoponic.* VI, 11, 3 p. 451. Fortasse etiam scribendum *κεγχραμίς*, quod non solum de milio, sed etiam de minusculis uvarum ficuumque nucleis usurpari solet. *κέγχρος* ea significatione positum est *Geopon.* X, 69, 4.

οὐ κέχρηνται τούτοις. ἐπειδὴ δ' ἔφη, ὅτι ἡ πέψις πάχυνσίς ἐστι καὶ πάντως παχύνει (ἐστὶ δὲ καὶ ἡ πέπανσις πέψις τις καὶ διὰ τοῦτο καὶ αὐτὴ παχύνει καὶ τὰ πεπαινόμενα παχύτερα πάντως θέλει γενέσθαι), οὕτω γὰρ καὶ ἐν ἡμῖν ὅσα ἐν ἀτμοῖς καὶ ὑγροῖς ὑπάρχουσιν ἡμῖν ἄπεπτα, ταῦτα λεπτὰ ὄντα παχύνεται πεττόμενα ὑπὸ τῆς φύσεως· ἐν μὲν τοῖς ἀτμοῖς, ὡς ἐπὶ τῶν ἀναδιδομένων ἐπὶ τῆς κεφαλῆς κἀκεῖσε πεττομένων καὶ ἀντικαταρρεόντων καὶ κόρυζαν ἐργαζομένων, ἐν δ' ὑγροῖς ὡς ἐπὶ τῶν διαρροιῶν ἄπεπτα διαχωρήματά τινα μεταβάλλουσα ἡ φύσις πέττει ἐν τοῖς ὑπνοῖς διὰ τὸ ἐνεργεῖν τότε τὰς φυσικὰς δυνάμεις καὶ διὰ τὸ συννεύειν εἰς τὸ βάθος τὸ ἔμφυτον θερμόν, καὶ διὰ τὸ μὴ σκεδάννυσθαι τὴν φύσιν ἐκτὸς ὑπὸ τῶν αἰσθητῶν. ἀλλὰ μὴν καὶ τὰ πνευματώδη καὶ ὑδατώδη ἄπεπτα ὄντα καὶ λεπτά *), ὥσπερ γλεῦκος πεττόμενον, παχύνεται. ἐφ' οἷς ὁ φιλόσοφος περὶ ὕδατος διαλέγεται, καί φησιν, ὅτι τὸ ὕδωρ οὔτε πεπαίνεται, οὔτε παχυνόμενον, οὔτε ὠμὸν λέγεται, οὐχ ὅτι οὐ πεπαίνεται, ἀλλ' ὅτι οὐ πέφυκεν ὅλως πεπαίνεσθαι. ἐκεῖνα γὰρ λέγομεν ὠμά, ὅσα πέφυκε πεπαίνεσθαι καὶ οὐ πεπάνθαι. οὕτω γὰρ καὶ τὸν τοῖχον οὐ λέγομεν τυφλόν, οὐχ ὅτι οὐ βλέπει, ἀλλ' ὅτι οὐ πέφυκε βλέπειν. ὥστε διὰ τούτων δῆλός ἐστιν ὁ Ἀριστοτέλης λέγων μὴ τρέφειν τὸ ὕδωρ, εἴγε λέγει αὐτὸ μὴ πέττεσθαι, ἐπειδὴ οὐ παχύνεται. πᾶσα δὲ τροφὴ ὑπὸ ψύξεως γίνεται. εἰπὲ γὰρ τοιοῦτον συλλογισμόν. τὸ ὕδωρ οὐ παχύνεται· τὸ μὴ παχυνόμενον οὐ πέττεται· τὸ μὴ πεττόμενον οὐ τρέφει· τὸ ὕδωρ ἄρα οὐ τρέφει. καὶ ὅρα, πῶς σύμφωνα λέγει τοῖς εἰρημένοις αὐτῷ ἐν τῇ περὶ γενέσεως καὶ φθορᾶς **). ἔλεγε γὰρ ἐκεῖσε, ὅτι οὐ τρέφεται τὰ σπόριμα ***) ἐκ τοῦ ὕδατος καθ' αὑτό. εἰ γὰρ καὶ δοκεῖ τρέφειν, ἀλλὰ διὰ τὸ συμμεμίχθαι αὐτῷ γῆν κοπρώδη τρέφεται. πλὴν ἐπειδὴ πολύς ἐστι λέγων ἐν

*) Ald. λευκά.

**) *De generat. et interit.* II, 8. p. 335, a: ἅπαντα τρέφεται τοῖς αὐτοῖς, ἐξ ὧνπερ ἐστίν, ἅπαντα δὲ πλείοσι τρέφεται. καὶ γὰρ ἅπερ ἂν δόξειεν ἑνὶ μόνῳ τρέφεσθαι, τῷ ὕδατι τὰ φυτά, πλείοσι τρέφεται· μέμικται γὰρ τῷ ὕδατι γῆ. διὸ καὶ οἱ γεωργοὶ πειρῶνται μίξαντες κόπρον ἄρδειν. Verbis Olympiodori stabilitur lectio κόπρον in l. l.

***) Vox petita ex novo testamento. Matth. XII, 1. Marc. II, 23.

ἄλλαις πραγματείαις, ὅτι μεταβάλλουσιν εἰς ἄλληλα τὰ στοιχεῖα *), καὶ τὰ μὲν ἁπλᾶ εἰς σύνθετα, τὰ δὲ σύνθετα εἰς ἁπλᾶ, καὶ ὕδωρ ἐξοινοῦται **) καὶ ὁ οἶνος ἐξυδατοῦται, κάλλιον λέγειν, ὅτι ἴσως ὡς δυσκόλως παχυνόμενον εἶπε μὴ παχύνεσθαι τὸ ὕδωρ, καὶ ὡς ὀλιγότροφον ἄτροφον. εἰκὸς οὖν ἀμφοτέρας ἔχειν τὰς δόξας τήν τε τοῦ τρέφειν καὶ τοῦ μὴ τρέφειν τὸ ὕδωρ. — Olympiodorus fol. 63, b — 64, a.

III, 9. *Γάλα ὠμόν*] Ἐπιζητήσαι δ' ἄν τις, πῶς καὶ τὸ γάλα πορρωτέρω καὶ οὐχὶ ἐκείνοις ὁμοίως ὠμὸν λέγεται. ἢ εἰ μὲν λέγοιτο ὠμὸν γάλα τὸ ἐν τῷ ζῴῳ, ὁμοίως ἂν τοῖς πρώτοις λέγοιτο. ὠμὸν γὰρ τοῦτο τῷ μὴ κεκρατῆσθαι ὑπὸ τῆς ἐν τῷ ζῴῳ θερμότητος τὴν ὑγρότητα τὴν ἐν αὐτῷ. εἰ δὲ λέγοιτο τὸ ἑψόμενον γάλα ἐν πυρὶ ὠμόν, ὁμοίως ἂν λέγοιτο τῷ κεράμῳ ὠμόν· τῷ γὰρ ὑπὸ τῆς ἔξωθεν μὴ κεκρατῆσθαι θερμότητος. — Alexander fol. 129, b.

III, 10. *Ἕψησις δ' ἐστὶ τὸ μὲν ὅλον πέψις ὑπὸ θερμότητος ὑγρᾶς τοῦ ἐνυπάρχοντος ἀορίστου ἐν τῷ ὑγρῷ*] Οὐχ, ὡς ἄν τις οἰηθείη, διαλεγόμενος ὁ Ἀριστοτέλης περὶ ἑψήσεως καὶ ὀπτήσεως, ὅτι ἐάσας τὰ φυσικὰ προβλήματα ἐτράπη ἐπὶ τὰ τεχνικά, καὶ μαγειρικῆς καὶ ὀψοποιητικῆς ἔργα ἡμῖν παραδίδωσι. ταῦτα γὰρ οὐ μόνον ὑπὸ τέχνης γίνονται, ἀλλὰ καὶ ὑπὸ φύσεως. καὶ γὰρ ἡ πέψις τῶν σιτίων ἡ ἐν τῇ γαστρὶ γινομένη ἔοικεν ἑψήσει. θερμῷ γὰρ ὑγρῷ γίνεται. καὶ αὐτὸς δ' Ἱπποκράτης ἕψησιν τὴν πέψιν καλεῖ. φησὶ γὰρ *μήτε δὶς ἕψειν τὰ σιτία* †). καὶ ὄπτησις δὲ γίνεται ὑπὸ φύσεως. ἡ γὰρ δύσκρατος καὶ θερμὴ γαστὴρ ὀπτᾷ ††) τὰ προσαγόμενα. καὶ δηλοῦσι τοῦτο αἱ ἐρυγαί. ἀλλά, μή τις λεγέτω, ὅτι καὶ εἰ ἄμφω ταῦτα ὑπὸ φύσεως γίνεται, τί δήποτε προσέταξεν ὁ φιλόσοφος τὴν ὄπτησιν τῆς ἑψήσεως. ἀκούσετε γάρ, ὅτι ἐπειδὴ ἡ ἕψησις κατὰ φύσιν, ἡ δ' ὄπτησις παρὰ φύσιν·

---

*) Cfr. inprimis *de caelo* III, 7. *de anima* II, 4, 9 ibiq. Trendelenburg p. 397.

**) Significatio verbi lexicis addatur.

†) Vide supra fol. 63, a. (Exc. IV, 2, 1) p. 178.

††) Ald. *ὀπτά*.

τιμιώτερα δὲ τὰ κατὰ φύσιν τῶν παρὰ φύσιν. τρία δέ τινα ζητεῖ περὶ τῆς ἑψήσεως ὁ φιλόσοφος· πρῶτον, τί ἐστιν ἕψησις, δεύτερον δέ, τίνα ἐστὶ τὰ ἑψόμενα καὶ τίνα μὲν κυρίως ἕψεται, τίνα δὲ κατὰ μεταφοράν, καὶ τίνα ἔτι μᾶλλον κατὰ μεταφοράν. τρίτον πρὸς τοῖς εἰρημένοις, τίνα τὰ ὑπάρχοντα τοῖς ἑψομένοις. ἀρξώμεθα ἀπὸ τοῦ πρώτου καὶ εἴπωμεν, τί ἐστιν ἕψησις. ἕψησις τοίνυν ἐστὶ πέψις τοῦ ὑγροῦ τοῦ ἐν τῷ ἑψομένῳ ὑπὸ θερμοῦ γινομένη. τὰ γὰρ ἑψόμενα πάντα ἐν ὑγρῷ θερμῷ ἀποτίθεται, ὅθεν καὶ ἀπορεῖ ὁ Ἀριστοτέλης, ποῦ ἂν ταγῇ ἡ ταγήνισις *). μήποτε γὰρ καὶ τὰ ταγηνιζόμενα ἕψεται, ὡς ἂν ἐν ὑγρῷ ἐλαίῳ ταγηνιζόμενα καὶ λυόμενα. λέγοντες, ὅτι μᾶλλον ταύτῃ τῇ ὄψει προσκεχώρηκεν, ἤπερ πρὸς τῇ ἑψήσει, ἐπειδὴ καὶ τὰ τηγανιζόμενα μᾶλλον θερμῷ ξηρῷ ταγηνίζονται. διὰ γὰρ ταύτην τὴν αἰτίαν οὐδὲν πολλῷ ἐλαίῳ θέλει τηγανίζεσθαι, ὥστε παύειν τῇ ἐπιφανείᾳ τοῦ τηγάνου. καὶ τὰ μὲν ἑψόμενα ἀποτίθεται μᾶλλον τὴν οἰκείαν ὑγρότητα ἐν τῷ ὑγρῷ, ἐν ᾧ ἕψεται, ἑλκομένης αὐτῆς τῆς ὑγρότητος ὑπὸ τῆς θερμασίας τῆς ἐν τῷ ὑγρῷ, ἐν ᾧ ἕψονται, ὡς δηλοῦσιν οἱ ζωμοὶ μεταλαμβάνοντες τῆς ποιότητος τῶν ἑψομένων. τὰ δὲ ταγηνιζόμενα τοὐναντίον ἕλκει πρὸς ἑαυτὰ τὸ ὑγρόν, ἐν ᾧ ἕψεται. ἕλκεται δὲ ἡ ὑγρότης αὐτῶν ὑπ' αὐτοῦ. ὅθεν καὶ συμβαίνει τῶν ἑψομένων τὸν ζωμὸν ἡδύτερον ὑπάρχειν, ὡς ἂν μεταλαμβάνοντα τῆς ποιότητος τῶν ἑψομένων. μᾶλλον αὐτὸ τὸ ταγηνιζόμενόν ἐστιν ἡδύτερον τοῦ ἐλαίου, ἐν ᾧ ταγηνίζεται, ὡς ἂν αὐτὸ μᾶλλον μεταλαμβάνον τοῦ ἐλαίου, ἤπερ ἐκεῖνο τούτου. καὶ τοῦτο μέν ἐστι τὸ πρῶτον. δεύτερόν φησιν, ὅτι τὰ ἑψόμενα δεῖ ἔνικμα εἶναι, καὶ πάντως μετέχειν ὑγρότητος αἰσθητῆς. διὰ γὰρ ταύτην τὴν αἰτίαν καὶ λίθοι οὐχ ἕψονται ὡς μὴ μετέχοντες ὑγρότητος αἰσθητῆς, εἰ καὶ τὴν συνεκτικὴν ἔχουσιν, ἧς στερόμενοι διαπίπτουσι καὶ ψάμμος γίνονται. καὶ ὑγρότητος οὐ τῆς τυχούσης, ἀλλὰ παθητικῆς ὑπὸ θερμότητος. ἐπειτοίγε οὐδὲ τὰ ξύλα ἕψονται καὶ τὰ μετέχοντα ὑγρότητος. ξύλα δὲ οὐ πάντα, ἀλλὰ τὰ πυκνότερα καὶ ὅσα τοιαῦτα, ἐπειτοίγε οὐ

---

*) Lexicis addatur. τηγάνισις est apud Alexandrum fol. 131, a (Exc. IV, 3, 21), quod pariter in lexicis desideratur.

τὰ μανότερα ἕψονται, ἅτινα ὑπὸ τῆς ἀναγομένης αἰθάλης τοῦ πυρὸς ἕψεται, ὡς τελευταῖον καὶ ἄκαπνα αὐτὰ καλεῖσθαι *) τῷ καπνὸν μὴ ποιεῖν προσδεδαπανημένης αὐτῶν τῆς ὑγρότητος ἐν τῇ προγενομένῃ ἑψήσει. κυρίως δ' ἕψονται γλεῦκος καὶ γάλα καὶ ὅσα τοιαῦτα, διότι οὐκ ἐν ἀλλοτρίῳ ὑγρῷ ἕψονται. ἔτι δὲ μᾶλλον κατὰ μεταφορὰν ὁ χρυσός, ἐπειδὴ οὗτος οὐδ' ἀποβάλλει τινὰ ὑγρότητα ἐν τῇ ἑψήσει, ὁ κεκαθαρμένος δηλονότι. ὁ γὰρ ῥυπαρὸς τὸν προσόντα αὐτῷ ῥύπον **) μόνον ἀποβάλλει. καὶ τοῦτο τὸ δεύτερον. εἶτ' ἐφεξῆς καὶ περὶ τῶν ὑπαρχόντων τοῖς ἑψομένοις διαλαμβάνει. τοῦτο γὰρ ἦν τὸ τρίτον τῶν ἐπαγγελλομένων. καί φησιν, ὅτι καθόλου ὑπάρχει πᾶσι τοῖς ἑψομένοις τὸ ἐλάττοσι γίνεσθαι. καὶ ἢ βαρυτέροις ἢ παχυτέροις τοῦ ἡ †) ...... ἐνταῦθα ἡμῶν μὴ ὡς διαζευκτικῶν ἀκουόντων, ἀλλὰ μᾶλλον ὡς συμπλεκτικοῦ. ἐπ' ἔλαττον μὲν γὰρ γίνεται πάντως τὰ ἑψόμενα, ἀλλ' ἢ ὀλίγα καὶ βαρέα, ἢ ὀλίγα καὶ παχέα. ὅθεν τὸ ἔλαιον λέγομεν μὴ ἕψεσθαι, ἐπειδὴ μὴ ἐπιδέχεται πάντα τὰ τοῦ ἑψομένου ἴδια. ἔλαττον μὲν γίνεται πάντως, ἀλλ' οὔτε βαρύτερον††), οὔτε παχύτερον. οὔτε γὰρ ἡ μὲν αὐτοῦ ἀερώδης οὐσία καὶ πνευματώδης διαφορεῖται μενούσης τῆς ὑγρότητος, ἵνα ταύτῃ βαρύτερον γένηται ἀποστάντος τοῦ ἀνοχοῦντος (γλίσχρας γὰρ οὔσης τῆς ὑγρότητος οὐκ ἐᾷ τὸ πνευματῶδες διαφορηθῆναι)· οὔτε μὴν ἡ ὑγρότης διαφορεῖται μενούσης τῆς πνευματώδους οὐσίας, ἵνα ταύτῃ παχύτερον γένηται καὶ κουφότερον. ἀλλ' ὁμοτίμως διαφορεῖται ἥ τε ὑγρότης καὶ ἡ ἀερώδης οὐσία, καὶ οὐ συμβαίνει ὀλιγοῦσθαι. παράδειγμα δὲ τοῦ ὀλίγα καὶ παχέα καὶ κοῦφα γίνεσθαι τὰ ἑψόμενα κρέα· ταῦτα γὰρ ἐν τῇ ἑψήσει τὴν ὑγρότητα ἀπολλύντα, ἀνάγκη παχύτερα αὐτὰ εἶναι καὶ κοῦφα μετὰ τοῦ ὀλιγοῦσθαι. ὅθεν καὶ πλείονος τιμῆς ταῦτα ποιοῦνται διὰ τὸ ὀλίγην ὁλκὴν ἔχειν τὰ

---

*) Vide Beckmann *Beitr. zur Gesch. der Erfindungen* Vol. II p. 414. Schneider ad Caton. *de re rustic.* c. 130.

**) Ald. *ῥῦπον*.

†) Nullum lacunae signum apud Aldum deprehenditur: at plura excidisse verba, nemini dubium esse potest.

††) Ald. *βραδύτερον*.

κρέα τὰ πολλά. τοῦ δὲ ὀλίγα καὶ βαρύτερα γίνεσθαι τὰ ἑψόμενα παράδειγμα ὁ χαλκὸς ὁ κεκαυμένος. οὗτος γὰρ ἐν τῇ καύσει ἀποτίθεται τὸ ἀερῶδες, ὅπερ εἶχε πολύ, ὥστε ἠχητικὸν αὐτὸν εἶναι *) διὰ τοῦτο, ὡς δηλοῦσι τὰ κύμβαλα καὶ οἱ κώδωνες, τοῦτο ἀποτιθέμενος ἐν τῇ καύσει, βαρύτερος γίνεται **). καὶ ταῦτα μὲν περὶ τῆς ἑψήσεως. ἐφ' οἷς ὁ φιλόσοφος καὶ περὶ ὀπτήσεως διαλέγεται. καὶ τίνα περὶ αὐτῆς παραδίδωσι; πρῶτον μέν, ὅτι ἐργωδέστερον τὴν ὄπτησιν ἐργάζεσθαι, ἤπερ τὴν ἕψησιν. διότι τῶν ὀπτωμένων εὐθὺς οἱ πόροι συμμύουσι διὰ τὴν πολλὴν θερμότητα, καὶ τὰ μὲν ἔξωθεν περιφρύττεται ***), τὰ δὲ ἔνδον μένει ὠμά. καὶ οὐκ ἔστι τὴν ὄπτησιν ὁμαλὴν ἐργάσασθαι, τὴν δ' ἕψησιν ὁμαλὴν δυνατόν, ὡς ἂν διϊκνουμένης τῆς θερμασίας καὶ περὶ τὸ βάθος. ὅθεν καὶ ἀκριβέστερον ὑπὸ φύσεως γένοιτ' ἂν ἡ ὄπτησις, ἢ ὑπὸ τέχνης, ὡς ἂν τῆς φύσεως δυναμένης μετρῆσαι τὸ θερμόν, ὡς μὴ εὐθὺς περιφρύξαι τὴν ἐκτὸς ἐπιφάνειαν, ἢ μῦσαι τοὺς πόρους παρασκευάσαι. δεύτερον δὲ παραδίδωσι περὶ ὀπτήσεως, ὅτι τὰ ὀπτώμενα ἡδύτερα τῶν ἑψομένων εἰσὶ διὰ τὸ τὴν οἰκείαν αὐτῶν ὑγρότητα ἐναποκλείεσθαι περιφρυττομένης τῆς ἐπιφανείας αὐτῶν †). τρίτον δ', ὅτι ἡ ὄπτησις καὶ ἡ ἕψησις ††) ὑπὸ φύσεως

---

*) Ita locum correxi, cum apud Aldum absque sensu scriptum sit: ὅπερ εἶχε πολὺν ἄνω, καὶ ἠχητικὸν αὐτὸν εἶναι. Cfr. fragmentum Aristotelis περὶ ἀκουστῶν p. 802, b: πολὺ δὲ καὶ ἡ ὄπτησις ἡ τῶν κεράτων συμβάλλεται καὶ πρὸς εὐφωνίαν. μᾶλλον μὲν γὰρ κατοπτηθέντα παραπλήσιον τὸν ἦχον ἔχουσι τῷ κεράμῳ διὰ τὴν σκληρότητα καὶ τὴν σύγκαυσιν· ἐὰν δέ τις αὐτὰ καταδεέστερον ὀπτήσῃ, ἁπαλώτερον μὲν ἀφίησι διὰ η'ν μαλακότητα τὸν ἦχον, οὐ δύναται δὲ γεγωνεῖν ὁμοίως.

**) Quod fit oxydatione (venia sit vocabulo). Cfr. Schneider *Eclog. phys.* Tom. II p. 91, si opus est auctoritate.

***) Lexicis addatur, in quibus solummodo forma περιφρύγω enotata est.

†) Talia in textu, qualem nunc habemus, non reperiuntur. Videtur autem Olympiodorus post verba § 21 legisse aut haec: διὸ καὶ τὰ ὀπτὰ γλυκύτερα τῶν ἑφθῶν, aut alia similia quaedam verba, quae temporis iniuria exciderunt.

††) Ald. ὄψησις.

γίνονται. καὶ εἰς ταῦτα μᾶλλον δεῖ ἀναγαγεῖν τὴν πέψιν, οὐχ ὥς τινες ἐνόμισαν ὑπὸ τὴν σῆψιν ἐκ τοῦ γίνεσθαι ἕλμινθας ἐν τῇ γαστρί, ὅπου ἡ πέψις τῶν σιτίων. λέγομεν γάρ, ὅτι οὐκ ἐν τῇ γαστρὶ γίνονται, ἀλλ' ἐν τοῖς ἐντέροις ἢ τοῖς λεπτοῖς ἢ τοῖς παχέσιν, ὡς δηλοῦσιν αἱ τούτων ἐκκρίσεις, τῷ ταύτας λεπτὰς εἶναι καὶ στρογγύλας, ἅτε ἐν τοῖς λεπτοῖς ἐντέροις γινόμενα, ἀνεμεῖσθαι μόνον, ὡς ἂν τῶν λεπτῶν ἐντέρων παρακειμένων τῇ γαστρί. κάτωθεν δὲ παχείας καὶ λεπτὰς ἐκκρίνεσθαι, παχείας *) μέν, εἰ ἐν τοῖς παχέσιν ἐντέροις ὦσι γεγενημέναι, λεπτὰς δὲ καὶ στρογγύλας, εἰ ἐν τοῖς λεπτοῖς. ᾧ δῆλον, ὅτι ἐντὸς γίνονται καὶ οὐκ ἐν τῇ γαστρί. οὐ γὰρ ἔφερεν ἡ φύσις τοσαύτην ἔμφραξιν καὶ σῆψιν ἐν τῇ γαστρί. τελευταῖον δὲ προστίθησιν ὁ Ἀριστοτέλης, ὅτι οὐκ ἀντίκειται τῇ ὀπτήσει ἡ στάθευσις. ἢ λέγομεν, ὅτι ἡ δυναμένη αὐτῇ καὶ τῇ ἑψήσει ἀντικεῖσθαι· καὶ γὰρ η μόλυνσις στάθευσίς τίς ἐστιν. ἀλλ' ἀνώνυμόν ἐστι τὸ κυρίως ἀντικείμενον τῇ ὀπτήσει. — Olympiodorus fol. 65, a. b.

III, 10. *Τοῦτο δ' ἂν εἴη, ὥσπερ εἴρηται, πνευματῶδες ἢ ὑδατῶδες*] Τοῦτό φησι· τῷ **) ἐν τῷ ἑψομένῳ ὑγρῷ ἔν τισι μέν ἐστι πνευματῶδες, ὥσπερ ἐν ὀσπρίοις· ἔν τισι δ' ὑδατῶδες, ὥσπερ ἐν λαχάνοις· ἐν ἄλλοις δ' ἄμφω, ὥσπερ ἐπὶ τοῦ γλεύκους. — Olympiodorus fol. 65, b.

III, 11. *Τὸ γὰρ ἐπὶ τῶν τηγάνων ὀπτᾶται.*] Εἰπὼν δὲ καὶ ἀποδοὺς τὸν λόγον τῆς ἑψήσεως, ἐπεὶ δοκεῖ καὶ τὰ τηγανιζόμενα ἐν ὑγρῷ θερμῷ τηγανίζεσθαι, θερμαινομένου γὰρ τοῦ ἐν τῷ τηγάνῳ ἐλαίου. ἢ ἐν ᾧ ἂν ὑγρῷ καὶ τηγανίζεταί τινα, ἐκεῖνα μεταβάλλει καὶ οὐ λέγεται ἕψεσθαι, ἀλλὰ τηγανίζεσθαι, ὅτι μηδὲ τὰ τηγανιζόμενα ὑπὸ τοῦ ἐν τῷ ὑγρῷ θερμοῦ πάσχει ὡς τὰ ἑψόμενα, ἀλλ' ὑπὸ τοῦ ἔξω πυρός, ὥσπερ καὶ τὰ ὀπτώμενα δείκνυσι. διὸ καὶ τὰ τηγανιζόμενα ὀπτᾶται μᾶλλον ἢ ἕψεται. ὑπὸ γὰρ τοῦ ἔξωθεν θερμοῦ, τουτέστιν ὑπὸ τοῦ πυρός, τὰ τηγανιζόμενα μεταβάλλει τε καὶ πάσχει, ἀλλ' οὐχ ὑπὸ τοῦ ἐν τῷ περιέχοντι αὐτὰ ὑγρῷ θερμοῦ. ὅτι γὰρ μὴ ὑπ' ἐκείνου πάσχει, σημεῖον τὸ τὸ περιέχον αὐτὰ

---

*) Ald. παχέας. **) τῷ delendum videtur.

ὑγρὸν πάσχειν μᾶλλον ὑπὸ τῶν τηγανιζομένων. θερμαινόμενα γὰρ ἐκεῖνα ὑπὸ τοῦ πυρὸς τοῦ πεπυρακτωμένου σιδήρου τὸ περικείμενον αὐτοῖς ὑγρὸν ξηραίνει εἰς αὐτὰ ἀναλαμβάνοντα. τὸ δέ, τὸ ἑψόμενον, τὸ ἐναντίον τούτου ποιεῖ. οὐ γὰρ μόνον οὐκ ἀναλαμβάνει εἰς αὐτὰ τὸ περικεχυμένον αὐτοῖς ὑγρόν *), ἀλλὰ πάσχοντα ὑπ' αὐτοῦ καὶ μεταβαλλόμενα καὶ θερμαινόμενα, ἐκκρίνει καὶ τὴν ἐνυπάρχουσαν αὐτῶς ὠμοῖς οὖσιν ὑγρότητα. — Alexander fol. 129, b.

III, 14. *Λέγεται δὲ καὶ χρυσὸς ἕψεσθαι ...... ταῖς διαφοραῖς*] Λέγεσθαι δέ τινά φησι καὶ ἄλλα ἕψεσθαι οὐ κυρίως, ἀλλὰ μεταφορικῶς· καὶ γὰρ χρυσὸς καὶ ξύλα καὶ ἄλλα τινὰ οὐ κατὰ ταὐτὸν εἶδος λεγόμενα, ἀλλὰ μεταφορικῶς, διὰ τὸ μὴ πάσαις ταῖς διαφοραῖς οἰκεῖα ὀνόματα κεῖσθαι. οὐ γὰρ τῷ ἐν τῷ χρυσῷ ὑγρότητα ὑπὸ τῆς ἐν τῷ ὑγρῷ θερμότητος κρατεῖσθαι, ὁ χρυσὸς ἕψεσθαι λέγεται, ἀλλ' οὐδὲ ξύλα. προείρηκε γάρ, ὅτι τὰ τοιαῦτα τῶν σωμάτων οὐκ ἐστιν ἑψητά, οὐδὲ ἐν ὑγρῷ τίθεται θερμῷ, ὥστε ὑπὸ τούτου κρατηθεῖσαν τὴν ἐν αὐτοῖς ὑγρότητα ἐκκριθῆναι. μεταφορικῶς δὲ ἀπό τινος ὁμοιότητος καὶ ταῦτα ἕψεσθαι **) λέγεται, ὅταν ὑπὸ πυρὸς θερμαινομένων αὐτῶν, ἐκκριθῇ τι τῶν ἐν αὐτοῖς ὑγρῶν. ὅταν γὰρ ἐπὶ τοῦ χρυσοῦ ἡ τοιαύτη ὑπὸ τοῦ πυρὸς ἔκκρισις τῆς ἀλλοτρίας ὑγρότητος ἐγκαταμεμιγμένης αὐτῷ γένηται, οἷον ἀργύρου, ἢ χαλκοῦ, ἤ τινος ἄλλου, τότε ἕψεσθαι λέγεται. ὁμοίως καὶ τἆλλα τὰ μεταλλευόμενα. καὶ τὰ ξύλα δέ, ὧν διὰ τὸ πλησίον πῦρ ὁ καπνὸς ἐκκέκριται καὶ γέγονε ξηρά, ἑψῆσθαι λέγεται. ἃ καὶ ἄκαπνα καλεῖται ***). — Alexander fol. 130, a.

III, 19. *Μόλυνσις δὲ ἀπεψία μέν, ἐναντία δ' ἑψήσει*] Εἰπὼν περὶ ἑψήσεως μέτεισιν ἐπὶ τὸν περὶ μολύνσεως λόγον, ἥτις ἐναντία τῇ ἑψήσει. καί φησιν αὐτὴν εἶναι τὴν ἐναντίαν ἀπεψίαν τῇ ἑψήσει. εἴη δ' ἂν ἐναντία ἥ τε πρώτη λεχθεῖσα, ἀντὶ τοῦ ἡ τῇ πρώτῃ λεχθεῖσα τῇ ἑψήσει ἐναντία. οὐ γὰρ

---

*) Anacoluthon procul dubio ab ipso autore profectum est, plurali se paulo ante numero usum esse arbitrato.

**) Ald. ἑψῆσθαι.

***) Vide supra ad Exc. III, 3, 10. p. 188.

*τί ποτέ ἐστιν ἡ μόλυνσις εἴρηκεν ἤδη, ἀλλ' ἢ δυνάμει. εἰπὼν γὰρ τίς ποτέ ἐστιν ἡ πρώτη τε καὶ κυρίως λεγομένη ἕψησις, εἴρηκε δυνάμει καὶ τὴν ἐναντίαν αὐτῇ μόλυνσιν. ἐπειδὴ γὰρ ἦν ἡ ἕψησις πέψις τοῦ ἐν τῷ ἑψομένῳ σώματι ἀορίστου ὑγροῦ ὑπὸ τῆς ἐν τῷ πέριξ θερμότητος, εἴη ἂν καὶ ἡ ἐναντία αὐτῇ μόλυνσις ἀπεψία, ὥς ὁριζόμενος λέγει, τοῦ ἐν τῷ σώματι ἀορίστου δι' ἔνδειαν τῆς ἐν τῷ πέριξ ὑγρῷ θερμότητος. ὅτι δὲ ἡ τοῦ θερμοῦ ἔνδεια μετὰ σήψεως, εἰρῆσθαί φησιν. εἶπε γὰρ κατὰ τὴν ἀρχὴν τοῦ βιβλίου, ὅτε ἔλεγε περὶ φθορᾶς *) καὶ σήψεως. εἰπὼν γάρ, τί ἐστι σῆψις, ἐπήνεγκεν, ὥστ' ἐπεὶ κατ' ἔνδειαν πάσχει θερμοῦ, τὸ δὲ ἐνδεὲς τῆς τοιαύτης δυνάμεως ψυχρὸν πᾶν, ἄμφω ἂν αἴτια **) εἴη. τούτου δὲ νῦν ὑπομιμνήσκει. γίνεται γάρ φησι διὰ κίνησιν ἄλλην ἡ μόλυνσις καὶ ἡ προειρημένη ἀπεψία γίνεται τῷ μὴ κινεῖν καὶ μεταβάλλειν τὸ θερμόν, ἀλλὰ τῷ ὑπὸ τῆς τοῦ ψυχροῦ γινομένης κινήσεως ἐκκρούεσθαι καὶ ἡττᾶσθαι τὴν πέττουσαν, τουτέστι τὴν θερμήν, πρὸς τὸ κινεῖν.* — Alexander fol. 130, b.

Ὁρισμὸν νῦν λέγει τῆς μολύνσεως, οὐ πάσης, ἀλλὰ τῆς πρώτης. τίς δ' ἐστὶν ἡ πρώτη μόλυνσις; ἢ δῆλον, ὅτι ἡ ἀντικειμένη τῇ κυρίως ἑψήσει. ἡ δὲ τῇ κατὰ μεταφοράν. αὕτη οὖν φησιν ἀπεψία τίς ἐστι τοῦ ἐν τῷ ἑψομένῳ ὑγροῦ. γίνεται δὲ διὰ τέσσαρας αἰτίας· ἢ γὰρ διὰ τὴν τοῦ περιέχοντος ψύξιν, ἢ ἔνδειαν πυρός, ἢ διὰ πλῆθος ὕδατος βαλλομένου ψυχροῦ, ἢ διὰ πλῆθος τῶν ἑψομένων. καὶ ταῦτα αὐτὸς κατὰ τὴν λέξιν παραδίδωσι. — Olympiodorus fol. 66, a.

III, 21 sqq. *Τί ποτέ ἐστιν ὄπτησις καὶ τίνι διαφέρει ἑψήσεως ἔδειξεν. ἀμφότεραι μὲν γὰρ πέψεις τινὲς οὖσαι γίνονται ὑπ' ἀλλοτρίας θερμότητος, οὐχ ὥσπερ ἡ πέπανσις ὑπὸ οἰκείας. ἀλλήλων δὲ διαφέρουσι, καθόσον ἡ μὲν ἕψησις ὑπὸ ὑγρᾶς γίνεται θερμότητος, ἡ δὲ ὄπτησις ὑπὸ ξηρᾶς. ὑπὸ γὰρ αὐτοῦ τοῦ πυρὸς πέσσεται καὶ ὁρίζεται ἡ ἐν τοῖς ὀπτωμένοις ὑγρότης ἢ αὐτῷ τῷ πυρὶ ἐπικειμένων, ἢ καὶ διά τινος ἀγγείου, ὑποκειμένου τοῦ πυρὸς τῷ ἀγγείῳ μηδὲν ἔχοντι ὑγρόν, ἢ ἔχοντι μέν, ὥσπερ ἐπὶ τῶν τηγανιζομένων, μὴ μέντοι καὶ κρατοῦν*

---

*) Ald. *φορᾶς.* **) Ald. *αἰτία.*

αὐτὸ τῆς ἐν τῷ ὀπτωμένῳ ὑγρότητος, ἀλλὰ κρατουμένου ὑπ' αὐτοῦ. εἶπε γάρ, ὅτι καὶ ἡ τηγάνισις *) εἶδος ὀπτήσεώς ἐστιν. ὁρισάμενος δὲ τὴν ὄπτησιν καὶ εἰπὼν αὐτὴν γίνεσθαι ὑπ' ἀλλοτρίου θερμοῦ ξηροῦ, διὰ τὸ τοιοῦτον εἶναι τὴν ὄπτησιν, φησὶ καὶ οὕτω γίνεσθαι, κἂν ἕψων τις ποιῇ μεταβάλλειν τὸ ἑψόμενον, καὶ πέττεσθαι τὸ ἐν αὐτῷ ὑγρὸν μὴ ὑπὸ τῆς τοῦ περικεχυμένου αὐτοῦ ὑγροῦ θερμότητος, ἀλλ' ὑπὸ τῆς τοῦ πυρός. ὅταν γὰρ ἐπιτελεσθῇ ἡ πέπανσις ἐν αὐτῷ, ὀπτὸν τοῦτο γίνεται, οὐχ ἑφθόν. τοῦτο δὲ συμβαίνει, ὅταν τὸ ὕδωρ ὀλίγον ᾖ καὶ ἡ τοῦ πυρὸς δύναμις αὐτὴ περικρατῇ τοῦ ἑψομένου, ἀναξηραίνουσα αὐτό. κἂν ὑπερβάλλῃ ἐν τοῖς ἐν ὀλίγῳ ὕδατι ἑψομένοις ἡ ἀπὸ τοῦ πυρὸς θερμότης, προσκεκαῦσθαι λέγεται τὰ οὕτως ἑψόμενα, ὡς ὑπὸ τοῦ πυρὸς πάσχοντα τοῦτο. πᾶν γὰρ τὸ ξηρότερον γινόμενον, μετὰ τὸ ἐπιτελεσθῆναί τε καὶ πεφθῆναι, ὑπὸ ξηρᾶς θερμότητος τοῦτο πάσχει. διὰ τοῦτο γάρ φησι τῶν ὀπτῶν τὰ ἐκτὸς ξηρότερα εἶναι τῶν ἐντός, ὡς ἀναξηραινομένης αὐτῶν τῆς ἐπιφανείας ὑπὸ τοῦ πυρὸς τῷ πλησίον αὐτῆς εἶναι. οὐκέτι δὲ καὶ ἐκκρινομένης τῆς ἐν τῷ βάθει ὑγρότητος τῷ φθάνειν πυκνοῦσθαι μᾶλλον θερμαινόμενα τὰ ἐκτὸς αὐτῶν ὄντα τοῦ πυρὸς πλησίον. ἐπὶ δὲ τῶν ἑφθῶν ἔμπαλιν ἔχει. ὑγρότερα γὰρ τὰ ἐκτὸς τῶν ἐντός, τῷ τὰ μὲν ἐκτὸς αὐτῶν ὑπὸ τοῦ ἕψοντος αὐτὰ ὑγροῦ διϋγράνθαι, τὰ δ' ἐν βάθει διὰ τὴν ἔκκρισιν τοῦ ἐν αὐτοῖς ὑγροῦ ἀναξηράνθαι. διὸ καὶ μεῖζον ἔργον ἐπὶ τῶν κατὰ τέχνην γινομένων καὶ χαλεπώτερον τὸ ὀπτῆσαι τοῦ ἑψῆσαι. χαλεπὸν γὰρ ἐπ' αὐτῶν ὁμαλῶς καὶ ὁμοίως τὰ ἐντὸς τοῖς ἐκτὸς θερμαίνειν. ἀεὶ γὰρ τὰ ἐγγύτερον τοῦ πυρὸς ξηραίνεται θᾶττον. θᾶττον δὲ ταῦτα θερμαινόμενα καὶ συνιόντα καὶ πυκνούμενα κωλύει ἐκκρίνεσθαι τὸ ἐνυπάρχον ὑγρὸν ἐν τοῖς ὀπτωμένοις. ἐγκατακλείεται γὰρ ἐντός, ὅταν οἱ πόροι μύσωσι πυκνωθέντες. ἀντέθηκε δὲ κατὰ τέχνην γινόμενα τοῖς φύσει, ὡς καὶ ἐν τοῖς φύσει γινομένοις, ὡς ἐρεῖ, τῶν μὲν ἑψομένων, τῶν δὲ ὀπτωμένων. μιμεῖται γὰρ ἡ τέχνη τὴν φύσιν. ὅταν μὲν γὰρ ὑπὸ τῆς ἐν τῷ ὑγρῷ θερμότητος πεφθῇ ἡ τροφή, ἥτις ὑγρότης ἐστίν, ἐν οἷς ἡ πέψις μορίοις γίνεται, τῇ τροφῇ μεμιγμένη

*) Lexicis addatur. Vide ad Exc. IV, 3, 10, p. 187.

αὐτῇ, ἕψησις τοῦτο φυσική. ὅταν δὲ πλεῖον τὸ θερμὸν αὐτὸ γενόμενον, ἀναξηραῖνον τὴν ὑγρότητα κατισχύσῃ αὐτῆς, ὀπτήσει τι ὅμοιον γίνεται, καὶ λέγεται προσκεκαῦθαι ἡ τροφή. διὸ οὐ μόνον αἱ κρατηθεῖσαι ὑπὸ τοῦ ψυχροῦ τροφαὶ ἄπεπτοι, ἀλλὰ καὶ αἱ ὑπὸ τοῦ θερμοῦ τὸν εἰρημένον γινόμενοι τρόπον. λέγει δὲ ἐν τῇ τῆς τροφῆς πέψει, ἥτις ἐν τῇ ἄνω κοιλίᾳ γίνεται, μηδὲ ζῷον γεννᾶσθαι, ὥς τινες ᾤοντο, ἀλλ' ἐν τοῖς περιττώμασι καὶ τῇ ἀποκρίσει καὶ τῇ κάτω κοιλίᾳ σηπομένῃ, ὡς ἐπὶ τῶν ἐκτὸς σηπομένων ὁρᾶταί τινα ζῷα, ὡς προείρηκεν, ὅτε ἔλεγε περὶ σήψεως. γεννώμενα δὲ οὕτω τε καὶ ἐνταῦθα ἐπάνεισι πολλάκις ἐπὶ τὴν ἄνω κοιλίαν. ἐστὶ δὲ ταῦτα αἵτε λεγόμεναι τερηδόνες καὶ οἱ ἕλμινθες. διὸ πολλάκις ἐν τοῖς νόσοις καὶ ἐμοῦνται. τὴν δ' αἰτίαν τοῦ κάτω μὲν γίνεσθαι αὐτά, ἐπανιέναι δὲ πολλάκις καὶ ἐπὶ τὴν ἄνω κοιλίαν, ἐν ἑτέροις εἰρῆσθαί φησιν. ἐν γὰρ τοῖς προβλήμασι*). κάτω μὲν γὰρ καὶ ἐν τῇ κάτω κοιλίᾳ, ὅτι ἐκ σήψεως γίνεται. ἐνταῦθα δὲ ἡ σῆψις. ἐπάνεισι δὲ ἐν τοῖς νόσοις καὶ ἐπὶ τὴν ἄνω κοιλίαν, δι' ἃς ἐν ἐκείνοις αἰτίας λέγει. — Alexander fol. 131, a.

III, 25. *Καὶ ζῷον οὐκ ἐγγίνεται τῇ πέψει, ὥς τινές φασι*] Τοῦτο ὡς πρὸς τοὺς σῆψιν εἶναι τὴν πέψιν κατασκευάζοντας [τοῦτο] ἐκ τοῦ γενέσθαι ἕλμινθας ἐν τῇ γαστρὶ ὑπὸ σήψεως, λέγει. οὐ γὰρ γίνονται οἱ ἕλμινθές φησιν, ἔνθα γίνεται ἡ πέψις, τουτέστιν ἐν τῇ γαστρί, ἀλλ' ἐν τοῖς ἐντέροις. ὅταν δὲ μέλλῃ ἐμεῖσθαι, τότε ἀνέρχονται ἄνω. — Olympiodorus fol. 66, a.

IV, 1. *Τῶν δὲ παθητικῶν τοῦ ὑγροῦ καὶ τοῦ ξηροῦ ληπτέον τὰ εἴδη*] Μετὰ τὰ γενικώτατα τῶν συν-

---

*) In problematis, quae hodie supersunt, nihil tale reperitur. Problemata olim pleniora fuisse ac locupletiora ex unius Gellii scriptis abunde patet. cfr. *Noctt. Attic.* I, 11. III, 6. XIX, 24. 6. Schol. Farnesin. Stob. *Eclog.* II, 9, 7. Tom. II, p. 464 Heeren, ut alia fragmenta, quorum magna superest copia, praeteream. Vide etiam *Meteorol. vet. Graec. et Romanor.* I, 4 p. 34. Ad nos nihil, nisi *ἐγκύκλια προβλήματα* venisse videntur, quorum hoc sub nomine mentionem fecit Gellius XX, 5 respiciens ad *Problem.* XXX, 10. Adde locum *de generat. animal.* IV, 7 p. 775, b, ubi ad problemata provocatur in re, de qua nunc nihil in iis expositum deprehenditur.

θέτων, γένεσιν λέγω καὶ φθορὰν καὶ τὰ τούτων ποιητικὰ αἴτια, τὸ θερμὸν καὶ τὸ ψυχρόν, καὶ τὰ εἴδη πέψιν καὶ ἀπεψίαν, καὶ τῶν εἰδῶν τὰς διαφοράς, πέπανσιν, ὄπτησιν, ἕψησιν, καὶ πάλιν ἀπεψίαν, μόλυνσιν, στάθευσιν, τρέπεται νῦν ὁ φιλόσοφος καὶ ἐπὶ τὰς δέκα ὀκτὼ ἀντιθέσεις, ἃς ποιεῖ μὲν τὸ θερμὸν καὶ τὸ ψυχρόν, πάσχει δὲ τὸ ξηρὸν καὶ τὸ ὑγρόν, δύο τινὰ προλαβών, πρῶτον μέν, ὅτι τῶν συνθέτων ὕλη ἐστὶ τὸ ξηρὸν καὶ τὸ ὑγρόν, δεύτερον, ὅτι οὐ τὸ τυχὸν ὑγρὸν καὶ ξηρὸν ὕλη ἐστὶ τῶν συνθέτων, ἀλλὰ τὸ ἐν γῇ καὶ ἐν ὕδατι μόνον, οὐκέτι δὲ *) ἐν γῇ καὶ ἀέρι, οὐδὲ τὸ ἐν ἀέρι καὶ πυρί. καὶ κατασκευάζει τὸ πρῶτον, ὅτι ὕλη ἐστὶ τῶν συνθέτων τὸ ὑγρὸν καὶ τὸ ξηρόν, ἐκ τοῦ καθ᾽ αὑτὸ τὸ ὑγρὸν καὶ διαρρεῖν καὶ ἀπόλλυσθαι, τὸ δὲ ξηρὸν καθ᾽ αὑτοῦ διαλύεσθαι. δέονται γὰρ ἀλλήλων πρὸς τὸ συστῆναι. ἐπειδὴ οὖν οὐχ οἷά τε εἰσὶ καθ᾽ αὑτὰ διαμένειν, ἀλλὰ δέονται τῆς ἀλλήλων συνεισφορᾶς, δῆλον ἀεὶ ταὐτὰ ὄντα ὕλη τῶν συνθέτων. ἀλλὰ μὴν καὶ Ἐμπεδοκλῆς τοῦτο οὐκ ἠγνόησεν, ὅτι δέονται ἀλλήλων συνάρσεως. ἔφη γὰρ ἐν τοῖς αὑτοῦ ῥήμασιν· ἄλφιτον ὕδατι κολλήσας, τὸ ὑγρὸν λέγων καὶ τὸ ξηρόν. ὅτι δὲ καὶ τὸ ἐν ὕδατι καὶ γῇ ξηρὸν καὶ ὑγρόν ἐστιν ὕλη τῶν συνθέτων, δῆλον, ἐπειδὴ ἐν τῷ κοιλοτάτῳ τόπῳ τοῦ παντός ἐστιν ἡ γῆ καὶ τὸ ὕδωρ, ἔνθα ταῦτα ὑπάρχουσιν. ὅτι δὲ οὔτε τὸ ἐν τῇ γῇ καὶ ἀέρι ὑγρὸν καὶ ξηρόν ἐστιν ὕλη τῶν συνθέτων, δῆλον, ἐπειδὴ τὸ μὲν ἀνωφερὲς ὄν, τὸ δὲ κατωφερές, ἔμελλον χωρίζεσθαι ἀπ᾽ ἀλλήλων, καὶ οὐκ ἔτι σύνθεσις ἦν τῶν συνθέτων, ἀλλὰ διάλυσις· οὔτε μὴν τὸ ἐν πυρὶ καὶ ἀέρι ὑγρὸν καὶ ξηρόν, ἐπειδὴ τὸ ἐν πυρὶ ξηρὸν δραστικώτατον ὂν ἀνήλωσεν ἂν τὸ ἐν ἀέρι ὑγρόν, καὶ οὐκ ἔτι γένεσις ἦν τῶν συνθέτων, ἀλλὰ φθορά. ἀλλ᾽ ἄξιόν ἐστιν ἀπορίας, πῶς τὸ ἐν τὸ ξηρὸν**) εἰδοποιητικὸν ὂν δραστικώτατον οὐ λέγομεν, τὸ δ᾽ ἐν τῷ πυρὶ ξηρὸν μὴ ὂν εἰδοποιὸν τοῦ πυρὸς δράστικον λέγομεν. ἢ ῥητέον, ὅτι αἱ ἐν τοῖς δραστικοῖς στοιχείοις ποιότητες, κἂν μὴ ὦσιν εἰδοποιοί, δραστικώτεραι τῶν ὑλικῶν στοιχείων εἰσί. πάλιν δ᾽ ἄξιόν ἐστιν ἀπορίας, πῶς νῦν ὁ Ἀριστοτέλης ὕδωρ ἀπονέμει

*) Videtur excidisse τό.

**) Corrigas πῶς τὸ ἐν τῇ γῇ ξηρόν et q. s.

τῷ ὑγρῷ, ὡς ἂν τοῦτο εἰδοποιούμενον τὸν ἀέρα. ἢ ῥητέον, ὅτι διττὸν τὸ ὑγρόν, τὸ μὲν ὡς καθ' αὑτό, τὸ δὲ ὡς πρὸς *) τὰ σύνθετα. ὡς μὲν καθ' αὑτό, ὅταν αὐτὴν τὴν φύσιν τοῦ ὑγροῦ τις ἐξετάζει· ὡς δὲ πρὸς τὰ σύνθετα, ὅταν τὴν πρὸς αὐτὰ γενομένην τοῦ ὑγροῦ ἐνέργειαν. ὅταν οὖν λέγῃ, ὅτι τὸ ὑγρὸν τοῦ ἀέρος ἐστί, τηνικαῦτα τὴν καθ' αὑτὸ φύσιν τοῦ ὑγροῦ ἐξετάζει. πάντων γὰρ τῶν ἄλλων στοιχείων ὑγρότατός ἐστιν ὁ ἀήρ, ὡς ῥυτὸς μᾶλλον τοῦ ὕδατος. ὅταν δὲ τῷ ὕδατι ἀπονέμῃ τὸ ὑγρόν, ὡς πρὸς τὰ σύνθετα ἀφορῶν τοῦτο λέγει. μᾶλλον γὰρ ἡμᾶς ὑγραίνει τὸ ὕδωρ ἤπερ τὸ ἀήρ, ἐπειδὴ τὸ μὲν ὕδωρ κατωφερὲς ὄν, ὥσπερ τὰ σύνθετα, ἐπὶ πλείονα χρόνον ὁμιλεῖ τοῖς σώμασιν, ἅτε δὴ σὺν αὐτοῖς. ὁ δὲ ἀὴρ ἀνωφερὴς ὢν καὶ σπεύδων ἐπὶ τὴν οἰκείαν φορὰν οὐκ ἐμβραδύνει περὶ τὰ σώματα. καὶ τούτου χάριν ἧττον ὑγραίνει τοῦ ὕδατος. ταῦτα προλαβὼν ὁ φιλόσοφος ἄρχεται τῶν ιη̅ ἀντιθέσεων καὶ διαλέγεται πρῶτον περὶ τοῦ μαλακοῦ καὶ τοῦ σκληροῦ· τοῦτο δὲ ποιεῖ εἰκότως· ἐπειδὴ ἀντίφασιν ταῦτα μιμοῦνται, καίτοι καταφατικὰ ὑπάρχοντα, ὥσπερ τὸ ἄρτιον καὶ τὸ περιττόν. καὶ ὁρισμοὺς τούτων παραδίδωσι. καί φησιν, ὅτι μαλακόν ἐστι τὸ ὑπεῖκον τῇ ἁφῇ, σκληρὸν δὲ τὸ μὴ ὑπεῖκον. ἀλλ' ἐπειδὴ ὁ ἀὴρ καὶ τὸ ὕδωρ ὑπείκει τῇ ἁφῇ, Ἀριστότελες, παρὰ τοῦτο μαλακός ἐστιν ὁ ἀὴρ καὶ τὸ ὕδωρ. οὐκοῦν δεῖ **) προσθῆναι, οὐ τὸ ὑπεῖκον τῇ ἁφῇ κατὰ βάθος, ἀλλὰ ἀδιαιρέτου μενούσης τῆς ἐπιφανείας, οἷον ὁ κηρὸς καὶ τὸ στέαρ ἤ τι τοιοῦτον. ὁ μὲν γὰρ ἀὴρ καὶ τὸ ὕδωρ οὐ μόνον κατὰ βάθος, ἀλλὰ καὶ κατα πλάτος ὑπείκει διαιρούμενα. τὰ δὲ μαλακὰ ἀδιαίρετα μένοντα ὑπείκει κατὰ βάθος. ἐντεῦθεν δὲ λαμβάνεται ὁ Ἀφροδισιεὺς τοῦ φιλοσόφου ***), ἐπειδὴ εἶπε τὴν ἁφὴν παντὸς σκληροῦ καὶ παντὸς μαλακοῦ αἰσθάνεσθαι. οὐ γὰρ παντός φησιν

*) Praepositio deest apud Aldum.

**) Ald. δή. Cfr. Comment. ad I, 3, 4. Vol. I p. 336.

***) In Alexandri commentariis, quales nunc habemus, nihil tale reperitur. Saltem, quamvis ibi (verba ad § 9 adscribemus) moneatur paria a paribus tactu percipi non posse, in Aristotelem non invehitur Alexander, sed quam proponit sententiam, eam ex ipsius Aristotelicis verbis, quod sane facile erat, eruit.

*αἰσθάνεσθαι. οὐ δήπου γὰρ τὰ ὅμοια τοῖς ὁμοίοις, ἀλλὰ μᾶλλον τοῦ ἀνομοίου. ὁ δὲ μέγας φιλόσοφος**) *καλῶς ἔφη λέγειν τὸν Ἀριστοτέλην. οὐ γὰρ ὅμοιον ἔλεγεν εἶναι τὸ ἁπτὸν τοῦ ἁπτοῦ, ἐπειδὴ οὐχ οἱ***) *δάκτυλοί εἰσιν οἱ αἰσθανόμενοι τοῦ μαλακοῦ καὶ σκληροῦ, ἀλλὰ τὸ πνεῦμα τὸ ἁπτικόν, ὅπερ ἐν αὐτοῖς ἐμπεριέχεται. τοῦτο δ᾽ οὔτε μαλακόν ἐστιν, οὔτε σκληρόν, εἴγε οὔτε ὁ ἀήρ. ἀλλὰ μᾶλλον ἔδει λέγειν, ὅτι οὐ παντὸς θερμοῦ καὶ ψυχροῦ αἰσθάνεται ἡ ἁφή· οὐ γὰρ καὶ τοῦ ἀνομοίου· ὅθεν οἱ δάκτυλοι ἅμα γέ πως αἰσθάνονται ἀλλήλων καὶ οὐ κυρίως διὰ τὸ ὁμοίως κεκρᾶσθαι καὶ ἐλάχιστον εἶναι ἐν αὐτοῖς τὴν παρατροπήν. ταῦτα μὲν οὖν περὶ τοῦ ὁρισμοῦ τοῦ μαλακοῦ καὶ τοῦ σκληροῦ καὶ τῆς ἀπορίας. ἐφ᾽ οἷς φησιν, ὅτι τὸ μαλακὸν καὶ τὸ σκληρὸν πρός τί εἰσι τὰ τοιαῦτα. ἄλλο γὰρ ἄλλῳ μαλακόν, καὶ ἄλλῳ ἄλλο σκληρόν. ἰδοὺ γοῦν ἀθλητής τις ὤφθη τὰ λεγόμενα βολία διαθρύξας καίτοι σκληρὰ ὄντα τῇ ἁφῇ· ἀλλ᾽ ὅμως ἐκείνῳ μαλακὰ γέγονεν. οὕτω δὲ καὶ ὁ Τυανεὺς Ἀπολλώνιος, τί ποτέ ἐστι λόγος ἔφη, ᾧ τοῦτο εἴκει τὸν δάκτυλον κατὰ λίθου προσαγαγών, καίτοι λίθου πρὸς τὴν ἁφὴν τοῦ δακτύλου ὑποχωρήσαντος.* — Olympiodorus fol. 66, b.

IV, 1. *Εἰσὶ δὲ αἱ μὲν ἀρχαὶ τῶν σωμάτων αἱ παθητικαὶ ὑγρὸν καὶ ξηρόν.*] *Παθητικὰς ἀρχὰς ἐκάλεσε τὰς ὑλικὰς ποιότητας. ἔθος γὰρ αὐτῷ μὴ μόνον τὸ ποιητικὸν αἴτιον ἀρχὴν καλεῖν, ἀλλὰ καὶ τὸ ὑλικόν. τοῦτο γὰρ καὶ ἐν τῇ φυσικῇ πεποίηκεν****). — Olympiodorus fol. 67, a.

---

*) Ammonius. cfr. Vol. I, p. 185. **) Ald. ἡ.

***) Adscribimus explicationis gratia Trendelenburgii verba ad Aristotelem *de anim.* I, 1, 1 p. 187 sq.: *ἀρχή*, quae vox apud Aristotelem late patet, principium est, a quo quid proficiscitur, principium, unde movetur. Ita fit, ut latis his finibus nec materia, nec forma, nec finis seiungantur. Omnes enim hae notiones sive cunctae sive singulae eius modi sunt, unde ad rei naturam motus accedat. Quae ex his cum maxime ad rem constituendam valere cogitatur, *ἀρχή* dicitur. Cfr. *Metaphysic.* IV, 1 p. 86 Br. p. 1012 Bekk. *Phys.* I, 6 p. 16 Sylb. p. 189 Bekk. *τὸ γὰρ ὑποκείμενον ἀρχὴ καὶ πρότερον δοκεῖ τοῦ κατηγορουμένου εἶναι.* Haec vero temporis, quo principium consequenti

IV, 2. *Πάντα δὲ τὰ μὲν ἐντελεχείᾳ ἔσται, τὰ δ' ἐν τῷ ἀντικειμένῳ*] Πάντα δέ φησι τὰ πάθη τὰ ἐν τοῖς σώμασι τὰ μὲν ἐντελεχείᾳ ἔσται ἐν αὐτοῖς, τὰ δὲ δυνάμει. ἢ πάντα τὰ σώματα, ἢ τῷ ἐντελεχείᾳ εἶναι ἐν τῷ πάθει ῥηθήσεται σῶμα, ἤτοι ἐνεργείᾳ τοιοῦτον εἶναι, ἢ τῷ δύνασθαι. τίνι δὲ διαφέρει τὸ ἐντελεχείᾳ καὶ τὸ δυνάμει δεικνὺς παρέθετο. ἔχει δὲ οὕτω τῆξις πρὸς τὸ τηκτόν. τηκτὸν μὲν γὰρ καλεῖται τῷ δύνασθαι τήκεσθαι. τήκεται δέ, ᾧ ἐνεργείᾳ ἡ τῆξις ἤδη πάρεστιν *). — Alexander fol. 131, b.

Πάντα φησὶ τὰ σύνθετα τὰ μὲν δυνάμει ξηρά, ὥσπερ λίθος, τὰ δ' ἐνεργείᾳ, ὥσπερ γῆ. καὶ τὰ μὲν δυνάμει ὑγρά, ὥσπερ ἅλες, νίτρον, τὰ δ' ἐνεργείᾳ ὑγρά, ὥσπερ ὕδωρ. — Olympiodorus fol. 67, a.

IV, 4. *Λέγεται δὲ τῶν στοιχείων ἰδιαίτατα, ξηρὸν μὲν γῆς, ὑγρὸν δὲ ὕδατος*] Τὸ δεύτερον πρόβλημα τὸ λέγον, ὅτι ἐν γῇ καὶ ὕδατι ὑγρὸν καὶ ξηρόν, τουτέστιν ὕλη τῶν συνθέτων. τούτων γὰρ τῶν σωμάτων εἰσὶν αὗται ἰδιαίταται. ἐντεῦθεν ὁ Πορφύριος ὠφεληθεὶς τὸ ἰδιαίτατα, εἶπεν αὐτὸ ἐπὶ τῆς διαφορᾶς ἐκ ταύτης τῆς λέξεως. καὶ ἡ ἀπορία συγκεκρότηται, πῶς λέγει νῦν ἰδιαίτατα τὸ ὑγρὸν τοῦ ὕδατος **). — Olympiodorus fol. 67, a.

IV, 5. *Καὶ ἐν γῇ καὶ ἐν ὕδατι ζῷα μόνον ἐστίν·*

---

prius est, notio postea exstincta. *De generat. animal.* V, 7 p. 323: τὸ αὐτὴν μὲν αἰτίαν εἶναι πολλῶν, ταύτης δ' ἄλλο ἄνωθεν μηδέν. Ita fit, ut anima animalis dicatur *ἀρχή*: anima enim continetur, qua sublata tollitur animal (cfr. *de anim.* II, 2, 6). In hanc enim sententiam dicitur ἀρχὴ γὰρ τὸ συναιροῦν. Quae verba leguntur *Metaphys.* V, 1 p. 213 Br. p. 1060 Bekk.

*) Bene h. l. dixit *ἐνεργείᾳ* non *ἐντελεχείᾳ*. Priorem enim, actione propiorem, substantiva in *σις* desinentia, posteriorem ad statum quendam iam vergentem substantiva in *μα* exeuntia exprimunt, quamvis utriusque terminationis substantiva saepenumero confundantur (Cfr. Lobeck. ad Phrynich. p. 351), ut neque discrimen inter *ἐντελέχειαν* et *ἐνέργειαν* ab ipso Aristotele (*Phys.* III, 3) statutum, constanter servari solet.

**) Videtur etiam Porphyrius commentarios in Meteorologica conscripsisse. Quid voluerit, equidem non adsequor.

ἐν ἀέρι δὲ καὶ πυρὶ οὐκ ἐστί] Διὰ γὰρ ταύτην τὴν αἰτίαν ἐν ὕδατι μόνον καὶ γῇ γίνονται ζῷα, ἐπειδὴ τὸ ἐν αὐτοῖς ὑγρὸν καὶ ξηρόν, οὐκ ἐστὶ ζῳογόνον. τοῦτο δ' ἴσως καὶ πρὸς Πλάτωνα αἰνιττόμενος λέγει. ἔλεγε γὰρ ὁ Πλάτων *), ὅτι εἰσὶ καὶ πύρινα ζῷα καὶ ἀέρια, ὥσπερ αἱ νύμφαι αἱ λεγόμεναι μακραίωνες. οὐ γὰρ πᾶσα ψυχὴ εἰς γένεσιν ἐρχομένη πάντως κάτεισιν εἰς τοῦτο τὸ χωρίον, ἀλλ' αἱ μὲν τελειότεραι μέχρι τῆς τοῦ πυρὸς σφαίρας, κἀκεῖθεν δὲ ἀναλαμβάνουσι πύρινον **) σῶμα δύσφθαρτον· ἄλλαι δὲ μέχρι τοῦ ἀέρος καὶ ἀναλαμβάνουσιν ἀέριον σῶμα. καὶ ὅρος ἐστὶ ταῖς εἰς γένεσιν ἐρχομέναις τελειοτέραις ψυχαῖς ἡ τοῦ ἀέρος σφαῖρα. μή ποτε οὖν οὐ δοκεῖ τοῦτο τῷ Ἀριστοτέλει ***). — **Olympiodorus** fol. 67, b.

---

*) Apud Platonem, quamvis bonas aliquot horas in loco quaerendo consumserim, epitheton nympharum *μακραίωνες* non repperi. Deprehenditur autem apud Sophoclem *Oed. Tyr.* v. 1099. *Antigon.* v. 987, ubi *μοῖραι μακραίωνες.* Schneiderus in Cur. posterior. ad Aristot. *Histor. animal.* V, 17, 12 Vol. IV p. 406 de hac Olympiodori, quam miram iure vocat, adnotatione ait: „Quae nymphae nullae aliae possunt esse, nisi quas in Fragmento Pindarico 43 p. 77 (150. ed. Heynii p. 147) memoratas olim illustravi." Adde Plutarch. *de defect. oracul.* §. 11. **) Ald. *πύριον.*

***) At eandem sententiam habuisse videtur Aristoteles, si fides tribuenda Ciceroni *de nat. deor.* II, 15: *Cum igitur aliorum animantium ortus in terra sit, aliorum in aqua, in aëre aliorum, absurdum esse Aristoteli videtur, in ea parte, quae sit ad gignenda animalia aptissima, animal gigni nullum putare. Sidera autem aetherium locum obtinent; qui quoniam tenuissimus est, et semper agitatur et viget, necesse est, quod animal in eo gignatur, id et sensu acerrimo et mobilitate acerrima esse. Quare cum in aethere astra gignantur, consentaneum est, in his sensum inesse et intelligentiam; ex quo efficitur in Deorum numero astra esse ducenda.* Quo cum loco conferenda sunt verba Plut. *Plac. philos.* V, 20: *ἐστὶ πραγματεία Ἀριστοτέλους, ἐν ᾗ τέσσαρα γένη ζῴων φησί, χερσαῖα, ἔνυδρα, πτηνά, οὐράνια.* Fortasse haec petita sunt ex alia, quam nunc habemus, recensione librorum *de caelo.* Etenim Stobaeus *Eclog. phys.* I, 23 p. 486, postquam exposuit nonnulla, quae hodie etiam in illis libris leguntur, pergit: *συνεστάναι δὲ τὰ ἄστρα καὶ τὸν οὐρανὸν ἐκ τοῦ αἰθέρος, τοῦτον δὲ οὔτε βαρύν, οὔτε κοῦφον, οὔτε γεννητὸν ἢ φθαρτόν, οὔτε αὐξόμενον, οὔτε μειούμενον εἰς ἀεὶ διαμένειν ἄτρεπτον καὶ ἀναλλοίωτον, πεπερασμένον καὶ*

IV, 8. *Ἁπλῶς μὲν οὖν . . . . . τὸ πρὸς ἐκεῖνο τοιοῦτον*] Ὡς μὲν καθόλου εἰπεῖν, τὸ ἁπλῶς μαλακὸν τοιοῦτόν ἐστι καὶ τὸ σκληρὸν ὁμοίως. ἀλλὰ διαφέρει αὐτοῦ τὸ σκληρὸν καὶ τὸ μαλακὸν πρὸς τὴν δύναμιν τῆς ἁφῆς. ἄλλο γὰρ ἄλλῳ μαλακόν, καὶ ἄλλο ἄλλῳ σκληρὸν καὶ τὸ μαλακόν, ὥστε πρὸς μὲν ἑαυτὰ ἀόριστά εἰσι τὸ σκληρὸν καὶ τὸ μαλακόν, ὥσπερ τὸ μέγα καὶ τὸ μικρόν. τὸ γὰρ πρὸς ἄλλο μέγα, πρὸς ἄλλο μικρόν. πρὸς δὲ τὴν δύναμιν τῆς ἁφῆς ὁρίζεται διὰ τὸ μὲν ὑπερβάλλον αὐτὴν σκληρόν. τὸ δ' ἐλλεῖπον μαλακὸν εἶναί φαμεν. τούτου τοῦ λόγου δραξάμενος ὁ Ἀφροδισιεὺς κατεσκεύαζεν, ὅτι οὐ παντὸς μαλακοῦ καὶ σκληροῦ ἀντιλαμβάνεται ἡ ἁφή, ἀλλ' ἢ

σφαιροειδῆ καὶ ἔμψυχον, κινούμενον περὶ τὸ μέσον ἐγκυκλίως. At idem *Ecl.* I, 24 p. 502, ubi eadem recurrunt, praefigit: *Ἀριστοτέλης . . . . λέγει γοῦν ἐν τοῖς περὶ φυσικῆς ἀκροάσεως·* Sed in *physica auscultatione* nihil tale reperitur. Factum etiam esse potest, ut Plutarchus l. l. eundem respexerit libellum, quem *Schol.* Germanic. *Phaenom.* 427. Tom. II p. 88 ed. Buhle: *Corvus ideo inter astra collocatus dicitur, eo quod fuerit in tutela Apollinis a quo missus ad fontem, ut diis ad libandum aquam deferret, cum vidisset arbores grossas ficus habentes, volans consedit in eis, donec maturae fierent, et aquam deferre distulit; post paucos autem dies peracto sacrificio, cum ille ficus comedisset, et se diis peccasse sensisset, denuo ad fontem, ut aquam hauriret, rediit, et ab Hydro exterritus vas vacuum reportavit, dicens, excessisse aquam, quae fuerat in fonte. Cognoscens Apollo, sibi Corvum peccasse, prohibuit eum eo tempore aquam bibere, ut Aristoteles dicit in eo libro, qui de bestiis scribitur* (Pro *scribitur* mallem *inscribitur.*). Adde Eratosth. *Catasterism.* c. 34, 41, quorum locorum de posteriore adi Schneider. ad Oppian. p. 427. Caeterum, nisi magnopere fallor, eundem ad librum respexit ipse Aristoteles *de generat. animal.* III, 11 p. 761, b: *τὰ μὲν φυτὰ θείη τις ἂν γῆς, ὕδατος δὲ τὰ ἔνυδρα, τὰ δὲ πεζὰ ἀέρος· τὸ δὲ μᾶλλον καὶ ἧττον καὶ ἐγγύτερον καὶ πορρώτερον πολλὴν ποιεῖ καὶ θαυμαστὴν διαφοράν. τὸ δὲ τέταρτον γένος οὐκ ἐπὶ τούτων τῶν τόπων δεῖ ζητεῖν· καίτοι βούλεταί γέ τι κατὰ τὴν τοῦ πυρὸς εἶναι τάξιν· τοῦτο γὰρ τέταρτον ἀριθμεῖται τῶν σωμάτων· ἀλλὰ τὸ μὲν πῦρ ἀεὶ φαίνεται τὴν μορφὴν οὐκ ἰδίαν ἔχον, ἀλλ' ἐν ἑτέρῳ τῶν σωμάτων. ἢ γὰρ ἀὴρ ἢ καπνὸς ἢ γῆ φαίνεται τὸ πεπυρωμένον. ἀλλὰ δεῖ τὸ τοιοῦτον γένος ζητεῖν ἐπὶ τῆς σελήνης· αὕτη γὰρ φαίνεται κοινωνοῦσα τῆς τετάρτης ἀποστάσεως. ἀλλὰ περὶ μὲν τούτων ἄλλος ἂν εἴη λόγος.* Aliam sententiam proposuit Stahr. *Aristotelia*, Vol. II, p. 159 not. 2.

τοῦ ὑπερβάλλοντος αὐτὴν σκληροῦ ἢ τοῦ ἐλλείποντος μαλακοῦ. τούτου δὲ ὁμοίως αὐτῇ ἔχοντος σκληροῦ ἢ μαλακοῦ, οὐκ ἀντιλαμβάνεται διὰ τὴν ὁμοιότητα, ἀγνοῶν, ὅτι τὸ σκληρὸν καὶ τὸ μαλακὸν τῇ ἁφῇ κρίνεται καὶ οὔτε σκληρόν, οὔτε μαλακόν ἐστιν ἡ ἁφή. πνεῦμα γάρ ἐστι τὸ ἁπτόμενον, ὡς εἴρηται, ὅπερ οὔτε μαλακὸν οὔτε σκληρὸν δύναται εἶναι διὰ τὰς εἰρημένας αἰτίας. — Olympiodorus fol. 67, b.

IV, 9. Δῆλον ὅτι καὶ τὸ σκληρόν .... χρώμενοι τῇ ἁφῇ] Τὰ μὲν οὖν πρὸς ἄλλα λεγόμενα σκληρὰ καὶ μαλακά, ἀλλὰ μὴ ἁπλῶς, ἀόριστά ἐστι. κατὰ γὰρ τὸ μᾶλλον καὶ ἧττον τὸ ἀόριστον ἐν αὐτοῖς. τὰ δὲ ἁπλῶς σκληρὰ καὶ ἁπλῶς μαλακά, οὐκέτ᾽ ἀόριστα. οὐ γὰρ ἦν ἁπλῶς τίνι συγκρίνεται καὶ τίνι ὁρίζεται λέγειν. ἐπεὶ γὰρ πάντων τῶν αἰσθητῶν ἡ οἰκεία αἴσθησις κριτήριον, δῆλον ὅτι καὶ τῶν σκληρῶν τε καὶ μαλακῶν ἡ ἁφή. αὕτη οὖν ὁρίζει τὸ ἁπλῶς σκληρόν τε καὶ μαλακόν. λέγει δὲ καὶ πῶς ὁρίζεται. ἐπεὶ γὰρ ἡ ἁφὴ ἐν μεσότητί ἐστιν ἐκείνων ὧν αἰσθάνεται, (οὐ γὰρ οὕτως αἰσθάνεται τῶν ἁπτῶν ἡ ἁφή, ὡς ἡ ὄψις τῶν χρωμάτων. ἡ μὲν γὰρ τῷ μὴ ἔχειν οἰκεῖον χρῶμα, ἀντιληπτικὴ πάντων ἐστὶ τῶν χρωμάτων, τῷ δέχεσθαι αὐτῶν τὰ εἴδη· ἡ δὲ ἁφὴ οὐ τῷ ἔξω τῶν ἁπλῶν εἶναι παθῶν, οὕτως αὐτῶν τὴν ἀντίληψιν ποιεῖται· ἀδύνατον γὰρ σῶμά τι ὂν ἐνεργείᾳ, μὴ μετά τινων ἁπτῶν παθῶν εἶναι· τούτοις γὰρ ὥρισται τὸ σῶμα. σῶμα καὶ δι᾽ οὗ ἡ ἁφή, ἁπτὸν ἄρα καὶ αὐτό) οὐ δὴ τῷ μὴ ἔχειν ταῦτα τὰ πάθη, ἀλλὰ τῷ ἐν μεσότητι αὐτῶν εἶναι, ἀμφοῖν τῶν ἐναντιώσεων ἐπ᾽ ἴσης μετέχουσα καὶ ἐξ αὐτῶν κεκραμένη τῶν ὑπερβολῶν καὶ τῶν ἐκλείψεων *), τῆς μεσότητος ταύτης ἀντιλαμβάνεται. διὸ οὐ πάντων αἰσθάνεται τῶν ἁπτῶν ἡ ἁφή, ὥσπερ ἡ ὄψις πάντων τῶν χρωμάτων. οὔτε γὰρ τοῦ ὁμοίως θερμοῦ, οὔτε τοῦ ὁμοίως αὐτῇ σκληροῦ, ἢ μαλακοῦ, ἢ ξηροῦ, ἢ ὑγροῦ, ἡ ἁφὴ ἀντιληπτική, ἀλλὰ καθ᾽ ἕκαστον τούτων, τοῦ ὑπερβάλλοντος αὐτὴν καὶ τοῦ ἐκδέοντος. καὶ ἐπὶ σκληροῦ δὲ καὶ μαλακοῦ τὸν αὐτὸν τρόπον. ἔσται οὖν σκληρὸν μὲν ἁπλῶς τὸ κατὰ τοῦτο ὑπερ-

*) Quaenam ratio intercedat inter medium, excessum ac defectum, exposuit Aristoteles *Magn. Moral.* I, 9.

βάλλον τὴν τῆς ἁφῆς μεσότητα. καὶ οὕτως αὐτῇ ἀντιληπτόν, ὡς μὴ ὑπεῖκον. πάλιν δ' αὖ μαλακὸν ἁπλῶς, οὗ ἡ αἴσθησις ἀντιλαμβάνεται, διὰ τὸ μᾶλλον αὐτῇ ὑπείκειν. ὥστε ἔσται τὸ μὲν ἁπλῶς σκληρόν, οὗ ἡ ἁφή μαλακωτέρα οὖσα ἀντιλαμβάνεται, τὸ δὲ ἁπλῶς μαλακόν, οὗ ἡ ἁφὴ σκληροτέρα οὖσα ἀντιλαμβάνεται. καὶ ἡ μὲν ἁφή, καὶ κατὰ τοῦτο μεσότης· λέγονται δὲ αἱ αἰσθήσεις μεσότητες καὶ καθόσον ἀμφοτέρων τῶν ἐναντίων ἀλλήλοις εἰδῶν εἰσὶ δεκτικαί· τὸ γὰρ ἐναντίων δεκτικόν, μέσον πως ἐκείνων. ἔτι δὲ καὶ κατὰ τοῦτο μεσότητες, καθόσον ὑπὸ μὲν τῶν ἐνδειῶν καὶ τῶν ὑπερβολῶν τῶν αἰσθητῶν φθείρονται. ὑπὸ δὲ τοῦ συμμέτρου τε καὶ μέσου σώζονται· ἀποδίδωσι δὲ καὶ αἰτίαν τοῦ πᾶν ὡρισμένον σῶμα ἢ σκληρὸν εἶναι ἢ μαλακόν. ἢ γὰρ ὑπείκειν αὐτὸ τῇ ἁφῇ ἀνάγκη, ἢ μή. ὧν τὸ μὲν μαλακοῦ, τὸ δὲ σκληροῦ. — Alexander fol. 132, a.

V, 1. Πήξεως οὖν πέρι ῥητέον] Ἐπειδὴ τὸ σκληρὸν καὶ τὸ μαλακὸν ὑπὸ τήξεως γίνονται καὶ πήξεως, εἰκότως καὶ περὶ τήξεως καὶ πήξεως διαλέγεται ὁ φιλόσοφος. τὸ μὲν γὰρ σκληρὸν ὑπὸ πήξεως *), τὸ δὲ μαλακὸν ὑπὸ τήξεως γίνεται. ἀλλ' ἐπειδὴ τὸ τηκτὸν καὶ πηκτὸν ὑγρῷ καὶ ξηρῷ γίνεται, τὸ μὲν τηκτὸν ὑγρῷ, τὸ δὲ πηκτὸν ξηρῷ, τούτου χάριν καὶ περὶ ξηροῦ καὶ ὑγροῦ διαλέγεται· καὶ διδάσκει ἡμᾶς κατὰ πόσους τρόπους γίνεται τὰ ξηραινόμενα, κατὰ πόσους δὲ τὰ ὑγραινόμενα. καί φησιν, ὅτι ἑκάτερον πενταχῶς. ἀλλὰ πῶς μὲν ὑγραίνει τὸ ὑγραινόμενον, ἡ ἐφεξῆς θεωρία παραστήσει. νῦν δ' ἐροῦμεν, ὅπως ξηραίνεται τὸ ξηραινόμενον. πρῶτος μὲν γὰρ ξηρότητος τρόπος, ὡς ὅταν ὕδωρ παχὺ ὂν πρὸς τὴν οἰκείαν φύσιν, λεπτότερον καὶ εὐδιαφόρητον γένηται, καὶ διὰ τούτου ξηρανθῇ. δεύτερος τρόπος ξηρότητος ἐπὶ οἴνου καὶ γάλακτος, ὀρροῦ, ἤ τινος τοιούτου ὑγροῦ. τρίτος ἐπὶ τῶν μετάλλων. καὶ αὐτὰ γὰρ ἐπειδὴ ὑγρότης ἐστὶ παγεῖσα, ἐπιδέχεται ὑγρότητα ὡς πρὸς τὰ καταφρυαττόμενα **) μέταλλα. τέταρτον ὡς ἐπὶ τὴν ἐπιφάνειαν ἐχόντων ὑγρῶν λίθων. ἐπὶ τούτων γὰρ πάντων γίνεται ἡ ξηρότης, ὡς εἶναι διαίρεσιν τοιαύτην. πᾶν τὸ ξηραινόμενον ἢ σύμ-

---

*) Ald. ψύξεως et mox μαλαλόν.

**) Significatio vocabuli lexicis addatur.

φυτον ἔχει τὴν ὑγρότητα, ἢ διὰ βάθους αὐτὴν ἔχει, ἢ ἐπιπολῆς. διὰ βάθους μέν, ὡς τὰ βεβρεγμένα ἱμάτια· ἐπιπολῆς δ' ὡς κατὰ τὴν ἐπιφάνειαν βεβρεγμένον μάρμαρον, ὅπερ διερὸν καλεῖ ὁ Ἀριστοτέλης ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς *). ἐφ' οἷς ὁ φιλόσοφος καὶ τὰς αἰτίας τῆς ξηρότητος ἀποδίδωσιν. αἰτία γάρ φησιν τοῦ ξηραίνεσθαι τὸ θερμὸν καὶ τὸ ψυχρόν. ἀλλὰ τὸ μὲν θερμὸν κατὰ πρῶτον λόγον, τὸ δὲ ψυχρὸν κατὰ συμβεβηκός. καὶ τὸ μὲν θερμόν, ἐκδιαφοροῦν τὴν ἐντὸς ὑγρότητα καὶ ἐξατμίζον, ποιεῖ τὴν ξηρότητα· τὸ δὲ ψυχρὸν τῷ ἀντιπεριΐστασθαι καὶ ἀποκλείειν ἔνδον τὴν θερμότητα. αὕτη γὰρ ἀποκλειομένη πολυπλασιάζει τὴν ἔνδον θερμότητα, ἥτις πολυπλασιασθεῖσα ἐκδαπανᾷ τὴν ὑγρότητα. ἐντεῦθεν πάλιν λέγει θερμότητος γίνεται ἢ ξηρότητος. ὅθεν τὴν ψυχρότητα μᾶλλον παθητικὸν καλεῖ ὁ φιλόσοφος, ἐπειδὴ τοῖς παθητικοῖς μᾶλλον ὑπάρχει στοιχείοις γῇ καὶ ὕδατι, ἤπερ ποιητική· εἰ γὰρ καὶ ποιεῖν λέγει, οὐ κυρίως ποιεῖ, ἀλλ' ἢ κατὰ συμβεβηκός, ὡς ἤδη εἴρηται, ἢ ὡς φθαρτικόν. — Olympiodorus fol. 66, b — 67, a.

V, 2. Ἐστὶ δὲ τὰ αἴτια τὰ περὶ τὴν ὕλην δύο] Φησὶ δὴ τὰ περὶ τὴν ὕλην αἴτια δύο εἶναι, τό τε ποιοῦν καὶ τὸ πάθος, πάθος λέγων τὸ γινόμενον εἶδος ὑπὸ τοῦ ποιοῦντος ἐν τῇ ὕλῃ, ὡς εἶναι τὰ αἴτια τρία, ὕλην, εἶδος, ποιοῦν, ὡς τῷ εἴδει συναριθμουμένου καὶ τοῦ τέλους· δοκεῖ γὰρ ἐν τοῖς γινομένοις φύσει τοῦτ' εἶναι τέλος. εἰ δὴ ἐν πᾶσι τοῖς γινομένοις τοσαῦτά τε καὶ ταῦτα τὰ αἴτια, καὶ ἡ πῆξις δὲ τῶν γινομένων εἴη ἂν καὶ πήξεως αἴτια ταῦτα, ὁμοίως καὶ διαχύσεως, ὅπερ ἐστιν ἐναντίον τῇ πήξει, ἀλλὰ καὶ τοῦ ξηραίνεσθαι καὶ τοῦ ὑγραίνεσθαι, δι' ὧν τὸ πήγνυσθαί τε καὶ διαχεῖσθαι. λέγει δὲ καὶ τίσι χρώμενον δυνάμεσι τὸ ποιοῦν ποιεῖ, ὅτι τῷ θερμῷ καὶ ψυχρῷ. αὗται γὰρ ἦσαν αἱ δυνάμεις ποιητικαί, τῷ διὰ τούτων τὸ ποιοῦν ποιεῖν. θερμαῖνον γὰρ ἢ ψύχον ποιεῖ. εἰ δὲ οὕτω καὶ διὰ τούτων ποιεῖ τὸ ποιοῦν, εἴη ἂν καὶ τὸ ἐν τῷ πάσχοντι γινόμενον πάθος, παρουσίᾳ θερμοῦ γινόμενον ἢ ψυχροῦ **). — Alexander fol. 132, b.

---

*) II, 12. **) Ex his verbis abunde patet, Alexandrum legisse περὶ τὴν ὕλην, non παρὰ τὴν ὕλην.

V, 9. *Ἐντός, ὅταν ἀφαιρεθέντος ὑφ' ἧς ἔχει θερμότητος ἀναλωθῇ ἀποπνεούσης*] Ξηραίνεται μὲν οὖν πάντα τὰ ξηραινόμενα, ἢ ψυχόμενα, ἢ θερμαινόμενα. καὶ πάντα ὡς ἐδείχθη θερμῷ· ἢ τῷ ἐκτὸς θερμαίνοντι καὶ ἐξατμίζοντι τὸ ἐν τοῖς ξηραινομένοις ὑγρόν, ἢ τῷ ἐντός, ὃ διὰ τὴν ψύξιν ἐξατμιζόμενον ἐκ τοῦ ξηραινομένου συνεξατμίζει καὶ συνεξάγει καὶ τὸ ὑγρὸν τὸ ἐν αὐτῷ. ὑπὸ μὲν οὖν τῆς ἐκτὸς θερμότητος ξηραίνεται τὰ ξηραινόμενα οὕτως ὡς τὰ ἑψόμενα, ὑπὸ δὲ τῆς ἐντὸς πάλιν οὕτως, ὡς ὅταν τῶν ἑψομένων ἀφαιρεθέντος τοῦ ἐκτὸς πυρός, τὸ ὑγρὸν τὸ ἐν αὐτοῖς ἀναλωθῇ ὑπὸ τῆς ἐν αὐτοῖς θερμότητος, ἀποπνεούσης καὶ συνεξαγούσης τὸ ὑγρόν. ψυχομένων γὰρ αὐτῶν, ἀποπνέον τὸ θερμὸν συνεξάγει καὶ τὸ ὑγρόν *). — Alexander fol. 133, a.

VI, 1. *Τὸ δ' ὑγραίνεσθαι...... πεπηγός.*] Δείξας ὁ Ἀριστοτέλης πενταχῶς **) γινομένην τὴν ξηρότητα, δείκνυσι νῦν ὅτι πενταχῶς ἡ ὑγρότης γίνεται. ὥσπερ γὰρ πρῶτος τρόπος ἦν τῆς ξηρότητος τὸ παχὺ ὑγρὸν λεπτὸν γίνεσθαι καὶ διαφορεῖσθαι καὶ ταύτῃ ξηραίνεσθαι, οὕτω καὶ νῦν πρῶτος τρόπος ἐστὶν ὑγρότητος τὸ λεπτὸν ὑγρὸν παχύνεσθαι καὶ συνίστασθαι καὶ ὑγρότερον ἑαυτοῦ γίνεσθαι, ὥσπερ ἡ τοῦ ἀέρος εἰς ὕδωρ μεταβολή. ὁ γὰρ ἀὴρ μεταβάλλει εἰς ὕδωρ, ὑγρότερος ὡς πρὸς ἡμᾶς οὐ πρὸς τὴν ἑαυτοῦ φύσιν. καὶ ὡς ἐκεῖ δεύτερος τρόπος ἦν ξηρότητος ὁ ἀπὸ τῶν ὑγρῶν εἰδῶν τοῦ ὕδατος, καὶ τρίτος ὁ ἀπὸ τῶν ὕδωρ ἐχόντων ὥσπερ τὰ μέταλλα. ἐλέγομεν γάρ, ὅτι τὸ συμφυὲς ὑγρόν, ἢ ὕδατος εἴδη ἐστὶ καθάπερ οἶνος, γάλα, ὀρρός, ἢ οὕτω καὶ ἐνταῦθα δεύτερος καὶ τρίτος τρόπος ἐστὶν ὑγρότητος ἡ τούτων πῆξις. δεύτερος μὲν οἴνου καὶ γάλακτος τῆξις ***). καὶ ὥσπερ ἐκεῖ τέταρτος καὶ πέμπτος τρόπος ἐστὶν

---

*) Hinc elucét, **Alexandrum**, uti diximus in commentariis, legisse *ἀφαιρεθέντος τοῦ πυρός*, quamvis in *ῥήματι*, verborum expositioni in Aldina editione praefixo, legatur: *ἀφαιρεθέντος τοῦ ὑγροῦ, ἐφ' ἧς ἔχει θερμ.* et q. s.

**) Ald. *ποσαχῶς*.

***) Desunt verba quaedam ad tertium humectationis modum spectantia. Etiam sequentia corrupta sunt. Equidem correxerim: *καὶ ὥσπερ ἐκεῖ τ. κ. π. τρ. ἐστὶ ξηρότητος, οὕτω ὑγρότητός ἐστι τὸ διερὸν γίνεσθαι καὶ τὸ βεβρεγμένον* et q. s.

ὑγρότης τὸ διερὸν γενέσθαι καὶ ἢ βεβρεγμένον τὸ ἔχον ἐπίκτητον τὴν ὑγρότητα. καὶ οὗτοί εἰσιν οἱ πέντε τρόποι τῆς ὑγρότητος. εἶτα μετὰ τὸ διαλεχθῆναι περὶ ξηρότητος καὶ δεῖξαι, πῶς ἕκαστον τούτων γίνεται, ἐπειδὴ ἡ ξηρότης καὶ ἡ ὑγρότης συγγενῶς ἔχουσι πρὸς πῆξιν καὶ τῆξιν, καὶ περὶ πήξεως καὶ τήξεως διαλέγεται ὁ φιλόσοφος καὶ παραδίδωσι τὰ αἴτια ἀμφοτέρων. καί φησιν, ὅτι ἡ μὲν πῆξις ὑπὸ τριῶν αἰτιῶν γίνεται, ὑπὸ θερμότητος καὶ ξηρότητος καὶ ψυχρότητος. πᾶν γὰρ πηγνύμενον ὑπὸ ἑνὸς τῶν τριῶν τούτων γίνεται. ὑγρότης γὰρ οὐδέποτε πήγνυσι καὶ τῶν ὑπὸ θερμότητος πηγνυμένων παράδειγμα κέραμος. οὗτος γὰρ πηλὸς ὢν πάλαι ἐμβληθεὶς τῷ πυρὶ πήγνυται καὶ γίνεται ὄστρακον. τῶν δὲ ψυχρῷ πηγνυμένων παράδειγμα ὁ κρύσταλλος καὶ τὸ νίτρον. ταῦτα γὰρ ξηρῷ πήγνυται ἢ θερμῷ. ὅθεν ὑγρῷ λύονται μόνον, εἴτε θερμὸν εἴη τὸ ὑγρόν, εἴτε ψυχρῷ εἴτε θερμῷ ἁπλῶς ἐπεπήγησαν. ἢ ἄλυτα εἶχον εἶναι ἢ ψυχρῷ μόνον λυόμενα. εἰ δὲ ψυχρῷ ἐπεπήγησαν, θερμῷ μόνον ἐλύοντο χωρὶς ὑγροῦ. ταῦτα μὲν οὖν εἰσι τὰ αἴτια τῆς πήξεως, καὶ ταῦτα αὐτῶν παραδείγματα. τῆς δὲ τήξεως δύο εἰσὶ τὰ αἴτια, θερμότης καὶ ὑγρότης· θερμότης, ὡς ἐπὶ τῶν μετάλλων· ὑγρότης δ᾽ ὡς ἐφ᾽ ἁλῶν καὶ νίτρου καὶ μέλιτος καὶ τῶν τοιούτων. ἀλλ᾽ ἵνα μὴ κενεμβατῇ ὁ λόγος (πᾶς γὰρ λόγος ἂν ἀπῇ τὰ ἔργα, μάταιόν τι φαίνεται καὶ κενὸν κατὰ τὸν Παιανιέα *)), τούτου χάριν ὁ φιλόσοφος, μετὰ τὰ ποιητικὰ αἴτια πήξεως καὶ τήξεως, παραδίδωσιν ἡμῖν καὶ τὰ ὑλικά. καὶ ἐπὶ τούτων γυμνάζει τὸν λόγον τοῦ πήγνυσθαι καὶ τοῦ τήκεσθαι. καί φησιν, ὅτι τὰ πηγνύμενα ἢ ὕδωρ ἐστὶ μόνον, ἢ σύνθετα ἐκ γῆς καὶ ὕδατος. καὶ εἰ μὲν ὕδωρ ἐστὶ μόνον, πήγνυται, οὐ μὴν καὶ παχύνεται· εἰ δὲ σύνθετά εἰσιν ἐκ γῆς καὶ ὕδατος, καὶ παχύνεται καὶ πήγνυται. τὰ μὲν ψυχρῷ παχυνόμενα θερμῷ πήγνυται· τὸ ἀνάπαλιν τὰ θερμῷ παχυνόμενα ψυχρῷ πήγνυται. τούτων παραδείγματα. τὸ γὰρ ὕδωρ οὐ παχύνεται, ἀλλὰ πήγνυται ἀπὸ ψυχροῦ, καθάπερ ὁ κρύσταλλος.

---

*) Ὡς ἅπας μὲν λόγος, ἂν ἀπῇ τὰ πράγματα, μάταιόν τι φαίνεται καὶ κενόν. *Olynthiac.* p. 21, 19 ed. Reiske. Κατὰ Παιανιέα πᾶς λόγος, ἂν ἀπῇ τὰ ἔργα, μάταιόν τι νομίζεται καὶ κενόν. David. ad *Categor.* p. 11, a Brand.

καὶ οὗτος ὑπὸ ψυχροῦ πήγνυται, δηλονότι καὶ ὑπὸ θερμοῦ λύεται. τῶν δὲ συνθέτων τὰ μὲν ὑπὸ ψυχροῦ παχυνόμενα ὑπὸ θερμοῦ πήγνυται, καθάπερ ὁ κέραμος· οὗτος γὰρ πηλὸς ὢν πήγνυται ὑπὸ ψύξεως· μετα δὲ τὴν πῆξιν χαλασθεὶς ἐν τῇ καμίνῳ πήγνυται ὑπὸ τοῦ πυρός. τὰ δ' ὑπὸ θερμοῦ παχυνόμενα, ὑπὸ τοῦ ψυχροῦ πήγνυται, καθάπερ τὸ ἑφθὸν μέλι. τοῦτο γὰρ ὑπὸ μὲν θερμοῦ παχύνεται ἐν τῇ ἑψήσει, ὑπὸ δὲ ψυχροῦ πήγνυται μετὰ τὴν ἕψησιν, εἰ γὰρ πολλάκις ὁρῶμεν, ὅτι μετὰ τὴν ἕψησιν ὑπὸ ψυχροῦ ὕδατος πήγνυται, ἀλλὰ διὰ τὴν ψυχρότητα. τὸ αὐτὸ δὲ καὶ περὶ γάλακτος ῥητέον καὶ ὅσα τοιαῦτα. καὶ γὰρ αὐτὸ παχύνεται πρῶτον μὲν ἐν τῇ ἑψήσει ὑπὸ τοῦ θερμοῦ, ὕστερον δὲ πήγνυται ὑπὸ τοῦ ψυχροῦ· τούτων δ' αὐτῶν τῷ θερμῷ μὲν παχυνομένων, τῷ ψυχρῷ δὲ πηγνυμένων τὰ μὲν τῇ θίξει τοῦ ψυχροῦ πήγνυται, τὰ δ' αὐτῇ τῇ οὐσίᾳ τοῦ ψυχροῦ σώματος· τῇ μὲν θίξει, ὥσπερ τὸ μέλι. τοῦτο γὰρ μετὰ τὴν ἕψησιν ὁμιλῆσαν ψυχρῷ ὕδατι πήγνυται, θερμῷ δ' οὐ πήγνυται· τῇ δ' οὐσίᾳ, ὥσπερ σίδηρος. μετὰ γὰρ τὸ πυρακτωθῆναι αὐτόν, ἐμβληθεὶς ἐν ὕδατι, εἴτε θερμῷ εἴτε ψυχρῷ, πήγνυται οὐ διὰ τὴν θίξιν ἁπλῶς, ἀλλὰ τὴν οὐσίαν διὰ τοῦ ὕδατος ψυχρὰν οὖσαν. ἀλλ' εἰ καὶ λέγω, ὅτι ὑπὸ ψυχροῦ γίνεται πάχυνσις καὶ πῆξις καὶ ὑπὸ θερμοῦ, πλὴν οὐ κατὰ τὸν αὐτὸν λόγον. τὸ μὲν γὰρ θερμὸν ἐργάζεται τὴν πάχυνσιν καὶ τὴν πῆξιν, ἐκδιαφοροῦν καὶ ἐξαναλίσκον τὴν ἐν τῷ πάσχοντι ὑγρότητα. τὸ δὲ ψυχρὸν οὐκ ἐν τῷ διαφορεῖν ἐργάζεται ταῦτα, ἀλλὰ τῇ πιλήσει καὶ τῇ πυκνώσει τοῦ πάσχοντος σώματος. ὑπὸ γὰρ τῆς πιλήσεως ἐκπυρηνίζεται τὸ ἐν τῷ σώματι θερμόν, τοῦτο δ' ἐκπυρηνιζόμενον συνέλκει μὲν μεθ' ἑαυτοῦ τὴν ὑγρότητα, καὶ λοιπὸν ξηρότερον γινόμενον τὸ πάσχον παχύνεται ἢ πήγνυται. ἐφ' οἷς ὁ φιλόσοφος καὶ περὶ τήξεως διαλέγεται καὶ ἀποδείκνυσιν, ὅτι δραστικώτερόν ἐστι τὸ θερμὸν τοῦ ψυχροῦ. καὶ ὅτι τοῦτο ἀληθές, δῆλον, ἐπειδὴ τὰ μὲν ψυχρῷ πηγνύμενα θερμῷ εὔλυτά εἰσιν ἢ δύσλυτα· εὔλυτα μέν, ὥσπερ κρύσταλλος, κηρός, καὶ ὅσα τοιαῦτα, δύσλυτα δ' ὥσπερ ἅλες καὶ νίτρον. καὶ ὅρα, πῶς ἐνταῦθα κυρίως κέχρηται τοῖς παραδείγμασιν ὁ Ἀριστοτέλης· οὐ γὰρ ὑπὸ θερμοῦ πήγνυνται οἱ ἅλες καὶ νίτρον, ὡς ἀνωτέρω ἐδείξαμεν, ἀλλ' ὑπὸ ξηροῦ, ὅθεν

ὑγρῷ μόνον λύονται. καὶ οὐ μόνον θερμῷ ἢ ψυχρῷ ἀμέλει παρακατιὼν ἐπιλαμβάνεται ἑαυτοῦ, λέγων ξηρῷ μᾶλλον πήγνυσθαι ταῦτα, οὐ μὴν θερμῷ. τὰ δὲ παντελῶς ἄλυτα, οἷον κέραμος ὀπτηθεὶς καὶ ᾠὰ ἑψηθέντα καὶ ὅσα τοιαῦτα. εἶτ' ἐπειδὴ περὶ τῶν παχυνομένων καὶ πηγνυμένων καὶ τηκομένων διειλέχθη, ἀπορεῖ περὶ τοῦ ἐλαίου, καί φησιν, ὅτι, ποῦ θετέον αὐτό, πότερον μετὰ τοῦ ὕδατος ἢ μετὰ τῶν συνθέτων ἐκ γῆς καὶ ὕδατος, ἔδει *) θερμῷ πήγνυσθαι. νῦν δ' ὁρῶμεν, ὅτι οὔτε θερμῷ πήγνυται, οὔτε ψυχρῷ, ἀλλὰ μόνον παχύνεται. καὶ τοῦτο δῆλον ἐκ τοῦ μολύνειν τὴν χεῖρα. τὸ δὲ πήγνυσθαι ἀμόλυντόν ἐστιν. εἶτα καὶ τῆς ἀπορίας ἐπάγει τὴν ἐπίλυσιν καί φησιν, ὅτι ἃ λέγομεν σύνθετα ἐκ γῆς καὶ ὕδατός εἰσι καὶ διὰ τοῦτο τὰ μὲν θερμῷ πηγνύμενα, ὅσα μᾶλλον ἔχει γῆς, τὰ δὲ ψυχρῷ, ὅσα μᾶλλον ἔχει ὕδατος. τὸ δ' ἔλαιον σύνθετόν ἐστιν, οὐκ ἐκ γῆς καὶ ὕδατος, ἀλλ' ἐξ ἀέρος καὶ ὕδατος. καὶ τοῦτο δῆλον ἐκ τοῦ ἐπιπολάζειν αὐτὸ ἐν τῷ ὕδατι διὰ τὴν κουφότητα τοῦ ἐν αὐτῷ ἀέρος, διὰ ταύτην οὖν τὴν αἰτίαν τῷ μὴ μετέχειν γῆς οὐ πήγνυται, οὔθ' ὑπὸ θερμοῦ, οὔθ' ὑπὸ ψυχροῦ. παχύνεται δὲ μόνον καὶ λευκαίνεται. τριά δ' εἰσὶν αἴτια τῆς παχύνσεως αὐτοῦ καὶ λευκάνσεως, θερμότης, ψύξις, χρόνος. ἡ μὲν γὰρ θερμότης παχύνει τὸ ἔλαιον, οὐ καθ' ἑαυτὴν οὖσα ἀλλὰ μεθ' ὕδατος, ὥσπερ ἐν τῷ ὑδρελαίῳ**). ἡ γὰρ κίνησις ἡ γινομένη ἐν τῇ μίξει, ἐκδιαφορεῖ αὐτοῦ μέρος τι ὑγρότητος καὶ ἐντεῦθεν γίνεται παχύτερον. λευκαίνεται δὲ διὰ τὸ κατεργάζεσθαι τὸ ἐν αὐτῷ ἀερῶδες ὑπὸ τῆς κινήσεως. ὑπὸ δὲ ψύξεως παχύνεται πάλιν, ἐπειδὴ τὸν ἐν αὐτῷ ἀέρα παχύνει καὶ οἷον ὑδατώδη ποιεῖ. πέφυκε γὰρ ἡ ψύξις παλύνειν τὸν ἀέρα καθόλου καὶ εἰς ὕδωρ μεταβάλλειν. παχυνόμενος οὖν ὁ ἐν τῷ ἐλαίῳ ἀὴρ καὶ οἷον ὑδατώδης γινόμενος παχύνει τὸ ἔλαιον. ὁρῶμεν γὰρ καὶ ἐν τῷ ὑδρελαίῳ, ὅτι τὸ ὕδωρ παχυντικόν ἐστι τοῦ ἐλαίου. λευκαίνεται δ' ὑπὸ ψύξεως, ἐπειδὴ παχυνόμενος ὁ ἐν αὐτῷ ἀήρ, οἷον χιονώδης γίνεται λευκός. ἡ γὰρ χιὼν οὐδὲν ἕτερόν ἐστιν ἢ ἀὴρ

---

*) Ald. εἴδει.

**) Cfr. Galen. *Method. ad Glaucon.* I, 16 p. 64 (IV p. 207 Bas.). *de simpl. medicam. fac.* III, 17 p. 594.

πεπηγὼς μεταβλητὸς εἰς ὕδατος γένεσιν. ὑπὸ δὲ χρόνου πάλιν παχύνεται καὶ λευκαίνεται τῷ τρόπῳ καὶ ὑπὸ ψυχροῦ ταῦτα ἔπασχε. τῷ γὰρ χρόνῳ ἀπομαραίνεται τὸ ἐν αὐτῷ ἔμφυτον θερμὸν καὶ ἀποψύχεται. — Olympiodorus fol. 68, a. b.

VI, 1. *Τὸ δ' ὑγραίνεσθαι .... τὸ πνεῦμα*] *Εἰπὼν τίνα μὲν ξηραινόμενά ἐστι καὶ πῶς καὶ ὑπὸ τίνος ξηραίνεται (ξηραίνεται γὰρ τὰ ὑγρά, ὥς εἶπε, τῷ θερμαίνεσθαι ἢ ψύχεσθαι ἀναλισκομένου καὶ φθειρομένου τοῦ ὑγροῦ ὑπὸ τῆς ἔξωθεν θερμότητος, ἢ ὑπὸ τῆς ἐν αὐτοῖς), μέτεισιν ἐπὶ τὸν περὶ τῶν ὑγραινομένων λόγον· ἐναντίον γὰρ τοῦτο τὸ πάθος τῷ ξηραίνεσθαι. λέγει δὴ τὸ ὑγραίνεσθαι διχῶς γίνεσθαι· ἢ γὰρ ὅταν μεταβολὴ γένηται εἰς ὕδωρ ἐκ συνισταμένης τε καὶ πυκνουμένης ἀναθυμιάσεως (ὑγραίνεται γὰρ τότε μεταβάλλουσα εἰς ὕδωρ), ἢ ὅταν τὸ πεπηγὸς καὶ διὰ τοῦτο στερεὸν ὂν τήκεται. καὶ γὰρ τοῦτο ὑγραίνεται. τὸ μὲν οὖν συνιστάμενον καὶ οὕτως ὑγραινόμενον, πνεῦμά φησιν εἶναι, λέγων πνεῦμα τὴν ἀναθυμίασιν, ἥτις οὖσα ἀτμιδώδης ἔχει τι καὶ τῆς καπνώδους καὶ ξηρᾶς ἀναθυμιάσεως· ἐν ᾗ γὰρ τὸ ἀτμιδῶδες πλέον αὐτῆς, συνίσταται.* — Alexander fol. 133, a *).

VI, 2. *Τὰ μὲν γὰρ ὑπὸ θερμοῦ ξηροῦ* **) *παγέντα ὑπὸ ὕδατος λύεται, ὅ ἐστι ψυχρὸν ὑγρόν*] *Τοῦτο λέγει, ὡς πρὸς τοὺς ἅλας ἀφορῶν, ὅθεν παρακατιὼν ἐρεῖ, ὅτι οἱ ἅλες θερμῷ ξηρῷ πήγνυνται. ἡμεῖς δ' εἴπαμεν, ὅτι παχυμερῶς τοῦτο λέγει. οἱ γὰρ ἅλες ψυχρῷ μόνον πήγνυνται.* — Olympiodorus fol. 68, b.

VI, 6. *Ὅσα μὲν οὖν μαλακὰ* ***) *μὴ ὑγρὰ οὐ παχύνεται, ἀλλὰ πήγνυται*] *Νῦν τὰ ἔργα τοῦ θερμοῦ* †)

---

*) Ex iis, quae eodem folio verso reperiuntur, hoc unum adnotamus (cum totum folium nihil contineat nisi satis ieiunam ac sterilem Aristotelicorum verborum paraphrasin) quod l. 11 scriptum est *τῷ μέλλητι τῷ ἐφθῷ* a nomine recto *τὸ μέλι*. Quae tamen forma fortasse operarum incuriae tribuenda est, cum haec prae reliquis pagina mirum quantum typothetarum erroribus scateat ex. gr. *λυχθήσεται* pro *λυθήσεται*, *τινῶς* pro *τίνος* aliisque compluribus.

) Hunc verborum ordinem, et in sequentibus *ψυχρὸν ὑγρόν* tuetur Aldus. *) *ἀλλά* omittit Ald. †) Ald. *θεοῦ*.

διδάσκει, ποῖα μὲν θερμῷ πήγνυται, ποῖα δὲ καὶ ὑγραίνεται ὑπὸ θερμοῦ. καί φησιν, ὅτι ὅσα πρώην δίυγρα ὄντα ὑπὸ ψυχροῦ ἐπαχύνθη, ὡς μαλακὰ εἶναι, ἐκεῖνα πήγνυται μόνον ὑπὸ θερμοῦ, ὥσπερ ὁ πηλὸς τοῦ κεράμου· ὅσα δὲ ὑγρὰ μέν ἐστι, μᾶλλον δὲ μετέχει τῆς ὑδατώδους οὐσίας ἤπερ τῆς γεώδους, ἐκεῖνα παχύνεται μόνον, ὥσπερ τὸ μέλι. ὅσα δὲ ῥυτὰ *) ὄντα μᾶλλον ὑγρά εἰσιν, ἐκεῖνα καὶ παχύνεται καὶ πήγνυνται **) ὑπὸ θερμοῦ, ὥσπερ τὸ γάλα. ὅσα δὲ πρῶτα δίυγρα ὄντα ἐπαχύνθη ὑπὸ ψύξεως, ταῦτα πρῶτον ὑγραίνεται ὑπὸ τοῦ πυρός, εἶθ' οὕτω πήγνυται, ὥσπερ ὁ κέραμος. βληθεὶς γὰρ ἐν τῇ καμίνῳ, πρῶτον ὑγραίνεται διὰ τὸ τήκεσθαι τὴν ὑγρότητα τὴν παχυνθεῖσαν ὑπὸ ψυχροῦ, εἶθ' οὕτως πήγνυται. — Olympiodorus fol. 69, a.

VI, 11. Καὶ αἱ μύλαι τήκονται ὥστε ῥεῖν] Ζητητέον δὲ, τίνας λέγει καὶ τὰς μύλας. οὐ γὰρ λέγει τοὺς μυλαίους καλουμένους λίθους. λέγει γὰρ περὶ τούτων μετ' ὀλίγον, ὅτι οὐ λύονται. γίνεσθαι δέ φησι τὸ ἀπορρέον ἀπ' αὐτῶν τῶν πυριμάχων ***) πηγνύμενον τὸ μὲν χρῶμα μέλαν, ὅμοιον δὲ τῇ τιτάνῳ, τουτέστιν τῇ ἀσβέστῳ †). τήκεσθαι δέ φησι καὶ πηλὸν καὶ γῆν δῆλον, τὴν ἔχουσαν ἐν αὐτῇ ὑγρότητος, ὁποῖά ἐστιν, ἐξ ἧς ὕελος γίνεται ††). — Alexander fol. 134, a.

---

*) Ald. ῥητά.

**) Ita Aldus: neque volui corrigere pluralem numerum, praesertim cum simile exemplum prostet in *Geoponic.* IV, 15, 18: ἐμβαπτόμενα καὶ κρεμώμενα φυλάττονται, εἰς δὲ τὴν χρῆσιν ἀποπλύνεται ubi vide Niclas. p. 308.

***) Ald. πυρωμάχων. Caeterum vix dubium videtur, quin ante verba γίνεσθαι δέ φησι et q. s. exciderint nonnulla, in quibus de lapidibus, μύλαι ab Aristotele nuncupatis, disputatum erat.

†) Quod nomen posteriore aevo apud Graecos pro calce invaluit. Cfr. Procop. *Bell. Gothic.* II, 27. *Geoponic.* VII, 8, 6 p. 479: τιτάνῳ, τουτέστιν ζώσῃ ἀσβέστῳ. X, 25, 8 p. 713. Dioscorid. V, 132 p. 800 sq.

††) Cfr. Theophrast. *de lapid.* p. 398 ed. Heinsii: αἱ δὲ τῆς γῆς διαφοραὶ ἐλάττονες μέν, ἰδιώτεραι δέ. τὸ μὲν τήκεσθαι καὶ ἀλλοιοῦσθαι καὶ πάλιν ἀποσκληρύνεσθαι καὶ ταύτῃ συμβαίνει· τήκεται

Μύλη εἶδός ἐστι μετάλλου λιθώδους. ἕτερον δ' ἐστὶ μύλη παρὰ τὸν μυλίαν λίθον. τὸ μὲν γάρ ἐστι λίθος ἄντικρυς, τὸ δὲ μέταλλον· καὶ τὸ μὲν οὐ τήκεται, τὸ δὲ τήκεται, οὐ πήγνυται δὲ ὕστερον, ἀλλὰ μένει διαλελυμένον, ὥσπερ ἡ τίτανος. — Olympiodorus fol. 69, a.

VII, 2. *Ἀπορώτατα δ' ἔχει ἡ τοῦ ἐλαίου φύσις*] Ἀπορώτατα δ' ἔχειν φησὶ τὴν τοῦ ἐλαίου φύσιν, πότερον ὕδατος ἢ γῆς ἔχει πλέον. εἰ μὲν γὰρ ὕδατος εἶχε πλέον ἢ γῆς, ἔδει αὐτὸ ὑπὸ ψυχροῦ πήγνυσθαι, εἰ δὲ γῆς ὑπὸ θερμοῦ. νῦν δὲ οὐδετέρου μὲν πήγνυται, παχύνεται δὲ καὶ ὑπὸ τοῦ ψυχροῦ καὶ ὑπὸ τοῦ θερμοῦ. αἰτίαν δέ φησιν εἶναι τούτου τὸ ἀέρος εἶναι τὸ ἔλαιον πλῆρες. τοῦ δὲ ἀέρος αὐτὸ πλῆρες εἶναι σημείῳ ἐχρήσατο τῷ ἐπιπολάζειν αὐτὸ τῷ ὕδατι. αἴτιος γὰρ αὐτῷ τούτου ὁ ἀήρ, ἐπιπολαστικὸς ὢν τῷ ὕδατι καὶ ἄνω φερόμενος, εἰ καὶ ἐναποληφθείη ποτὲ ἐν τῷ ὕδατι. ὅτι δὲ ὁ ἀὴρ ὁ ἐν τῷ ἐλαίῳ αἴτιος αὐτῷ τοῦ ὑφ' ἑκατέρου καὶ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ παχύνεσθαι, ἐφεξῆς λέγει. τὸ μὲν γὰρ ψυχρόν, τὸ πνεῦμα καὶ τὸν ἀέρα ψῦχον καὶ εἰς ὕδωρ μεταβάλλον, παχύνει, ὥστε καὶ ὁ ἐν τῷ ἐλαίῳ ἀὴρ ἐν τῇ ψύξει συνιστάμενός τε καὶ παχυνόμενος καὶ εἰς ὕδωρ μεταβάλλων, αἴτιος καὶ τῷ ἐλαίῳ τοῦ παχύνεσθαι. ἀεὶ γάρ, ὅταν μιχθῇ ὕδωρ καὶ ἔλαιον, ἀμφοτέρων γίνεται τὸ μίγμα παχύτερον καὶ τοῦ ὕδατος καὶ τοῦ ἀμίκτου ὕδατι ἐλαίου. οὐ πάντα δὲ ἡγητέον ἐξυδατοῦσθαι τὸν ἐν τῷ ἐλαίῳ ἀέρα ὑπὸ τοῦ ψύχους, ἀλλά τι μέρος αὐτοῦ. εἰ γὰρ πᾶς, οὐκέτ' ἂν ἦν τὸ υπολειπόμενον αὐτοῦ ἔλαιον, εἴγε τῷ ἐλαίῳ τὸ εἶναι ἐν τῷ πλήρει ἀέρος εἶναι. πάλιν δὲ ὑπὸ πυρός, ἀλλὰ καὶ τοῦ χρόνου παχύνεσθαι αὐτὸ καὶ λευκαίνεσθαι λέγει· λευκαίνεσθαι μὲν ὑπὸ τοῦ θερμοῦ, ἐξατμίζοντος εἴ τι ἐνῆν ὕδωρ ἐν αὐτῷ, οὗ ἡ μίξις μελάντερον αὐτοῦ τὸ χρῶμα ποιεῖ, οὗ ἐξατμιζομένου ἅμα καὶ παχύνεται τὸ ἔλαιον. καὶ τὸ μὲν πῦρ

μὲν γὰρ τοῖς χυτοῖς καὶ ὀρυκτοῖς, ὥσπερ καὶ ὁ λίθος. μαλάττεται δὲ πλίνθους τε ποιοῦσιν. ὧν τάς τε ποικίλας καὶ τὰς ἄλλας τὰς συντιθεμένας· ἁπάσας γὰρ πυροῦντες καὶ μαλάττοντες ποιοῦσιν. Εἰ δὲ καὶ ἡ ὕελος ἐκ τῆς ὑελίτιδος, ὥς τινές φασι, καὶ αὕτη πυκνώσει γίνεται. Adde Strabon. XVI p. 1099. Plin. *Histor. nat.* XXXVI, 26. XXIX, 3.

οὕτως αὐτῷ καὶ τοῦ παχύνεσθαι καὶ λευκαίνεσθαι αἴτιον. ὁ δὲ χρόνος τοῦ παχύνεσθαι αὐτὸ αἴτιος γίνεται, οὐκέτι δὲ καὶ τοῦ λευκαίνεσθαι. μαραινομένου γὰρ τοῦ ἐν τῷ ἐλαίῳ τε ἀέρος καὶ τοῦ ἐν αὐτῷ θερμοῦ ψυχομένου, ὁ ἀὴρ εἰς ὕδωρ μεταβάλλων παχύτερον τὸ ἔλαιον ποιεῖ. ἀμφοτέρως οὖν τὸ αὐτὸ γίνεται πάθος, ἀμφοτέρως καὶ ὑπὸ τοῦ πυρὸς καὶ ὑπὸ τοῦ χρόνου· καὶ ἀμφοτέρως καὶ ὑπὸ τοῦ ἐξατμίζεσθαι τὸ ὕδωρ καὶ ὑπὸ τοῦ μεταβάλλειν τὸν ἐν αὐτῷ ἀέρα εἰς ὕδωρ. ὑπ' ἀμφοτέρων γὰρ τούτων τὸ αὐτὸ γίνεται πάθος ἐν τῷ ἐλαίῳ, τὸ παχύνεσθαι αὐτό, καὶ διὰ τὸ αὐτό, διὰ γὰρ τὸ ὕδωρ, ἀλλ' οὐχ ὡσαύτως, ἀλλ' ὅπου μὲν διὰ τὸ ἐξατμίζεσθαι αὐτό, ὅπου δὲ διὰ τὸ γεννᾶσθαι. δύναται τὸ ἀμφοτέρως καὶ διὰ τὸ αὐτὸ εἰρῆσθαι καὶ ἐπὶ τοῦ ψυχροῦ καὶ τοῦ χρόνου. ὑπὸ γὰρ ἀμφοτέρων παχύνεται τὸ ἔλαιον, τῷ γίνεσθαι ἐν αὐτῷ ὕδωρ ἐκ τῆς τοῦ ἀέρος μεταβολῆς, ἀλλὰ τοῦ μὲν ψυχροῦ ψύχοντος αὐτοῦ αὐτόθεν, τοῦ δὲ χρόνου καταμαραίνοντος τὸ ἐν αὐτῷ θερμόν. παχύνεται μὲν οὖν ὑπ' ἀμφοτέρων, οὐ ξηραίνεται δὲ ὑπ' οὐδετέρου, ὅτι οὔτε ὁ ἀήρ, οὔτε τά γλίσχρα τῶν ὑδάτων, οὔτε ὑπὸ ἡλίου, οὔτε ὑπὸ ψύχους ξηραίνεται. ἥ τε γὰρ γλισχρότης κωλυτικὸν ξηρότητος, ὅ τε ἀὴρ οὐκ ἐστι τῶν ξηραινομένων, ἀλλ', ὡς εἶπεν, ὕδωρ καὶ ὅσα ὕδατος εἴδη. ταῦτα γὰρ ἢ ἐξατμιζόμενα ξηραίνεται, ἢ πυκνούμενα, ἀλλ' οὐδὲ τὸ ἐν ἐλαίῳ ὕδωρ ἐξέψεται ὑπὸ πυρός, οὐδὲ ξηραίνεται, ὅτι τὸ μὲν ὑπὸ πυρὸς ἐξατμιζόμενον ὕδωρ τῷ ἀτμίζειν τε καὶ μεταβάλλειν εἰς ἀέρα ξηραίνεται. τὸ δ' ἐν ἐλαίῳ ὕδωρ οὐκ ἀτμίζει οὐδ' ἐξέψεται διὰ τὴν τοῦ ἐλαίου γλισχρότητα. — Alexander fol. 134, b.

VII, 6. Ὅσα δὲ μικτὰ ὕδατος καὶ γῆς κατὰ πλῆθος ἑκατέρου ἄξιον λέγεται] Ἀπορήσας τῇ προτεραίᾳ περὶ τοῦ ἐλαίου ὁ φιλόσοφος, λέγων ὅτι *) μετὰ τίνος

---

*) Ne ὅτι deleas, vetant quae Matthiaeus monuit *Gr. gr.* §. 539, not. 1. §. 631, p. 1299. Prorsus similis locutio est Sophocleae *Antigon.* v. 2:

> *ἆρ' οἶσθ' ὅτι Ζεὺς τῶν ἀπ' Οἰδίπου κακῶν*
> *ὁποῖον οὐχὶ νῷν ἔτι ζώσαιν τελεῖ;*

Adde Olymp. fol. 71, b (Exc. IV, 8, 6).

θετέον αὐτό, πότερον μετὰ τῶν ὑπὸ ὕδατος (ἀλλ' οὐ πάσχει τὰ ὕδατος· οὔτε γὰρ πήγνυται μὴ παχυνόμενον καθάπερ τὸ ὕδωρ ἀπὸ ψυχροῦ), ἀλλὰ μᾶλλον μετὰ τῶν συνθέτων ἐκ γῆς καὶ ὕδατος (ἀλλ' οὐ πήγνυται ὑπὸ θερμοῦ, ὥσπερ ὁ κέραμος καὶ τὰ ᾠὰ καὶ ὅσα τοιαῦτα), νῦν τὴν ἀπορίαν τὴν ἐναντίαν ἀπορεῖ ἐπὶ τοῦ οἴνου λέγων, πῶς ὁ οἶνος καὶ τὰ ὕδατος πάσχει. πήγνυται γὰρ ὑπὸ ψυχροῦ μὴ παχυνόμενος. καὶ τὰ ἐκ τῶν συνθέτων ἐκ γῆς καὶ ὕδατος πάσχει. παχύνεται γὰρ ὑπὸ θερμοῦ, καθάπερ τὸ μέλι. καὶ λύει τὴν ἀπορίαν λέγων, ὅτι οὐχ ὁ αὐτὸς οἶνός ἐστιν ὁ πάσχων τὰ ὕδατος καὶ τὰ τῶν συνθέτων ἐκ γῆς καὶ ὕδατος, ἀλλὰ τὰ μὲν ὕδατος πάσχει ὁ παλαιὸς οἶνος. οὗτος γὰρ ἀποθεὶς τὰ ἐν αὐτῷ παχυμερῆ πνεύματα καὶ τὴν γεώδη οὐσίαν, λεπτομερέστερος γέγονε παραπλησίως τῷ ὕδατι, καὶ διὰ τοῦτο ὡς παρακείμενος τῷ ὕδατι κατὰ τὴν λεπτομέρειαν πάσχει τὰ ὕδατος καὶ ψυχρῷ πήγνυται μὴ παχυνόμενος ὡς τὸ ὕδωρ. τὰ δ' ἐκ τῶν συνθέτων γῆς καὶ ὕδατος πάσχει ὁ νέος οἶνος ὁ γλευκίτης *). οὗτος γὰρ καὶ διὰ τὸ πολὺ ἔχειν τὸ γεῶδες ἔτι καὶ τὸ βρίθον παχύνεται ἑψόμενος ὑπὸ θερμοῦ μὴ πηγνύμενος καθάπερ τὸ μέλι. ὅθεν καὶ ὁ τοιοῦτος ἕψημα **) προσαγορεύεται διὰ τὸ ἑψόμενος παχύνεσθαι. εἶτα πάλιν τὴν αὐτὴν ἀπορίαν ὁ φιλόσοφος ἀπορεῖ καὶ ἐπὶ τοῦ αἵματος καὶ ἐπὶ τοῦ γάλακτος. ἰδοὺ γάρ φησι ταὐτὰ καὶ τὰ ὕδατος πάσχουσι καὶ τὰ ἐκ τῶν συνθέτων γῆς καὶ ὕδατος. τὸ γὰρ αἷμα καὶ παχύνεται ὑπὸ τοῦ ὑγροῦ, καθάπερ ἐκ γῆς καὶ ὕδατος, ἀλλὰ καὶ πήγνυται ὑπὸ ψυχροῦ μὴ παχυνόμενον, καθάπερ τὸ ὕδωρ. ὡσαύτως δὲ καὶ τὸ γάλα πήγνυται ὑπὸ ψυχροῦ, μὴ πηγνύμενον ὥσπερ καὶ τὸ ὕδωρ, καὶ πάλιν παχύνεται καὶ πήγνυται ὑπὸ τοῦ ψυχροῦ ἐν τῇ τυρώσει ***), ὑπὸ δὲ θερμοῦ ἐν τῇ ἑψήσει. εἶτα καὶ τούτων τὴν ἐπίλυσιν ἐπάγει λέγων οὐ τὸ αὐτὸ αἷμά

*) Lexicis addatur.

**) Cfr. Plin. *Histor. nat.* XIV, 9: *Syraeum, quod alii* ἕψημα, *nostri sapam appellant, ingenii, non naturae opus est, musto ad tertiam mensurae partem decocto: quod ubi factum ad dimidiam est, defrutum vocamus.* Pierson. ad Moerid. p. 310 ed. Koch.

***) Ald. πυρώσει. Emendatio nostra adeo certa, ut vocabulum τύρωσις lexicis, in quibus deest, inferre non dubitemus.

ἐστι τὸ πάσχον τὰ ἀμφοτέρων, οὐδὲ τὸ αὐτὸ γάλα. ἐκεῖνο γὰρ αἷμά ἐστι τὸ πάσχον τὰ ὕδατος *), τουτέστι πηγνύμενον ὑπὸ ψυχροῦ, μὴ παχυνθέν, μὴ ἔχον ἶνας. αἱ γὰρ ἶνες γεώδεις οὐσίαι ὑπάρχουσαι παχύνουσι τὸ αἷμα. τὸ οὖν αἷμα τὸ λεπτὸν καὶ ῥυτὸν μὴ ἔχον ταύτας τὰς ἶνας, ἢ ἐλάχιστα ἔχον οὐ παχύνεται, ἀλλὰ ῥυὲν ἀπὸ τῶν ἀγγείων πήγνυται ὑπὸ τῆς ψύξεως, ὥσπερ τὸ τῶν ἐλάφων. ὅθεν καὶ δειλαί εἰσιν αἱ ἔλαφοι διὰ τὸ ἔχειν αὐτὰς τοιοῦτον αἷμα. τοιοῦτον δ' ἐστὶ καὶ τὸ τῶν νοσηλευομένων αἷμα διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως· τὸ δ' ἔχον ἶνας αἷμα καὶ ὂν ὑγιές, ἐκεῖνο πάσχει τὰ τῶν συνθέτων ἅτε γεώδους οὐσίας ἔχον. καὶ παχύνεται πρῶτον, εἶθ' οὕτως πήγνυται **). ὁμοίως δὲ καὶ ἐπὶ τοῦ γάλακτος ῥητέον. οὔτε γὰρ τὸ αὐτὸ γάλα ἔχει τὰ ἀμφότερα, ἀλλ' ὁ μὲν ὀρρὸς πάσχει τὰ ὕδατος μὴ παχυνόμενος ***), ὡς ἅτε ὑδατώδης ὢν καὶ λεπτός. τὸ δὲ τυρῶδες καὶ παχύνεται καὶ πήγνυται, ὥσπερ τὰ σύνθετα, γεῶδες μᾶλλον ὑπάρχον. αὗται μὲν αἱ ἀπορίαι καὶ αἱ τούτων ἐπιλύσεις. ἐφ' οἷς ὁ φιλόσοφος καὶ περὶ τῶν πηγνυμένων διαλαμβάνει καθολικώτερον καί φησιν, ὅτι τὰ μὲν εἰσὶν εὔλυτα, τὰ δὲ δύσλυτα· εὔλυτα μέν, οἷον νίτρον, ἅλες, κρύσταλλος καὶ ὅσα τοιαῦτα, δύσλυτα δέ, μέταλλα καὶ αὐτὸς ὁ σίδηρος. βούλεται γὰρ τὸν σίδηρον τήκεσθαι, ὥσπερ καὶ τὰ ἄλλα μέταλλα, οὐ πάντα σίδηρον, ἀλλὰ τὸν ἀκάθαρτον τὸν πολλὴν σκωρίαν ἔχοντα. τῶν δὲ ἀλύτων τὰ μέν εἰσι μαλακτά, τὰ δὲ ἀμάλακτα †). μαλακτὰ μὲν οὖν εἰσιν, οἷον σίδηρος καὶ ὅσα τοιαῦτα. πλὴν ἐνταῦθα σίδηρον παραλαμβάνει μαλακτὸν ἄτηκτον τὸν καθαρόν, τὸ στόμα ††) τὸ λεγόμενον. ἀμάλακτον δ' οἷον κέραμος

*) Ald. inepte verba quaedam repetiit hunc in modum: ἐκεῖνο γὰρ αἷμά ἐστι τὸ πάσχον τὰ ἀμφοτέρων, οὐδὲ τὸ αὐτὸ γάλα. ἐκεῖνο γὰρ αἷμά ἐστι τὸ πάσχον τὰ ὕδατος. Superflua delevimus.

**) Supra Ald. εἶθ' οὕτω πήγνυται absque σ paragogico fol. 69, a (Exc. IV, 6, 6). At talia apud Olympiodorum vix commemoratione digna.

***) Ald. παχυνόμενον et mox ἅτερ pro ἅτε, unde etiam corrigi potest ὥσπερ. Deinde πυρῶδες pro τυρῶδες Ald.

†) Ald. μαλακά, τὰ δὲ μαλακτά.

††) Videtur corrigendum esse τὸ στόμωμα.

λίθος καὶ τὰ τοιαῦτα. ἐφ' οἷς *) ἀπορεῖ, δι' ἣν αἰτίαν τὰ μὲν τῶν πηγνυμένων λύονται, τὰ δ' οὐ λύονται. ἀλλ' ἡμεῖς διὰ τὸ σαφέστερον ποιῆσαι τὸ λεγόμενον, ἀναμνήσωμεν τῶν λεγομένων τῇ προτεραίᾳ. λέγομεν οὖν ὅτι τρία εἰσὶ τῆς πήξεως, θερμὸν καὶ ψυχρὸν καὶ ξηρόν, δύο δὲ τῆς τήξεως **). οὐκοῦν ἀποδώσωμεν ἄρτι τὰς αἰτίας τῶν λυομένων. τούτων τὰ μὲν εὐχερῶς λύονται, τὰ δὲ δυσχερῶς. ὅσα μὲν ἢ ψυχρῷ μόνῳ ἢ ξηρῷ μόνῳ, ἐκεῖνα εὔλυτά εἰσιν. ἢ γὰρ θερμῷ λύονται ἢ ψυχρῷ μόνον, ὥσπερ ὁ κρύσταλλος, ξηρῷ δὲ μόνον, ὥσπερ οἱ ἅλες καὶ τὸ νίτρον. εἰ καὶ μὴ βούλεται ὁ νῦν Ἀριστοτέλης ξηρῷ μόνον πήγνυσθαι τοὺς ἅλας, ἀλλὰ ξηρῷ θερμῷ. παρακατιὼν γὰρ διαρθρώσει τὸν λόγον. ὅσα δ' οὐ μόνον ὑπὸ ψυχροῦ ἐπάγησαν, ἀλλὰ καὶ ξηροῦ, ἐκεῖνα δύσλυτά εἰσιν, ὥσπερ τὰ μέταλλα. εἰπὲ δὲ καὶ ἄλλως τὴν διαίρεσιν τῶν λυομένων. ὅσα γὰρ δι' ὕδατος ὄντος ἐπάγησαν ὑπὸ ψυχροῦ ἢ ξηροῦ, ἐκεῖνά εἰσιν ὥσπερ νίτρον, ἅλες, κρύσταλλος καὶ τὰ τοιαῦτα, ὅσα δέ ἐστι †) σύνθετα ὄντα ἐκ γῆς καὶ ὕδατος ἐπάγησαν ψυχρῷ καὶ ξηρῷ, ταῦτα δύσλυτά εἰσιν, ὥσπερ τὰ μέταλλα. ταῦτα μὲν γὰρ διὰ τὸ ἐπιμιξίαν ἔχειν γεώδους οὐσίας, τούτου χάριν οὐ μόνον ψυχρῷ ἐπάγησαν, ἀλλὰ καὶ ξηρῷ· ὅθεν διὰ τὸ θερμὸν μόνον λύεται, οὐκ ἔτι δὲ καὶ ὑγρῷ, διὰ τοῦτο δύσλυτά εἰσι. καὶ ὁ αὐτὸς λόγος τῶν λυομένων ἐστίν. ἔλθωμεν καὶ ἐπὶ τὰ ἄλυτα. ταῦτα γὰρ μόνῳ θερμῷ πήγνυται, εἰ καὶ θερμῷ καὶ ψυχρῷ. θερμῷ μόνον, ὅσα ἐνεργείᾳ τὴν ὑγρότητα ἔχουσιν, ὥσπερ ᾠά, ὄρχεις, ἐγκέφαλος, ἧπαρ καὶ ὅσα τοιαῦτα. ἀλλ', εἰ δοκεῖ, ζητήσωμεν τὴν αἰτίαν, δι' ἣν ἄλυτα ††) ταῦτά εἰσιν. ἐπειδὴ γὰρ τὰ ὑπὸ μιᾶς δραστικῆς ποιότητος πηγνύμενα ἐλύετο ὑπὸ τῆς ἐναντίας, τὰ μὲν ὑπὸ ψύξεως τῇ θερμότητι, ὥσπερ κρύσταλλος καὶ τὰ μέταλλα, τὰ δὲ ὑπὸ θερμότητος ψύξει, ὥσπερ οἱ ἅλες καὶ το νίτρον (εἰ καὶ ψευδές ἐστι τὸ παράδειγμα· τὰ γὰρ ὑπὸ θερμότητος πηγνύμενα ἄλυτά εἰσι), νῦν δὲ καὶ ὑπὸ θερμότητος καὶ ψύξεως τῆξις γέγονε πῆξις, τί ἂν ἔσται τὸ λῦσον; οὔτε γάρ ἐστιν ἑτέρα δραστικὴ ποιότης ἡ λύουσα. οὐκοῦν ἄλυτά

*) Ald. praepositionem omittit. **) Ald. πήξεως.

†) ἐστὶ delendum videtur. ††) Vocabulum de meo adieci.

εἰσιν. ἀλλὰ ζητητέον, πῶς καὶ ὑπὸ ψυχροῦ καὶ ὑπὸ θερμοῦ πήγνυται τὰ τοιαῦτα. ἰδοὺ γὰρ ὁ κέραμος πρῶτον ὑπὸ ψυχροῦ πήγνυται ἔτι πηλὸς ὤν, ἔπειτα ὑπὸ θερμοῦ παγεὶς ἄλυτός ἐστιν. ἀλλὰ καὶ ὁ σίδηρος ὑπὸ τῶν δύο πήγνυται, οὐ κατὰ τὸν αὐτὸν λόγον, ἀλλὰ τὸ ἀνάπαλιν. πρῶτον μὲν ὑπὸ θερμοῦ ἐν τῇ καμίνῳ, ἔπειτα δὲ ὑπὸ ψυχροῦ. καὶ μὴ ἀπορήσῃς, πῶς ὑπὸ θερμοῦ εἶπον πήγνυσθαι τὸν σίδηρον ἐν τῷ πυρί. εἴγε δὴ μᾶλλον ἀραιοῦται καὶ διαχεῖται. κατὰ τοῦτο γὰρ ἔφη αὐτὸν ὑπὸ τοῦ πυρὸς πήγνυσθαι, καθὸ τὸ πῦρ ἀραιοῦν αὐτὸν καὶ διαφοροῦν τὴν σύμφυσιν, ἀτμιδώδη ὑγρότητα. εἰ καὶ μὴ πᾶσαν ἐνεργῆ αὐτὸν ποιεῖ τῷ ὑγρῷ καὶ εὐπαθῆ πρὸς τὸ σκληρυνθῆναι ὑπ' αὐτοῦ καὶ παγῆναι. καὶ διὰ ταύτην τὴν αἰτίαν λέγεται καὶ ὑπὸ τοῦ πυρὸς πήγνυσθαι ὁ σίδηρος κατὰ συμβεβηκός. ὅθεν ἄλυτός ἐστιν ὡς ὑπὸ τῶν δύο δραστικῶν παγείς. ὑπὸ μὲν γὰρ θερμοῦ οὐ λύεται, ἐπειδὴ ὑπ' αὐτοῦ τὴν πῆξιν, ἤτοι τινὰ μορφὴν τῆς πήξεως ἔλαβεν. ἀλλ' οὔτε ὑπὸ ψυχροῦ, ἐπειδὴ ἔναγχος ὑπ' αὐτοῦ πέπηκται, λείπεται ὑπὸ ὑγροῦ εἰ καὶ ἄρα λύεσθαι. ἀλλ' οὐ δυνατὸν τοῦτο διεισδῦναι εἰς τοὺς πόρους ἐκείνους, δι' ὧν διεφορήθη τὴν ἀτμιδώδη ὑγρότητα, ἐπειδὴ τὸ ὕδωρ παχυμερὲς ὂν οὐ δύναται διεισδῦναι διὰ τοιούτων πόρων. τί φῄς, Ἀριστότελες, οὐ δύναται διεισδῦναι τὸ ὕδωρ εἰς ἐκείνους τοὺς πόρους, δι' ὧν τὸ ἀτμιδῶδες ἐξεκρίθη; τί οὖν διὰ πόρων γίνεται ποιεῖν καὶ πάσχειν; καὶ πῶς ἐν τῇ περὶ γενέσεως καὶ φθορᾶς ἔλεγες, ὅτι οὐ γίνεται τὸ ποιεῖν καὶ πάσχειν διὰ πόρων; ἐπειδὴ γὰρ δι' ὅλου τοῦ σώματος ποιεῖ τὸ ποιοῦν καὶ πάσχει τὸ πάσχον, εἰ διὰ πόρων γίνεται ταῦτα, εὑρεθήσεται πόρος ὅλον τὸ σῶμα. ταύτην τὴν ἀπορίαν ἐπιλυόμενος ὁ μέγας φιλόσοφός φησιν, ὅτι πόρους νῦν λέγει Ἀριστοτέλης οὐ τῷ ὄντι πόρους, ἀλλὰ τὰ εὐπαθέστερα μόρια τὰ ἐν τῷ σιδήρῳ πόρους ἐκάλεσε. τὸ αὐτὸ δὲ ῥητέον καὶ ἐπὶ κεράμου. καὶ γὰρ ἐκεῖ διὰ τὸ μὴ εἰσδέχεσθαι τὸ ὕδωρ ἐντός, τούτου χάριν οὐχ ὑγραίνει οὐδὲ λύεται. ἀλλ' ἐπειδὴ ἐλέγομεν ἀνωτέρω, ὅτι τούτων τῶν ἀλύτων τὰ μὲν μαλακά εἰσιν, ὡς κηρὸς καὶ σίδηρος, ζητήσωμεν τούτων τὴν αἰτίαν, καί φαμεν, ὅτι ἐν οἷς ἐν τῇ πήξει μεμένηκεν ἀμυδρὸν ἴχνος ὑγρότητος, τούτοις ἐν πυρὶ πάλιν θερμαινομένοις ἀνακινεῖται πάλιν ἡ ἀπολειφθεῖσα ὑγρότης κινουμένη ὑπὸ τοῦ

πυρὸς εἰς τὸ διαφορηθῆναι. καὶ ἐντεῦθεν ὑγρότερα γινόμενα μαλάττονται, ὥσπερ σίδηρος καὶ κηρός. ὅθεν ὁ πολλάκις ἐκκαεὶς σίδηρος οὐδὲ μαλάττεται οὐδὲ θρύπτεται διὰ τὸ ἀνηλῶσθαι πᾶσαν τὴν ἐν αὐτῷ ὑγρότητα. ὅσα δὲ ἐν τῇ πήξει ἅπασα αὐτοῖς ἀνηλώθη ἡ ἀτμιδώδης ὑγρότης, ὡς μὴ μεῖναι ὅλως ἴχνος ὑγρότητος, πλὴν τῆς συνεκτικῆς τῶν μορίων, ταῦτα παντελῶς ἀμάλακτά εἰσι. θραύονται γάρ, ὥσπερ κέραμος, λίθος καὶ τὰ τοιαῦτα. τὰ μὲν οὖν ῥητέον περὶ τῶν πηγνυμένων καὶ τηκομένων, ἐξ ὧν ἐστι πόρισμα κερδᾶναι, ὅτι πάντα τὰ ὑπὸ σελήνην ἐκ τοῦ ξηροῦ καὶ ὑγροῦ σύγκειται, τουτέστι γῆς καὶ ὕδατος. εἰ γὰρ ποτὲ μὲν πήγνυνται, ποτὲ δὲ τήκονται, τὸ δὲ πήγνυσθαι καὶ τήκεσθαι τοῦ ξηροῦ καὶ ὑγροῦ ἐστι, δῆλον ὅτι ἀπὸ ξηροῦ καὶ ὑγροῦ σύγκεινται. ἀλλ᾽ ἐπειδὴ τὸ πήγνυσθαι καὶ τὸ τήκεσθαι οὐκ ἀφ᾽ ἑαυτῶν ἔχουσιν, ἀλλ᾽ ὑπὸ θερμοῦ καὶ ψυχροῦ, δηλονότι ἐκ τῶν τεσσάρων στοιχείων εἰσὶ συγκείμενα. ἀλλ᾽ ἄπορος ὁ λόγος. εἰ γὰρ ποιητικὰ μέν εἰσι τὸ θερμὸν καὶ ψυχρόν, ἀεὶ δὲ τὸ ποιοῦν ἐξαίρεσθαι δεῖ τοῦ γινομένου, πῶς λέγομεν, ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ σύγκειται τὰ σώματα; οὐ γὰρ δεῖ τὰ ποιητικὰ αἴτια συγκαταριθμεῖσθαι ἐν τῷ συνθέτῳ· ἢ ῥητέον, ὅτι ποιητικὰ αἴτια λέγει τὸ θερμὸν καὶ ψυχρόν, ὡς δρῶντα εἰς ξηρὸν καὶ ὑγρόν. οὐ μὴν ποιητικὰ αἴτια τῆς φύσεως τῶν σωμάτων. ὄργανα γάρ εἰσι τῆς τοῦ δημιουργοῦ φύσεως, καὶ ὡς ὀργάνοις ἡ φύσις κεχρημένη τῷ θερμῷ καὶ ψυχρῷ, δρᾷ εἰς τὸ ξηρὸν καὶ ὑγρόν. ἢ εἰπὲ καὶ ἄλλως, ἐκ τῶν τεσσάρων στοιχείων λέγεται συγκεῖσθαι τὰ σώματα, οὐχ ὅτι ἐκ τῶν τεσσάρων σύγκεινται, ἀλλ᾽ ἐκ τῆς τῶν τεσσάρων συνδρομῆς γέγονε. σύγκειται μὲν γὰρ ἐκ γῆς καὶ ὕδατος, μεταβάλλονται δ᾽ ὑπὸ θερμοῦ καὶ ψυχροῦ. ἀλλ᾽ εἰ καὶ λέγω, ὅτι πάντα τὰ ὑπὸ σελήνην σύγκειται ὑπὸ ξηροῦ καὶ ὑγροῦ, προσδιορισμοῦ δεῖται ὁ λόγος. οὔτε γὰρ πάντα ἁπλῶς σύγκειται ἐκ γῆς καὶ ὕδατος, ὥσπερ γὰρ τὰ τῶν ζῴων μόρια καὶ τὰ τῶν φυτῶν, τὰ δ᾽ ἐκ τῶν ἀναλογούντων τῇ γῇ καὶ ὕδατι, τουτέστι τῆς διττῆς ἀναθυμιάσεως, ὥσπερ τὰ μέταλλα. ἀναλογεῖ μὲν γὰρ ἡ καπνώδης ἀναθυμίασις τῇ γῇ, ἡ δ᾽ ἀτμιδώδης τῷ ὕδατι. πλὴν εἴ τι *) ἐκ γῆς καὶ ὕδατος

*) Ald. εἴ τε.

σύγκειται, ἐκ τῶν ἀναλογούντων γῇ καὶ ὕδατι σύγκειται. ἐκ παθητικῶν καὶ ποιητικῶν ποιοτήτων τὰ σύνθετα· ποιητικῶν μέν, λευκοῦ, μέλανος, ὀσφραντοῦ, γευστοῦ, ψοφητικοῦ, ἁπτοῦ· ταῦτα γὰρ ποιοῦσιν εἰς τὰς ἡμετέρας αἰσθήσεις. τὸ μὲν λευκὸν διακρῖνον, τὸ δὲ μέλαν συγκρῖνον τῇ ὄψει καὶ τὰ ἄλλα ὁμοίως ἕκαστον. ἀλλὰ περὶ μὲν τούτων οὐ διαλέγεται τὰ νῦν ὁ φιλόσοφος. ἐν ἑτέρᾳ γὰρ πραγματείᾳ περὶ τούτων διαλαμβάνει, τουτέστιν ἐν τῷ περὶ αἰσθήσεως καὶ αἰσθητοῦ *). νῦν δὲ περὶ τῶν παθητικῶν ποιοτήτων διαλαμβάνει, τουτέστιν ἐν τούτῳ, ἐπειδὴ περὶ ὑλικῶν ἐστὶν αὐτῷ ὁ λόγος καὶ περὶ **) παθητικῶν. σύνεστι δὲ ἀεὶ τὸ πάθος τῷ πάσχοντι, τὸ δὲ ποιοῦν οὐκ ἀεί. οὐκοῦν εὐλόγως περὶ τῶν παθητικῶν μόνων ἐνταῦθα διαλέγεται καὶ παραδίδωσι τὰς δεκαοκτὼ ἀντιθέσεις, ἃς ποιεῖ τὸ θερμὸν καὶ τὸ ψυχρὸν (πάσχει δὲ τὸ ξηρὸν καὶ ὑγρόν), ἃς κατὰ τὴν λέξιν μαθησόμεθα. παρέλιπε δὲ ἐν ταύταις τὸ μαλακὸν καὶ τὸ σκληρόν, ἅτε διαλεχθεὶς περὶ αὐτῶν διὰ τῶν ἐν τοῖς προλαβοῦσι. μέμνηται δὲ πάλιν τοῦ πηκτοῦ καὶ τηκτοῦ, οὐχ ὡς μὴ πάλιν αὐτῶν μνημονεύσας, ἀλλ᾽ ἵνα τὰ διὰ πολλῶν εἰρημένα περὶ αὐτῶν διὰ τῶν προλαβόντων, νῦν ἐπιτομῇ τινι καὶ συνόψει περιλάβῃ. — Olympiodorus fol. 69, a — 70, a.

VII, 7. Ἡ γὰρ ἀτμὶς συνίσταται .... τοῦτο γῆς] Ἀπὸ πάντων δὲ λέγει τῶν τοιούτων ξηραινομένων τὸ ὕδωρ ἀπέρχεσθαι. τῶν τοιούτων· τῶν μεμιγμένων ἐξ ὕδατός τε καὶ γῆς καὶ πλέον γῆς ἐχόντων, ἃ ὑπὸ θερμοῦ ξηραίνεται. ξηραινομένων γὰρ τούτων τὸ ὕδωρ ἀπέρχεται. ἡ γὰρ ἀτμὶς ἡ ἀναφερομένη, ξηραινομένων αὐτῶν ὕδωρ ἐστίν. οὗ σημεῖον παρέθετο τὸ εἰς

---

*) Confirmatur h. l. Trendelenburgii sententia (ad *de anim. Prooem.* p. 118), olim multo pleniorem lectum esse librum *de sensu et sensili*, in quo nunc nihil de auditu reperitur, quamvis ea de re actum esse ab Aristotele in hoc libello pateat ex loco *de generat. animal.* V, 7 p. 786. Hodie περὶ ψοφητικοῦ nihil reperitur, nisi verba περὶ δὲ ψόφου καὶ φωνῆς εἴρηται πρότερον ἐν τοῖς περὶ ψυχῆς (cap. 4), quae spectant ad *de anim.* II, 8.

**) Verba καὶ περί de meo adieci. Ald., qui ea omisit, post ἐν τούτῳ punctum posuit.

ὕδωρ αὐτὴν ἠθροισθεῖσαν συνίστασθαι. ἡ γοῦν ἐπὶ τοῖς τῶν χαλκείων πώμασιν ἀθροιζομένη ὕδωρ ἐστίν. ὅσοις δὴ τῶν ἐξατμιζομένων ὑπὸ πυρὸς ὑπολείπεταί τι μηκέτ' ἐξατμίζεσθαι δυνάμενον, τοῦτο γῆς ἡγητέον εἶναι. ἐν γὰρ τῷ ὕδατι, ὅταν καθ' αὑτὸ ὂν ἀτμίζηται καὶ ξηραίνηται, οὐδὲν ὑπολείπεται, ὃ μὴ δύναται ἐξατμισθῆναι. — Alexander fol. 135, a.

Πήγνυται μὲν ὑπὸ ψυχροῦ· ἑψᾶται δὲ τουτέστι παχύνεται διαφορουμένου τοῦ ἐν αὐτῷ ὑδατώδους καὶ ῥυτοῦ, πάσχει ταῦτα. καὶ ὅτι ἀληθές ἐστι, τοῦτο δὴ παράδειγμα δίδωσιν αὐτός. ἐὰν γάρ φησι καὶ ἐπὶ τῶν ἑψομένων ἐκκρεμάσαι τις σπόγγον ὑπεράνωθεν, εἶτα ὕστερον πιέσῃ αὐτόν, εὑρήσει αὐτὸν πλήρη ὑγροῦ, ᾗ δηλονότι τὸ λεπτομερὲς καὶ τὸ ἀτμιδῶδες διεφορήθη *). — Olympiodorus fol. 70, b.

VII, 10. *Καὶ λίθων δ' ἔκ τινων συνίστανται τοιούτων*] Καὶ λίθους δέ φησί τινας ἐξ ὑγρῶν τινων συνισταμένων γίνεσθαι, ὥσπερ καὶ τοὺς ἅλας. τοιαῦτα δέ ἐστι τὰ τῶν ὑδάτων ἐν τῇ ῥύσει πώρους **) τινὰς καὶ λίθους ἐπιγεν-

---

*) Loquitur Olympiodorus, quasi alia prorsus verba, in quibus de spongia sermo erat, in suo codice reperisset. Et re vera factum esse potest, ut ad verba ἐάν τις βούληται συλλέγειν quaedam olim explicationis gratia addita fuissent. Erat autem notissimus apud veteres spongiae usus, in vino num merum sit an cum aqua permixtum periclitando, quamvis non tam spongia quam oleum, in quod mersa erat, aquam ex vino extraheret. Vide omnino *Geoponica* VII, 8. Nemes. *de natur. homin.* c. 3. p. 94 (ed. Oxonii 1671): ἡ κρᾶσις τοῦ οἴνου καὶ τοῦ ὕδατος ἀμφότερα συνδιαφθείρει· οὔτε γὰρ ὕδωρ ἐστὶ καθαρὸν τὸ κρᾶμα οὔτε οἶνος· καίτοι τῆς τοιαύτης κράσεως κατὰ παράθεσιν γινομένης λανθάνουσαν τὴν αἴσθησιν διὰ τὸ λεπτομερὲς τῶν κεκραμένων. δῆλον δὲ ἐκ τοῦ πάλιν ἀπ' ἀλλήλων δύνασθαι χωρίζεσθαι· σπόγγος γοῦν ἐλαιωθεὶς ἀνιμᾶται καθαρὸν τὸ ὕδωρ καὶ πάπυρος. Stob. *Eclog. phys.* p. 378: ἐὰν οὖν σπόγγον ἐλαιούμενον καθῇ τις εἰς οἶνον ὕδατι κεκραμένον, ἀποχωρίσει τὸ ὕδωρ τοῦ οἴνου, ἀναδραμόντος τοῦ ὕδατος εἰς τὸν σπόγγον. Aliud exprimentum docuerunt Cato [*de re rust.* c. 111. Plin. *Hist. nat.* XVI, 35. *Geoponic.* VI, 17 p. 462.

**) πῶρος calcariae terrae genus quoddam. Herodot. V, 62: οἷα δὲ χρημάτων εὖ ἥκοντες (de Alcmaeonidis sermo est templum Delphicum exstructuris) καὶ ἐόντες ἄνδρες δόκιμοι ἀνέκαθεν ἔτι, τόν τε νηὸν ἐξεργάσαντο τοῦ παραδείγματος κάλλιον, τά τε ἄλλα καὶ

νῶντα. ὕδατα δ' εἴη ἂν καὶ αὐτὰ γῆς ἔχοντα πλέον. — Alexander fol. 135, a.

Ἐντεῦθεν ἀπορεῖ, ὡς *) καὶ ἐπὶ τοῦ οἴνου ἠπόρησε. καί φησιν, ὅτι καὶ ταῦτα **) ἐκ γῆς καὶ ὕδατός εἰσιν, ὥσπερ καὶ πᾶν ὑγρόν, ἐξ οὗ παχυμερὲς γίνεται, ὥσπερ ἅλες καὶ νίτρον, καὶ λίθοι οἱ πῶροι λεγόμενοι. πῶς οὖν ταῦτα κοινὰ ὄντα ἐκ γῆς καὶ ὕδατος ὥσπερ καὶ τὰ αὐτὰ ὑπὸ τοῦ αὐτοῦ καὶ πήγνυται καὶ παχύνεται. τὸ αὐτὸ καίτοι, ἀλλ' οὐχ ὑπὸ τοῦ αὐτοῦ καὶ πήγνυται καὶ παχύνεται. ἀλλὰ τὰ μὲν ὑπὸ θερμοῦ, τὰ δὲ ὑπὸ ψυχροῦ. ταῦτα δὲ μόνον ὑπὸ ψυχροῦ ἀμφότερα πάσχει. — Olympiodorus fol. 70, b.

VII, 20. Ὁ δὲ σίδηρος τακεὶς ὑπὸ θερμοῦ ψυχθεὶς ***) τήκεται] Σίδηρον νῦν, οὐ τὸν καθαρὸν λαμβάνει, ἀλλὰ τὸν ῥυπαρόν. οὗτος γὰρ τήκει. ὁ δὲ καθαρὸς μαλάττει μόνον. — Olympiodorus fol. 71, a.

VIII, 6. Περὶ μὲν οὖν πηκτοῦ καὶ ἀπήκτου καὶ τηκτοῦ καὶ ἀτήκτου εἴρηται μὲν καθόλου πρότερον, ὅμως δ' ἐπανέλθωμεν καὶ νῦν] Τὸ περὶ πηκτοῦ καὶ τηκτοῦ πάλιν ὁ φιλόσοφος ἐπανακεφαλαιοῦται, οὐχ ὥς τινες ᾠήθησαν βουλόμενος ἐπιτομὴν ποιήσασθαι τῶν ἀνωτέρω περὶ αὐτῶν ἐργωδῶς εἰρημένων. ἀλλὰ ταῦτα ποιεῖ χάριν τοῦ ἐπανορθώσασθαι τὸ παχυμερῶς εἰρημένον ἐν τοῖς προλαβοῦσι. ταὐτὸν δ' εἰπεῖν, ὅτι ἔλεγε τοὺς ἅλας καὶ τὸ νίτρον θερμῷ πήγνυσθαι καὶ ψυχρᾷ λύεσθαι. ἐστὶ δέ ἡ ἐπανακεφαλαίωσις †) τοιαύτη. τῶν πηγνυμένων τὰ μὲν ὕδατός ἐστι, τὰ δὲ γῆς· καὶ ὅσα μὲν ὕδατός ἐστιν, ἐκεῖνα ψυχρῷ πήγνυται. ἀπουσίᾳ δ' ὑγρῶν

συγκειμένου σφι πωρίνου λίθου ποιέειν τὸν νηόν, Παρίου τὰ ἔμπροσθεν αὐτοῦ ἐξεποίησαν. Theophr. *de lapidib.* §. 7. p. 688: τὴν κουφότητα ἔχων τοῦ πώρου, ibique Schneider. Tom. IV p. 544. Pausan. V, 10, 2. VI, 19, 1. *Geoponic.* VII, 12, 10, ibique Niclas. p. 485. Plin. *Histor. nat.* XXXVI, 17: *Pario similis candore et duritie, minus tamen ponderosus, qui porus vocatur.* — Mirum est apud utrumque huius loci interpretem mentionem iniici pori lapidis, idcircoque, praesertim collatis Olympiodori verbis vero simile, in textu Aristotelis hoc nomen olim lectum esse.

*) ὡς de meo adieci. **) Sc. αἷμα καὶ γάλα.

***) Ita enim Olymp. pro ψύχει. †) Lexicis addatur.

πήγνυται, τουτέστι ξηρῷ. ἀλλ' ἵνα τῷ μὴ ποιεῖν ὑλικὴν αἰτίαν ἀπονέμει ὁ Ἀριστοτέλης, τουτέστι τὴν πῆξιν τῇ ξηρότητι, τὴν αἰτίαν τῆς ἀποστασίας τοῦ ὑγροῦ παρατίθεται. καὶ ταύτῃ δίδωσι τὴν πῆξιν, τουτέστι τὴν θερμότητα. ἡ γὰρ θερμότης ἐξικμάσασα τὴν ὑγρότητα ποιεῖ τῇ ἀποστασίᾳ τοῦ ὑγροῦ ξηρότητα, ἥτις πήγνυσι τοὺς ἅλας καὶ τὸ νίτρον· ὡς εἶναι τὰ δύο πήγνυντα ταῦτα αἴτια, θερμότητα καὶ ξηρότητα. ἀλλὰ πόρρω μὲν αἴτιον ἡ θερμότης, προσεχὴς δὲ ἡ ξηρότης· εἶτα ἐπειδὴ περὶ πηκτοῦ καὶ τηκτοῦ καὶ ἀτήκτου ἀρκούντως διειλέχθη, λείπεται δ' ἔτι τὸ ἄπηκτον *) τῷ λόγῳ. περὶ τούτου διαλέγεται καὶ παραδίδωσι τὰ τούτου ποιητικὰ αἴτια. καί φησιν, ὅτι τρία εἰσὶ τὰ ποιοῦντα τὸ ἄπηκτον, θερμότης, ἀερώδης καὶ ὑδατώδης οὐσία, γλισχρότης· θερμότης μέν, ὡς ἐπὶ τῆς τοῦ βράζοντος ὕδατος καὶ ἐπὶ τοῦ ζέοντος γλεύκους. ταῦτα γὰρ διὰ τὴν παρουσίαν τῆς θερμότητος οὐ πήγνυται. ἀερώδης δὲ καὶ ὑδατώδης οὐσία, ὡς ἐπὶ τοῦ ἐλαίου. διὰ γὰρ τὴν ἀερώδη οὐσίαν οὐ πήγνυται, ἐπειδὴ ὑγροτάτη ἐστὶν ἡ τοιαύτη. ὅθεν παχύνεται μόνον, οὐ πήγνυται καὶ διὰ τοῦτο μολυντὸν γίνεται. μολύνει γὰρ ἁπτομένοις τὴν χεῖρα τὸ πεπαχυμμένον ἔλαιον. καὶ ὅτι ἐστὶν ἐν αὐτῷ ἀερώδης οὐσία, δῆλον. ἐπινήχεται γὰρ τῷ ὕδατι. ἀλλ' ἄξιόν ἐστιν ἀπορίας, πῶς ὁ ὑδράργυρος, καίτοι ἀερώδους καὶ ὑδατώδους ὑπάρχων οὐσίας, βρίθει καὶ βαρύτατός ἐστιν. ἢ λέγομεν, ὅτι εἰ καὶ ἀερώδους ὑπάρχει οὐσίας ὁ ὑδράργυρος, ἀλλ' οὖν πολλὴ καὶ συμπεπιλημένη ἐστὶν ἐν αὐτῷ ἀερώδης οὐσία. καὶ διὰ τοῦτο πολλὴν ἄγει τὴν ὁλκήν. ἀμέλει πυρούμενος μέχρι τῆς ὀροφῆς ἀναβράσσεται διὰ τὸ ἀναλύεσθαι τὴν ἀερώδη οὐσίαν τὴν ἐν αὐτῷ συμπεπιλημένην καὶ χωρεῖν ἐπὶ τὸ συγγενές. οὕτω μὲν οὖν τὸ ἔλαιον οὐ πήγνυται διὰ τὴν ἐν αὐτῷ ἀερώδη οὐσίαν. ἀλλὰ μὴν οὐδὲ τὰ γλισχρότητα ἔχοντα πήγνυται, οἷον ὑγρὰ πίσσα καὶ ἰξός **). εἶτα μετὰ τὸ συμπληρῶσαι τὸν περὶ πηκτοῦ καὶ ἀπήκτου καὶ τηκτοῦ καὶ ἀτήκτου λόγον, μέτεισιν ὁ φιλόσοφος καὶ ἐπὶ τὴν τοῦ μαλακτοῦ ***)

---

*) Ald. ἄτηκτον.

**) Hinc patet, utrumque vocabulum etiam Olympiodorum in fine §. 11 legisse.

***) Ald. μαλακοῦ.

ἀντίθεσιν. καί φησιν, ὅτι ἐκεῖνά εἰσι τὰ μαλακτά, ἅπερ μήτε ὕδατός εἰσι μόνως, μήτε γῆς μόνως, ἀλλ᾽ ἐκ γῆς καὶ ὕδατος, ὥστε συμμέτρως ἔχειν πρὸς ἀμφοῖν· τὰ μὲν ὕδατος μόνως ἀμάλακτά εἰσιν, οἷον κρύσταλλος· ἀλλὰ καὶ τὰ τῆς γῆς μόνως, οἷον κέραμος καὶ ἅλες καὶ νίτρον καὶ ὅσα τοιαῦτα. τὰ δὲ συμμέτρως ἔχοντα γῆς καὶ ὕδατος, ἐκεῖνα μαλακτά εἰσι ταῦτα δὲ τριττὰ ὑπάρχουσιν. ἢ γὰρ ἑλκτά, ἢ θλαστά, ἢ καμπτά. ἢ ἑλκτὰ διχῶς, ἢ ἰδίῳ ὑγρῷ ὄντα τοιαῦτα, ἢ ἀλλοτρίῳ· ἰδίῳ μέν, ὥσπερ ἱμᾶς, νεῦρον, μέλι, ἰξός· τοῦτα γὰρ διὰ τὴν σύμφυτον ὑγρότητα μαλάττονται. οὕτω δὲ καὶ δέρμα καὶ ὅσα τοιαῦτα. ἀλλοτρίῳ δέ, ὥσπερ τὸ στέαρ. τὰ γὰρ ἄλευρα φυραθέντα ὕδατι καὶ μαλαχθέντα γίνεται ἕλκιμα *). τὰ δὲ ἐλατὰ ἢ χειρὶ τοιαῦτά εἰσιν, ἢ πληγῇ, πυρὶ ἅμα καὶ ὕδατι. χειρὶ μὲν ὥσπερ κηρός· οὗτος γὰρ μαλαττόμενος τῇ χειρὶ ἐλαύνεται. πυρὶ δ᾽ ὁ σίδηρος· οὗτος γὰρ πυρωθεὶς ἐλαύνεται ὑπὸ πληγῆς. οὕτω δὲ καὶ ὁ χρυσὸς καὶ ὁ ἄργυρος καὶ ὁ μόλυβδος καὶ κασσίτερος καὶ ὅσα τοιαῦτα. πυρὶ δὲ καὶ ὕδατι, ὥσπερ οἱ λαμπτῆρες, τουτέστι τὰ διαφανῆ κέρατα, ἐν οἷς ἐντίθενται αἱ λαμπάδες νύκτωρ **). τὰ γὰρ κέρατα πρῶτον μὲν βρεχόμενα, ἔπειτα δὲ πυρὶ ὁμιλοῦντα μαλάττονται. ἀλλὰ μὴ ἀπορήσῃς λέγων ταῦτα εἶναι μαλακτὰ καὶ τηκτά, ἐπειδὴ συμβαίνει τοῖς ἐλατοῖς μαλακτοῖς μὴ μόνον ἐλαύνεσθαι, ἀλλὰ καὶ τήκεσθαι, ὥσπερ καὶ τῷ χαλκῷ καὶ τῷ χρυσῷ καὶ ὅσα τοιαῦτα. εἰ γὰρ καὶ μαλάττονται καὶ τήκονται ταῦτα, ἀλλ᾽ οὖν ἄλλῳ μὲν μαλάττονται, ἤτοι ἐλαύνονται, ἄλλῳ δὲ τήκονται ταῦτα. μαλάττονται μὲν πληγῇ, τήκονται δὲ πυρί. εἰ δ᾽ εἴπῃς, ὅτι καὶ πυρὶ τὰ αὐτὰ πάσχουσιν, ἀλλ᾽ οὖν οὐκ ἐν τῷ αὐτῷ. ἀλλὰ τῷ μὲν μαλακῷ μαλάττονται, τῷ δὲ σφοδρῷ τήκονται. ταῦτα μὲν οὖν εἰσι τὰ ἐλατὰ μαλακτά. τὰ δὲ καμπτά, ὥσπερ λύγος καὶ κάλαμος χλωρὸς καὶ σανίδες καὶ ὅσα τοιαῦτα. καὶ αὐτὰ γὰρ μαλάττεσθαι λέγονται τῷ κάμπτεσθαι τῇδε κἀκεῖσε. ταῦτα εἰπὼν περὶ μαλακτοῦ καὶ ἀμαλάκτου ὁ φιλόσοφος, καὶ ἐπὶ ἑτέραν ἔρχεται ἀντίθεσιν τὴν τοῦ ἀτέγκτου καὶ τεγκτοῦ. καὶ

---

*) Lexicis addatur.

) Uti poterat h. l. **Beckmannus *Beitr. zur Gesch. der Erfind.* I, p. 63 sqq.

*μή τις νομίσῃ ταὐτὸν εἶναι τηκτὸν καὶ ἄτηκτον ἢ τεγκτὸν καὶ ἄτεγκτον. ἐκεῖνο γάρ ἐστι τὸ τεγκτόν, ὅπερ εἰσδεξάμενον ἀλλοτρίαν ὑγρότητα μὴ διαλύεται, ἀλλὰ συνίσταται. ὅπερ δ' εἰσδεξάμενον διαλύεται, ἐκεῖνο τηκτόν ἐστιν, ὥσπερ γῆ πηλός. καὶ ὅτι οὐ ταὐτόν ἐστι τεγκτὸν καὶ ἄτεγκτον, οὐδὲ μὴν τηκτὸν καὶ ἄτηκτον δῆλον. ἐπειδή εἰσί τινα τεγκτὰ μέν, ἄτηκτα δέ, ὥσπερ ἔριον καὶ πλίνθος ὀπτωμένη. ταῦτα γὰρ βρέχονται μέν, οὐ λύονται δέ. τοιαῦτα δ' εἰσὶ καὶ τὰ Αἰγύπτια ὄστρακα *), ἅτινα μικρᾶς νοτίδος ἁψάμενα κατὰ τὸν πυθμένα μέχρι τοῦ χείλους, ἀναδίδοται αὐτοῖς ἡ ὑγρότης. ὅθεν ἠπόρησεν ὁ μέγας Ἀσκληπιόδοτος φιλόσοφος **), ὅτι πῶς ***) ταῦτα ἕλκουσι τὴν ὑγρότητα, πότερον ἑλκτικῇ τινι δυνάμει, ἢ ἑτέρῳ τινί. καὶ ἔλυσε τὴν ἀπορίαν ἐν τῷ ὑπ' αὐτῷ γεγραμμένῳ εἰς Τίμαιον ὑπομνήματι. ταῦτα μὲν οὖν καὶ ὅσα τοιαῦτα τεγκτὰ μέν, ἄτηκτα δέ. ἀλλὰ δὲ τὸ ἀνάπαλιν τηκτὰ μέν, οὐ τεγκτὰ δέ, ὥσπερ οἱ*

---

*) Haec sunt vasa, uti iam monuit Schneid. *Ecl. phys.* Tom. II p. 91, quae commemorantur apud Galen. *Compos. medic. sec. loca* I, 5: *τὰ σκεύη τὰ ἀλεξανδρωτικὰ τὰ καλλάϊνα καλούμενα.* V, 9. Aët. VI, 65: *τὰ κλαηνὰ ὄστρακα* (cfr. not. Cornarii p. 306. 430), Plin. *Histor. nat.* XXXI, 10: *Faciunt ex his* (nitri acervis) *vasa, nec non frequenter liquatum cum sulphure coquentes in carbonibus. — Sed nitrum sulphuri concoctum in lapidem vertitur.* Etiam apud Suidam reperitur *κέραμος καλλάϊνος*, sed absque explicatione. Adde etiam Beckm. *Beitr. zur Gesch. der Erfind.* Vol. V p. 566 sq. Nomen aegyptiaci idiomatis fuisse patet ex nota Hesychii s. v. *Κάλλαιοι· παρ' Αἰγυπτίοις χρῶμα Καλαϊνόν*, ubi vide Interpp. Tom. II, p. 123. Adde Jablonski. *Opusc.* Tom. I p. 100 sq. ed. Te Water. Nitrum, quo utebantur ad haec vasa conficienda, imprimis abundabat prope Alexandriam, quamvis longe deterius quam in caeteris locis. Cfr. Plin. l. l. Diosc. V, 131. *Geop.* VI, 16, 6 p. 461. Spumae simile erat, indeque *ἀφρόνιτρον* vocari solebat. cfr. Plin. Diosc. l. l. *Geop.* XVI, 18, 3 p. 1129. Cyprian. *Epp.* 76. Mart. *Epigr.* XIV, 58.

**) Vixit sub Anastasio Dicoro, longeque igitur diversus est ab Asclepiodoto Stoico, Posidonii auditore, de quo vide Senec. *Quaest. nat.* II, 26, 5. II, 30, 1. V, 15, 1. VI, 17, 4. Procli discipulorum longe erat optimus, Damascii magister. Vide Suidam v. *ἀδαήμονες*, *δεισιδαιμονία*, Phot. in excerptis ex Damascii opere *de vita Isidori* Cod. CCXLII et Jonsium *Hist. phil.* III, 18.

***) *ὅτι* non delendum. Cfr. supra ad Exc. IV, 7, 6.

ἅλες. τήκονται μέν, οὐ τέγγονται δέ, ἐπειδὴ παρουσίᾳ ἑτέρας ὑγρότητος διαλύονται. ἐκεῖνο δὲ λέγομεν τεγκτὸν τὸ μὴ διαλυόμενον. ἕτερα δὲ καὶ τεγκτὰ καὶ ἄτηκτα, ὥσπερ λίθος ὠμή. αὕτη γὰρ πρῶτον μὲν τέγγεται, οὐ τέτηκται δέ, ὥσπερ κέραμος λίθος, καὶ καθόλου φάναι ἐκεῖνα μέν εἰσι τεγκτά, ὅσα λοξοὺς ἔχουσι τοὺς πόρους. τὸ γὰρ ὑγρὸν ἐπὶ τούτων μὴ ὁμαλῶς διόλου χωροῦν τέγγει μέν, οὐ τήκει δέ. τηκτὰ δ' εἰσίν, ὅσα εὐθεῖς ἔχει τοὺς πόρους. τὸ γὰρ εἰσερχόμενον ὑγρὸν ὁμαλῶς διόλου εἰσερχόμενον τήκει. τοῦτο δὲ λέγω οὐ περὶ πάντων τηκτῶν, ἀλλὰ περὶ μόνων τῶν ἀλλοτρίῳ ὑγρῷ τηκομένων. τηκτὰ δὲ καὶ τεγκτά εἰσιν, ὅσα καὶ λοξοὺς ἔχει τοὺς πόρους. οὔτε τηκτά, οὔτε τεγκτά, ὅσα μήτε λοξοὺς μήτ' εὐθεῖς ἔχει τοὺς πόρους, ἢ πάνυ σμικροτάτους, ὥσπερ ὁ κέραμος ὀπτηθείς. ταῦτα μὲν περὶ τεγκτῶν καὶ ἀτέγκτων ῥητέον. ἐφ' οἷς ὁ φιλόσοφος καὶ περὶ ἑτέρας ἀντιθέσεως λέγεται. φημὶ δὴ τοῦ καμπτοῦ καὶ ἀκάμπτου. ἀλλ' ἐπειδὴ καὶ τὸ εὐθυντὸν καὶ τὸ ἀνεύθυντον ταὐτόν ἐστι τῷ καμπτῷ καὶ ἀκάμπτῳ, ζητητέον τί δήποτε μὴ μᾶλλον περὶ εὐθυντοῦ διελάβομεν, ἀλλὰ περὶ καμπτοῦ καὶ ἀκάμπτου. ἢ ῥητέον, ὅτι ἐργωδέστερόν πως καὶ ἀσαφέστερόν ἐστι τὸ περὶ καμπτοῦ καὶ ἀκάμπτου διαλεχθῆναι, καὶ τούτου χάριν ἵνα διαρθρώσῃ τὸν περὶ αὐτοῦ λόγον. καί φησιν, ὅτι ἐκεῖνά εἰσι καμπτὰ καὶ εὐθυντά, ὅσα ἐξ εὐθύτητος εἰς περιφέρειαν οἷά τ' εἰσι μεταβάλλειν, ἢ ἀπὸ περιφερείας εἰς εὐθύτητα, οἷον λύγος, κάλαμος χλωρός, καὶ ὅσα τοιαῦτα. ἄκαμπτα δὲ καὶ ἀνεύθυντα, ὅσα μὴ οἷά τ' εἰσὶ μεταβάλλειν εἰς ταῦτα, οἷον κέραμος, λίθος. καὶ ταῦτα μὲν κάμπτεσθαι, ἢ μὴ κάμπτεσθαι λέγονται. ἀνακάμπτεσθαι δέ, ὅσα οὐκ ἀπο τοῦ εὐθέος εἰς τὸ περιφερὲς μεταβάλλει εἰς τὸ ἀνάπαλιν, ἀλλ' ὅσα μὲν ἀπὸ περιφερείας εἰς ἑτέραν περιφέρειαν μεταβάλλει ἐναντίαν τῇ πρώτῃ, ὥσπερ, ἔνθα ἦν πρῶτον ἡ κυρτότης, ἐκεῖ γίνεσθαι τὴν κοιλότητα, ἔνθα δ' ἦν ἡ κοιλότης, ἐκεῖ γίνεσθαι τὴν κυρτότητα. καὶ τούτου παράδειγμά εἰσιν οἱ παῖδες οἱ ἐπὶ σκευῆς ἐπιδεικνυόμενοι. οὗτοι γὰρ μεταβάλλουσιν εἰς ἐναντίας περιφερείας, ποτὲ μὲν ἐπὶ τὰ πρόσω, ποτὲ δ' ἐπὶ τὰ ὀπίσω. πάλιν ἀπορητέον, πῶς λέγονται ἀνακάμπτεσθαι, ὁπότε ἐκ τοῦ εὐθέως μεταβάλλουσιν εἰς τὸ καμπύλον, ἢ ἐπὶ τὸ πρόσω ἢ

ἐπὶ τὸ ὀπίσω χωροῦντες. ἀνακάμπτεσθαι δὲ λέγομεν εἶναι τὸ ἀπὸ περιφερείας εἰς ἐναντίον περιφέρειαν μεταβάλλειν. καὶ ἔλυσεν ὁ μέγας φιλόσοφος Ἀμμώνιος *) λέγων, ὅτι οὐ σώζεται ἐπὶ τῶν παιδῶν τὸ εὐθὺ σχῆμα. φυσικῶς γὰρ ἐπὶ τὰ πρόσω ἐσμὲν κεκλιμέναι διὰ τὸ καταβαρεῖν τὰ ἄνω μόρια καὶ ῥέπειν ἐπὶ τὰ κάτω. οὐκοῦν ἐπειδὴ οἱ παῖδες ἀπὸ τῆς ἔμπροσθεν φυσικῆς κάμψεως ἀνακάμπτουσιν ἐπὶ τὰ ὀπίσω, τούτου χάριν ἀνάκαμψις λέγεται ἐπὶ τούτων, οὐ κάμψις. — Olympiodorus fol. 71, a — 72, a.

IX, 3. Ἔνια δὲ τεγκτὰ ὄντα οὔτε τηκτά εἰσιν, οἷον ἔρια **) καὶ οἱ καρποί] Παράδειγμα λαμβάνει τῶν τεγγομένων, μὴ τηκομένων δέ, τὰ ἔρια καὶ τοὺς καρπούς. ἀλλ' ἄξιόν ἐστιν ἀπορίας ἐπί τινων καρπῶν. ὁρῶμεν γάρ, ὅτι ὁ καρπὸς τοῦ μεγάλου καρύου τοῦ βασιλικοῦ ***) οὐ μόνον τέγγεται, ἀλλὰ τήκεται. ἐν γὰρ τῷ κάεσθαι ἀποστάζει τινὰ ἐλαιώδη ὑγρότητα. πῶς οὖν λέγει μὴ τήκεσθαι τοὺς καρπούς; ἢ λέγομεν, ὅτι κατ' ἀλήθειαν οὐ τήκεται ὁ καρπὸς τοῦ καρύου, ἀλλὰ τήκεται, ὥσπερ αἱ δᾶδες τήκονται. τήκεσθαι γὰρ ἐκεῖνο κυρίως λέγομεν τὸ λυόμενον μόνον, μὴ μέντοι δαπανώμενον ἢ καόμενον, ἀλλ' ὅλην μὲν τὴν οὐσίαν ἀναλυόμενον. συνιστάμενον δὲ καὶ μὴ καόμενον, ὥσπερ χρυσός, χαλκός, μόλυβδος καὶ ὅσα τοιαῦτα. διὰ τοῦτο καὶ τὰ θεῖον οὐ λέγομεν τήκεσθαι, ἢ τὸν κηρόν, ἐπειδὴ κάονται ὑπὸ τοῦ πυρὸς καὶ δαπανῶνται, ἀλλὰ μᾶλλον λύεσθαι καὶ κάεσθαι. — Olympiodorus fol. 72, b.

IX, 4. Ἐστὶ δὲ τεγκτὰ μέν, ὅσα γῆς ὄντα ἔχει τοὺς πόρους μείζους τῶν τοῦ ὕδατος ὄγκων]

---

*) Ald. *δαιμονίως*. Nomen necessarium, quia paulo ante Asclepiodotum magnum philosophum vocaverat.

**) Ita enim Aldus.

***) Dioscorid. I, 178: *Κάρυα βασιλικά, ἃ ἔνιοι Περσικὰ καλοῦσι.* Pollux *Onomastic.* VI, 80: *Κάρυα Περσικά, ἃ νῦν βασιλικά.* *Geoponic.* X, 73, 1. Plinius *Hist. nat.* XV, 22: *Iuglandes e Perside a regibus translatas, indicio sunt Graeca nomina. Optimum quippe earum Persicon atque Basilicon vocant.* Macrob. *Saturnal.* II, 14 p. 371. Theophrast. *Histor. plant.* III, 6, 2. 14, 4.

Ὥσπερ ἐπὶ τῶν ἀτέγκτων ἔλεγεν, ὅτι ἐκεῖνά εἰσιν ἄτεγκτα τὰ ἐλάττονας ἔχοντα πόρους ἢ κατὰ τὸν τοῦ ὕδατος ὄγκον, οὕτω νῦν τὸ ἀνάπαλιν λέγει, ὅτι ἐκεῖνά εἰσι τεγκτὰ τὰ μείζονας ἔχοντα πόρους ἢ κατὰ τὸν τοῦ ὕδατος ὄγκον. οὗτοι δὲ οἱ πόροι σκληρότεροί εἰσιν ἢ κατὰ τὸ ὕδωρ, ὅθεν οὐ λύεται τὸ τεγγόμενον. καὶ ἐντεῦθεν στοχάσαι, ὅτι πόρους λέγει τὰ ἀσθενέστερα μόρια, οὐ τοὺς ὄντως πόρους. ὁ γὰρ ὄντως πόρος ἀσώματος ὤν, οὐδὲ σκληρός ἐστιν οὐδὲ μαλακός. — Olympiodorus fol. 72, b.

IX, 10. *Καὶ τὰ μὲν κατακτὰ ἢ θραυστὰ ἅμα ἢ χωρίς*] Ἕκτην ταύτην ἀντίθεσιν παραδίδωσιν ὁ φιλόσοφος τὴν τοῦ κατακτοῦ καὶ ἀκατάκτου, ᾗ παράκειται ἑτέρα ἀντίθεσις τοῦ θραυστοῦ καὶ ἀθραύστου. διαφέρει γὰρ κατακτὸν *) θραυστοῦ, ὅτι τὸ μὲν κατακτὸν εἰς μείζονα μέρη διαιρεῖται τῷ εἰς μείζονα διαστήματα ἔχειν τοὺς πόρους. τὸ δὲ θραυστὸν εἰς ἐλάχιστα τῷ πυκνοτέρους ἔχειν τοὺς πόρους κατὰ τὸ διάστημα, ὥστε τὰ μέν εἰσι μόνως κατακτά, ὅσα ἐκ διαστήματος ἔχει τοὺς πόρους, ὥσπερ τὸ ξύλον. τινὰ δὲ μόνως θραυστά, ὅσα ἐξ ἐλάττονος διαστήματος ἔχει τοὺς πόρους, ὥσπερ κίσσηρις **), τίτανος, κέραμος ***) καὶ ὕελος. ἀλλ' ἄξιόν ἐστιν ἀπορίας, πῶς δυνατὸν τὸ αὐτὸ εἶναι καὶ κατακτὸν καὶ θραυστόν, εἴγε τὰ μὲν ἐκ μείζονος διαστήματος ἔχει τοὺς πόρους, τὰ δ' ἐξ ἐλάττονος. μὴ ἄρα †) δυνατόν, τὸ αὐτὸ καὶ ἐκ μακροῦ διαστήματος ἔχειν τοὺς πόρους καὶ ἐκ βραχέος. ἢ λέγομεν, ὅτι δυνατὸν κατ' ἄλλα μὲν μόρια ἔχειν ἐκ μακροῦ διαστήματος, κατ' ἄλλα δ' ἐκ βραχέος, καὶ ἐν οἷς μὲν μορίοις οἱ πόροι μήκοθέν εἰσι, κατ' ἐκεῖνα κατάγεσθαι, ἐν οἷς δὲ πλησίον εἰσί, θραύεσθαι. καὶ ἰδοὺ ἔχεις ἐν ταὐτῷ ἕκτην καὶ ἑβδόμην ἀντίθεσιν κατακτοῦ καὶ ἀκατάκτου, θραυστοῦ καὶ ἀθραύστου. εἶτα διαλέγεται καὶ περὶ τῆς ὀγδόης ἀντιθέσεως ὁ φιλόσοφος, λέγω δὴ θλαστοῦ

---

*) Ald. *καμπτόν.*

**) *γῆ ἀργιλλώδης, ψηφίδας καὶ κισσήρας ἔχουσα. Geoponic.* XII, 5, 2 p. 80. *κίσσηρις* est pumex, de quo Theophrast. *de lapp.* § 21 p. 691. Dioscorid. V, 124 p. 792.

***) Ald. ante *κέραμος* inepte repetit *ὥσπερ.*

†) Ald. *ἄρα.*

καὶ ἀθλάστου, ᾗ παράκεινται ἕτεραι τρεῖς ἀντιθέσεις ἥ τε τοῦ πλαστοῦ καὶ ἀπλάστου καὶ πιεστοῦ καὶ ἀπιέστου, καὶ πιλητοῦ καὶ ἀπιλήτου. καί φησιν, ὅτι θλαστὸν ἐκεῖνό ἐστι τὸ ὑπεῖκον τῇ ἁφῇ κατὰ βάθος, ἀλλὰ διαιρεῖται. ὡσαύτως δὲ οὔτε λίθος οὔτε ξύλον διαιροῦνται. ἁφῇ δὲ λέγω ἐνταῦθα ὑπείκειν διὰ χειρὸς γινομένῃ, ὥσπερ ἐπὶ τῶν εὐθλάστων. ἰστέον γάρ, ὅτι τῶν θλαστῶν τὰ μὲν εὔθλαστά εἰσι, τὰ δὲ δύσθλαστα. εὔθλαστα μέν, ὅσα ὑπείκει τῇ χειρὶ μὴ διαιρούμενα, οἷον κηρός, ἔρια καὶ ὅσα τοιαῦτα, δύσθλαστα δέ, ὅσα πληγῇ ὑπείκει μὴ διαιρούμενα, οἷον σίδηρος, χαλκός, καὶ ὅσα τοιαῦτα. — Olympiodorus fol. 72, b.

IX, 14. *Τὰ δὲ μὴ εὔθλαστα, ὡς λίθος καὶ ξύλον*] *Ζητητέον, πῶς ξύλον καὶ λίθον θλαστὰ λέγει ὁ φιλόσοφος. οὔτε γὰρ ὑπείκει εἰς βάθος ἡ τούτων ἐπιφάνεια, ὥσπερ ἐλέγομεν ἐπὶ τῶν θλαστῶν. ἢ λέγομεν, ὅτι οὐ περὶ παντὸς λίθου λέγει, οὐ περὶ παντὸς ξύλου, ἀλλὰ λίθον μόνον τοῦ κοραλίου* *), *ὅπερ ἐστὶ βρύον θαλάσσιον καὶ πεπηγός.*

*) Corallium (*κουράλιον, κοράλλιον*) veterum esse *Isidem nobilem* Pallas (*Charakteristik der Thierpflanzen, übers. von Wilkens* p. 285) monuit Sprengel ad Dioscorid. V, 137. Tom. II p. 653, apud quem scriptorem haec leguntur: *τὸ δὲ κοράλλιον, ὅπερ ἔνιοι λιθόδενδρον ἐκάλεσαν, δοκεῖ μὲν εἶναι φυτὸν ἐνάλιον, στερροποιεῖσθαι δέ, ὅταν ἐκ τοῦ βυθοῦ ἑλκυσθῇ, ἔξαλον γινόμενον, καὶ βαπτόμενον ἤτοι πηγνύμενον, ὥσπερ ὑπὲρ τοῦ περικεχυμένου ἡμῖν ἀέρος· εὑρίσκεται δὲ πλεῖστον ἐν τῷ κατὰ Συρακούσας ἀκρωτηρίῳ τῷ καλουμένῳ Παχύνῳ. ἄριστον δέ ἐστι τὸ πυρρὸν τῇ χρόᾳ, καὶ ἐμφερὲς σανδαράχῃ ἢ σάνδυκι κατακορεῖ, εὔτριβές τε ὡσαύτως καὶ ὁμαλὸν δι' ὅλης τῆς συγκρίσεως· ἔτι δὲ ὀσμὴν βρυώδη καὶ φυκίοις ἐμφερῆ ἔχον. πρὸς δὲ τούτοις πολύοζον καὶ κινναμμωμίζον τῷ τύπῳ τῶν θαμνίσκων· τὸ δὲ λιθῶδες τῇ συγκρίσει καὶ ψωρὸν σεσηραγγωμένον τε καὶ χαῦνον, φαῦλον οἰητέον εἶναι.* Theophrast. *de lapid.* §. 38, p. 696. Saepenumero apud veteres deprehenditur narratio de curalio sub undis molli, ac post eius in aërem transitum demum durato. Cfr. Ovid. *Metam.* XV, 416 sq.:

— Curalium, quo primum contigit auras
Tempore, durescit: mollis fuit herba sub undis.

IV, 749 sqq.:

Nunc quoque curaliis eadem natura remansit,
Duritiem tacto capiant ut ab aëre; quodque
Vimen in aequore erat, fiat super aequora saxum.

τοῦτο γάρ πως κοιλαίνεται. ὡσαύτως δὲ καὶ ἐν ξύλοις τὸ σύκινον *). καὶ τοῦτο γὰρ ὑπείκει τῇ ἁφῇ ἠρέμα πως. — Olympiodorus fol. 73, b.

IX, 30. *Καὶ τὰ μὲν καυστά εἰσι* **), *τὰ δ' ἄκαυστα*] Ἐπὶ τὰς λοιπὰς δύο ἀντιθέσεις ὁ Ἀριστοτέλης μετάγει τὸν λόγον καὶ διαλέγεται περὶ καυστοῦ καὶ ἀκαύστου, καὶ θυμιατοῦ καὶ ἀθυμιάτου. εἶτα μετὰ τὸ συμπληρῶσαι τὸν περὶ τῶν ιη' ἀντιθέσεων λόγον, πάλιν ἐπαναλαμβάνει τὸν καυστοῦ καὶ ἀκαύστου καὶ θυμιατοῦ καὶ ἀθυμιάτου λόγον. τοῦτο δὲ οὐ μάτην, ἀλλ' ἵνα δείξῃ καὶ τὸ θυμιατὸν καυστὸν ὑπάρχον. ἐδόκει γὰρ ὀσφραντὸν εἶναι. καὶ ἵνα τοῦτο δεικνύῃ, ἀποδείξει τὰς ιη' ἀντιθέσεις ἁπτὰ εἶναι πάθη, ἵνα πάντα τὰ ὑπὸ σελήνην μὴ ἐκφύγῃ εἶναι ἁπτά. πᾶσαι γὰρ αἱ ἄλλαι ἁπταὶ ἦσαν ὁμολογουμένως. μόνη ἡ τοῦ θυμιατοῦ ἐδόκει μὴ εἶναι ἁπτή, ἀλλ' ὀσφραντή. καί φησιν, ὅτι καυστόν ἐστι τὸ ἔχον πόρους παθητικοὺς πρὸς τὸ δέξασθαι ἔνδον τὸ πῦρ. ἰδοὺ γὰρ ἡ σαλάμανδρα ***) διὰ τὸ ἐστηρῆσθαι τῶν τοιούτων πόρων,

---

Claudian. *de nupt. Honor. et Marc.* v. 169 sqq.:

— — — vellitque coralia Doto.
Vimen erat, dum stagna subit. Processerat undis:
Gemma fuit.

Adde Auson. *Mosell.* 69. Sidon. Apollin. *Carm.* XI, 110. Quam famam falsam esse auctore Donati (*Storia dell' Adriatico* p. 46) asserit Sprengel: at corallia cum plantis corallinis (*Corallina Opuntia, rubens, officinalis; Millepora coriacea* et al.) confuderunt veteres, quae sensim sensimque obdurescunt, ut ex parte molles, parte durae appareant. Cfr. Schweigger, *Naturhistorische Bemerkungen auf Reisen* (Berlin 1819, 4.) p. 19 sqq. — Adi praeterea de Curalio Plin. *Histor. nat.* XXXII, 2, 11. Beckmann. *Histor. nat. vet.* III, 3 p. 144, Niclas ad *Geoponic.* XV, 1, 31. p. 1051, Bernhardi ad Dionys. *Perieg.* 1103 p. 815.

*) Ortum debet latino vocabulo *succinum.*

**) Singularem numerum tuetur Aldus.

***) *Geoponic.* XV, 1, 34: ὁμοίως δὲ καὶ ἡ σαλάμανδρα τὸ ἐλάχιστον ζῷον ἐκ τοῦ πυρὸς ἔχει τὴν γένεσιν καὶ ἐν τῷ πυρὶ βιοῖ οὐ καιόμενον ὑπὸ τῆς φλογός. Fabulam de salamandra ignicola exornavit Aristoteles *Hist. animal.* V, 19 p. 532, b: ὅτι δ' ἐνδέχεται μὴ κάεσθαι συστάσεις τινὰς ζῴων ἡ σαλαμάνδρα ποιεῖ φανερόν· αὕτη γάρ, ὡς

*οὐ κάεται ὑπὸ τοῦ πυρός, ἀλλὰ τοὐναντίον σβέννυσι καὶ τὰς καμίνους. ὅθεν πολλὴ φροντὶς παρὰ τοῖς ὑελέψαις *) τοῦ τινάσσειν τὴν πάπυρον, χάριν τοῦ μὴ εὑρεθῆναι ἔνδον σαλαμάνδραν καὶ σβέσαι τὴν κάμινον. ζημιῶδες γὰρ αὐτοῖς τὸ τοιοῦτον καθέστηκεν. ἀλλ' οὐ μόνον τὸ ἔχειν πόρους τοιούτους ἀπόχρη πρὸς τὸ εἶναι καυστόν, ἀλλὰ δεῖ ὑγρότητα ἔχειν παθητικὴν ὑπὸ πυρός, τουτέστιν ἀερώδη καὶ οὐχὶ ὑδατώδη. ἰδοὺ γοῦν τὰ χλωρὰ ξύλα, ἐπειδὴ πολλὴν ἔχουσι τὴν ὑδατώδη ὑγρότητα, οὐ κάονται, ἀλλὰ σβέννυσι τὸ πῦρ, ἐπεὶ οὐχ οἷά τε ἐστὶ κρατηθῆναι ὑπὸ πυρὸς ἡ τοιαύτη. τὰ δὲ ξηρὰ ξύλα, ἐπειδὴ οὐκ ἔχουσι τὴν ὑδατώδη ὑγρότητα, κάονται. καὶ ὅτι ἐν αὐτοῖς ἐστιν ἡ ἀερώδης ὑγρότης δῆλον, ἐπειδὴ μάλιστα ταῦτα ἐπινήχονται τῷ ὕδατι. καὶ ταῦτα περὶ τοῦ καυστοῦ καὶ ἀκαύστου· ἐφ' οἷς λοιπὸν ὁ φιλόσοφος καὶ ἐπὶ τὴν τελευταίαν ἀντίθεσιν μετέρχεται, λέγω δὴ τὴν τοῦ θυμιατοῦ, καί φησιν, ὅτι θυμιατόν ἐστιν ἐξ οὗ ἐκκρίνεται μέρος γῆς καὶ ὕδατος ὑπὸ πυρός. καλῶς δὲ πρόσκειται τὸ ὑπὸ πυρός. ἐπειδὴ γίνεται τούτοις διαφόρησις καὶ ὑπὸ χρόνου, ἅπερ οὐκ ἔτι εἰσὶ θυμιατά, ἀλλὰ κοπρώδη. διαλύονται γὰρ καθάπερ γῆ τὰ χρόνια θυμιάματα, μὴ ἔχοντα θυμίασιν. τὸ δὲ ὑπὸ πυρὸς ἐκκρῖνον μέρος γῆς καὶ ὕδατος, ἐκεῖνό ἐστι θυμιατόν. ὅθεν τὸ ὕδωρ οὐκ ἂν εἴποιμεν θυμιατόν, ἐπειδὴ θερμαινόμενον ἀτμίδα μόνον ὑδατώδη*

φασί, διὰ πυρὸς βαδίζουσα κατασβέννυσι τὸ πῦρ. Eam traditionem inter posteros fuerunt, qui crediderint v. c. Theophrastus *de igne* p. 736 Schn. Nicander *Theriac.* 819 sq. Galenus *de temperam.* III, 4 p. 674 Kühn (qui tamen ad certum usque terminum tantummodo eam ab igne nihil pati perhibuit, uri autem si longiore spatio igni sit admota), quamvis non defuerint, qui eandem pro iure fabulis adnumerarent, quemadmodum Sextus Niger apud Plinium *Hist. nat.* XXIX, 23, Dioscorides *Mat. med.* II, 67, quem ad l. nonnulla de fabulae origine disputavit Sprengel Tom. II p. 443. Adde Harduin. ad Plin. X, 67, Allatium ad Eustath. *Hexaëm.* p. 193, Niclas ad *Geoponic.* l. l. p. 1055 sq., Beckmann. ad Antigon. Caryst. c. 91 p. 140 sq.

*) Ald. *ὑελλέψαις.* Hesychius: *ὑελλέψεις· ὑελοτέχναι. ὑαλεψική ἐστιν ἡ περὶ τὸν ὕαλον καταγινομένη [τέχνη].* Philopon. in Porphyr. *Isagog.* p. 11, *a* Brand. Cfr. Plin. *Hist. nat.* XXXVI, 26.

ἐκκρίνει, οὐ μὴν καὶ γεώδη οὐσίαν. καὶ ὅτι γεώδη οὐσίαν ἐκκρίνει τὸ θυμιώμενον δῆλον, ἐπειδὴ τὰ παρακείμενα οὐ διαίνει, τουτέστιν οὐχ ὑγραίνει, ἀλλὰ μόνον χρωματίζει. μελαίνει γὰρ αὐτά. ἡ γὰρ ὑγρότης ἐξικμαζομένη ἀναλίσκεται ὑπὸ τοῦ πυρός. εἶτα, ὥσπερ ἑαυτοῦ ἐπιλανθανόμενος ὁ φιλόσοφός φησιν, ὅτι τὰ θυμιατὰ διαίνει. καὶ ἄπορος ὁ λόγος. δοκεῖ γὰρ ἀντιφάσει περιπεπτωκέναι ὁ φιλόσοφος, ποτὲ μὲν λέγων αὐτὸ διαίνειν *). ἢ ῥητέον, ὡς ἐπιλύσατο ὁ μέγας φιλόσοφος, ὅτι οὐκ ἀντιφάσει περιπέπτωκεν ὁ Ἀριστοτέλης. τὰ γὰρ θυμιάματα καὶ διαίνει καὶ οὐ διαίνει· διαίνει μὲν τὴν οἰκείαν ἐπιφάνειαν ἐξατμιζομένου τοῦ ἐν αὐτοῖς ὑγροῦ, καθάπερ οἱ κέραμοι τὴν ἀρχὴν ἐμβληθέντες ἐν τῇ καμίνῳ. ὅθεν ἐλέγομεν αὐτοὺς καὶ διαστρέφεσθαι **). οὐ διαίνει δὲ τὰ παρακείμενα, ἀλλὰ μόνον μελαίνει. οὕτω τοίνυν ἐπιλύονται τὴν ἀπορίαν. ταῦτα δὲ τὰ θυμιάματα τριττά εἰσιν· ἢ γὰρ ἐκ ξυλώδεσι γίνεται ἡ θυμίασις καὶ καλεῖται καπνός, ὥσπερ ἐπὶ τῶν ξύλων, ἢ ἐν λιπαροῖς καὶ γίνεται κνίσσα, ὥσπερ ἐπὶ ἐλαίου ἢ στέατος ἢ λίπους, ἢ ἄλλου τινὸς τοιούτου, ἢ ἐν πίοσι καὶ λέγεται λιγνύς ***), ὥσπερ ἐπὶ σαρκὸς λῖπος ἐχούσης, ἢ λιβάνου, ἢ γλυκέος οἴνου. καὶ γὰρ οὗτος πίων ἐστὶ καὶ λιπαρός †), καθάπερ τὸ μέλι, διὰ τὸ γεώδη πολλὴν ἔχειν οὐσίαν, ὅθεν οὔτε μεθύσκει διὰ τὸ ἀπολωλέναι αὐτὸν τὴν οἰνώδη ποιότητα. ἀλλὰ ζητητέον, τί διαφέρει τὸ λιπαρόν ††). ἐνεργείᾳ ἔχει τὴν ὑγρότητα καὶ προφανῶς, ὥσπερ τοὔλαιον καὶ ὥσπερ τὸ λῖπος †††). τὸ δὲ πῖον οὐκ ἐνεργείᾳ οὔτε προφανῶς, ἀλλὰ μίγμα ἐστὶ στερεωτέρου σώματος καὶ ὑγροῦ, ὥσπερ ἐπὶ τῆς σαρκὸς τῆς λῖπος ἐχούσης. ἀλλὰ καὶ ὁ ποιητὴς οἶδε τὴν τούτου διαφοράν. περὶ γὰρ τοῦ

---

*) Videtur scribendum esse *ποτὲ μὲν λέγων αὐτὰ μὴ διαίνειν, ποτὲ δὲ αὐτὰ διαίνειν.*

**) Vide Exc. IV, 1, 4, p. 171. Comment. ad IV, 6, 7.

***) Ald. *λίπος.* †) Ald. *λίπος.*

††) Scribendum est: *ζητητέον, τί διαφέρει τὸ λιπαρὸν τοῦ πίονος. καὶ τὸ μὲν λιπαρὸν ἐνεργείᾳ* et q. s. Decepit scribam duplex *λιπαρόν.*

†††) De accentu vocabuli adi Hermannum *de emendand. Gr. gr. rat.* p. 429 et Passov. *Lex. s. v.*

λιπαροῦ φησι· χρῖσε δὲ λίπ' ἐλαίῳ *), περὶ δὲ τοῦ πίονός φησιν ὁ αὐτὸς ποιητὴς πίονα πενταέτηρον **). καὶ ταῦτα μὲν περὶ θυμιατοῦ. εἶτα πάλιν ἀνακεφαλαιοῦται τὸν περὶ τοῦ καυστοῦ λόγον. τρία περὶ τούτου παραδίδωσι, τὸν ὁρισμόν, τὴν διαίρεσιν, τὴν πρὸς τὸ τηκτὸν σύγκρισιν. καί φησιν, ὅτι καυστόν ἐστι τὸ εἰς τέφραν διαλυόμενον. τί φῄς Ἀριστότελες, πᾶν καυστὸν εἰς τέφραν διαλύεται; οὐκοῦν κατὰ σὲ οὐκ ἔστι τὸ ἄχυρον καυστόν, ἐπειδὴ καιόμενον οὐκ εἰς τέφραν διαλύεται, ἀλλ' εἰς λιγνύν. εἴρηται, ὅτι ἡ τοιαύτη λιγνὺς οὐ κυρίως ἐστὶ λιγνύς, ἐπειδὴ οὐκ ἀπὸ πίονός ἐστιν, ἀλλὰ μετρία τέφρα πρὸς τὴν τοῦ ἀχύρου σύστασιν. ἀλλὰ πάλιν καὶ ἡ ἄσβεστος οὐ καυστή, ἀλλ' ἐπειδὴ οὐκ εἰς τέφραν διαλύεται, ἀλλ' οὐχ ὁμοίαν τῇ τῶν ξύλων, ἀλλ' ἑτέρᾳ τινί. καὶ γὰρ ἡ κονία οἷον τέφρα τίς ἐστιν. ἀλλὰ πάλιν καὶ ὁ πυρίμαχος λίθος οὐ καυστός, ἐπειδὴ οὐ διαλύεται εἰς τέφραν. τοὐναντίον δὲ πήγνυται τὸ ἀποστάζον. ῥητέον δὲ καὶ πρὸς τοῦτο, ὅτι τῷ ὄντι οὐ καυστός ἐστιν οὗτος, ὅθεν πυρίμαχος λέγεται. ὁ μέντοι μυλίας καυστός ἐστιν, ἐπειδὴ τὸ ἀποστάζον εἰς κόνιν διαλύεται, καθάπερ ἡ τίτανος. καὶ θρύπτεται γάρ. ταῦτα μὲν οὖν περὶ τοῦ ὁρισμοῦ τοῦ καυστοῦ. λοιπὸν εἴπωμεν καὶ τὴν τούτου διαίρεσιν. τῶν γὰρ καυστῶν τὰ μὲν φλογιστά εἰσι, τὰ δὲ ἀφλόγιστα. καὶ τῶν φλογιστῶν τὰ μὲν καθ' ἑαυτά εἰσι φλογιστά, τὰ δ' οὐ καθ' αὑτά, ἀλλὰ μετ' ἄλλων· καὶ τῶν καθ' αὑτὰ φλογιστῶν τὰ μὲν ἀνθρακευτά εἰσι, τὰ δ' οὐκ ἀνθρακευτά. αὕτη μὲν ἡ διαίρεσις. λοιπὸν εἴπωμεν παραδείγματα. καυστὰ μὲν γὰρ ἀφλόγιστά εἰσι, τουτέστι μὴ ποιοῦντα φλόγα, ὅσα μὴ ἔχει ἀερώδη ὑγρότητα, ὥσπερ τὰ ξύλα. τούτων δὲ τῶν φλογιστῶν, ὅσα ἐνεργείᾳ ἔχουσι τὴν ὑγρότητα, οὐ κάονται καθ' αὑτά, ἀλλὰ μετ' ἄλλου σώματος, ὥσπερ τοὔλαιον καὶ ἡ πίττα. ταῦτα γὰρ χωρὶς τοῦ συνεκφλογωθῆναι ἑτέροις οὐ κάονται καθ' αὑτά, ἀλλὰ μετ' ἄλλου σώματος, ὥσπερ ἔλαιον μετὰ τοῦ στυπείου ἢ ἐν ταπινῷ. καὶ αὐτὰ γὰρ οὐκ ἐκφλογοῦται. ὅσα δὲ μηδ' ἐνεργείᾳ ἔχουσι

*) Cfr. Il. κ', 577. ξ', 174. σ', 350. Odyss. γ', 466. ζ, 96. 227. κ', 364. 450. τ', 505.

**) Il. β', 403. Od. ξ', 419.

τὴν ὑγρότητα, ταῦτα κάονται καὶ φλογοῦνται, ὥσπερ τὰ ξύλα. πάλιν δὲ τούτων τῶν καθ᾽ αὑτὰ ἐκφλογουμένων, ὅσα μὲν μᾶλλον γεώδους οὐσίας μετέχουσι, ταῦτα καὶ ἄνθρακας ποιοῦσι καὶ ἀνθρακευτὰ λέγονται, ὥσπερ τὰ στερεώτερα ξύλα· ὅσα δὲ μᾶλλον ἀερώδους, ταῦτα οὐκ ἀνθρακεύεται, ὥσπερ πάπυρος, χόρτος καὶ ὅσα τοιαῦτα. οὐ ποιοῦσι γὰρ ἄνθρακας κυρίως, ἀλλὰ τάχιον διαλύονται. εἶτα καὶ ἐπὶ τὴν σύγκρισιν τοῦ φλογιστοῦ καὶ τοῦ τηκτοῦ μετέρχεται ὁ φιλόσοφος. τῶν γὰρ ὑπὸ πυρὸς πασχόντων τὰ μὲν φλογιστά εἰσι μόνως, οἷον τὰ ξύλα, τὰ δὲ τηκτὰ μόνως, ὥσπερ ὁ χαλκός. τὰ δὲ καὶ φλογιστὰ καὶ τηκτά, ὥσπερ ὁ λιβανωτός· οὗτος γὰρ καὶ τήκεται καὶ ἐκφλογοῦται. τὰ δὲ οὔτε φλογιστὰ οὔτε τηκτά, ὥσπερ κέραμος, σίδηρος καὶ ὅσα τοιαῦτα. ὅσα μὲν γὰρ ἀερώδη πολλὴν ἔχει οὐσίαν καὶ ἀθρόαν, τουτέστιν ὑγρότητα, ἐκεῖνα φλογιστά εἰσιν. ὅσα δὲ ἢ πολλὴν ἢ μὴ ἀθρόαν, ἀλλὰ διεσπαρμένην, ἐκεῖνα ἄμφω καὶ τήκονται καὶ φλογοῦνται, ὥσπερ ὁ λιβανωτός. ἐκ τούτων οὖν πάντων ἀναφαίνεται, ὅτι καυστόν ἐστι τὸ θυμιατόν. καὶ ταῦτα μὲν ῥητέον περὶ τῶν ιη′ ἀντιθέσεων. ἀλλ᾽ ἐπειδὴ ταῦτα ἐξ ὕλης καὶ εἴδους γίνονται, ὕλης μὲν ξηροῦ καὶ ὑγροῦ, εἴδους δὲ τῶν ποιητικῶν αἰτίων θερμοῦ καὶ ψυχροῦ, αὗται δὲ γίνονται ἐν τοῖς ὁμοιομερέσι, διττὰ δὲ τὰ ὁμοιομερῆ, ἢ γὰρ ἀπὸ τῶν στοιχείων γίνονται, ἢ ἀπὸ τῆς διττῆς ἀναθυμιάσεως, ὥσπερ χαλκὸς καὶ τὰ λοιπὰ μέταλλα, διττὰ δὲ καὶ τὰ ἀπὸ τῶν στοιχείων ὁμοιομερῆ, ἢ γὰρ ἐν ζῴοις ἐστίν, ὥσπερ νεῦρα, ὀστᾶ σάρκες καὶ τὰ ὅμοια, ἢ ἐν φυτοῖς, ὥσπερ φλοιόν, ξύλα, ῥίζα, καὶ ὅσα τοιαῦτα, ἐφεξῆς ὁ φιλόσοφος τὴν τούτων διάγνωσιν ἡμᾶς διδάσκει, τίνα μὲν ὑπὸ θερμοῦ πάσχει, τίνα δὲ ὑπὸ ψυχροῦ. ἀλλ᾽ ἐπειδὴ ἡ διάγνωσις ἢ ἀπὸ τῶν ποιητικῶν αἰτίων ἐστί, τουτέστι τοῦ εἴδους, ἢ ἀπὸ τῶν ὑλικῶν (ἐστὶ δ᾽ ἡ μὲν ἀπὸ τοῦ εἴδους διάγνωσις, ἀπόδειξις· ἡ δ᾽ ἀπὸ τῆς ὕλης, τεκμήριον *). ἀπὸ γὰρ τοῦ πάθους τοῦ ποιοῦντος τεκμαιρόμεθα· κυριωτέρα δ᾽ ἐστὶν ἡ ἀπόδειξις τοῦ τεκμηρίου,

---

*) De significatione vocabuli *ἀπόδειξις* apud Aristotelem cfr. Trendelenburg ad *de anim.* I, 1, 2 p. 195 sqq.: de *τεκμήριον* vide Comment. nostr. ad III, 4, 25.

ὅσον καὶ τὸ ποιητικὸν τοῦ παθητικοῦ), τούτου χάριν ὁ φιλόσοφος προτάττει τὴν ἀπὸ τοῦ ποιοῦντος διάγνωσιν, εἶθ᾽ οὕτως ἐπάγει καὶ τὴν ἀπὸ τῆς ὕλης. τί δ᾽ ἐστὶν αὕτη, ἡ ἐφεξῆς ἡμῖν θεωρία παραστήσει. — Olympiodorus fol. 73, b — 74, b.

IX, 33. Ἐστὶ δὲ πνεῦμα ῥύσις συνεχὴς ἐπὶ μῆκος ἀέρος] Πνεῦμα νῦν λέγει οὐ τὸν ἄνεμον. ἀνωτέρω γὰρ κατέτρεχεν Ἱπποκράτους ὡς λέγοντος τὸν ἄνεμον, ἀέρος εἶναι ῥεῦμα καὶ χεῦμα *). ἀλλὰ πνεῦμα νῦν λέγει τὴν λιγνὺν τὴν ἐκ τῶν θυμιωμένων ἐκκρινομένην ἐκ τῆς γεώδους καὶ ἀερώδους οὐσίας τῆς ἐν αὐτοῖς. περὶ γὰρ τούτων ἦν καὶ ὁ λόγος. — Olympiodorus fol. 74, b.

IX, 34. Ἐστὶ δ᾽ ἡ μὲν ξυλώδους σώματος θυμίασις καπνός] Ἐντεῦθεν τὴν διαφορὰν παραδίδωσι τῶν θυμιαμάτων, ὅτι τὰ μὲν ξυλώδη ὄντα καὶ καπνώδη ἔχει τὴν θυμίασιν, ὥσπερ ὀστᾶ, τρίχες, ὄνυχες καὶ τὰ τοιαῦτα. ταῦτα γὰρ ἀναλογεῖ τοῖς ξύλοις, ὡς γεώδους ὄντα καὶ ἀερώδους οὐσίας. ὅθεν καὶ Ἐμπεδοκλῆς μετὰ τῶν ξύλων τὰ τοιαῦτα λέγων· ταῦτα δέ ἐστι τρίχες καὶ φύλλα καὶ οἰωνῶν πτερὰ πυκνὰ καὶ φολιδονίδες **) γίνονται ἐπὶ στιβαροῖς μελέεσσιν. ὅσα δέ εἰσι λιπαρὰ τῶν θυμιαμάτων, κνισσώδη ἔχουσι τὴν θυμίασιν, ὡς λῖπος, ἔλαιον, καὶ τὰ τοιαῦτα. ὅσα δὲ πίονά εἰσι, ταῦτα λιγνυώδη, ὥσπερ σάρκες, γλεῦκος, μέλι, καὶ τὰ τοιαῦτα. — Olympiodorus fol. 74, b.

X, 1. Τούτοις δὲ τοῖς παθήμασι ..... χρώμασιν] Ποίοις παθήμασι; τῷ ψύχεσθαι, τῷ παχύνεσθαι καὶ μὴ παχύνεσθαι, τῷ κάεσθαι ἢ θυμιᾶσθαι. ἅπερ εἰσὶν ἁπτικὰ πάθη. τούτοις τοῖς πάθεσι διαφέρουσι τὰ ὁμοιομερῆ. ποῖα;

---

*) Vide ad Exc. I, 13, 1. II, 4, 23. Vol. I p. 241. 293.

**) Ita Aldus. Fortasse scribendum *φολίδες* pro *λεπίδες*. Aristot. *de part. animal.* IV, 11 p. 691, a: *ἐστὶ δ᾽ ἡ φολὶς ὅμοιον χώρᾳ λεπίδος, φύσει δὲ σκληρότερον.* Cfr. Eustath. ad Dionys. *Perieg.* v. 441 p. 183. Beckmann. ad Aristot. *de mirabil. auscultat.* 178 p. 351. Schneider. Cur. post. ad Arist. *Hist. animal.* I, 6, 2. Vol. IV p. 284.

τά τε ὑπὸ τῶν τεσσάρων στοιχείων γεγενημένα, οἷα τὰ ἐν τοῖς ζῴοις καὶ τοῖς φυτοῖς, τά τε ἐκ τῆς διττῆς ἀναθυμιάσεως, οἷον τὰ μέταλλα. οὐ μόνον δὲ τούτοις διαφέρουσιν ἀλλήλων, ἀλλὰ καὶ κατὰ τὰς γευστὰς καὶ ὀσφραντὰς ποιότητας. περὶ ὧν οὐ νῦν καιρὸς λέγειν. εἴρηται γὰρ ἐν τῷ περὶ αἰσθήσεως καὶ αἰσθητικοῦ, ἀλλὰ περὶ μόνων τῶν ἁπτικῶν παθῶν. ἀλλὰ τὴν διάγνωσιν ποιησόμεθα ἔκ τε τῶν ποιούντων, ἔκ τε τῶν πασχόντων, ὡς εἴρηται, ποῖα μὲν τῶν ὁμοιομερῶν τῆς γῆς μόνον, ποῖα δὲ ὕδατος μόνον, ποῖα δὲ γῆς καὶ ὕδατος *). — Olympiodorus fol. 75, a.

Εἰπὼν περὶ πασῶν τῶν ἀντιθέσεων τῶν κατὰ δύναμιν ἢ ἀδυναμίαν λεγομένων, καθ' ἃ τὰ ὁμοιομερῆ σώματα διαφέρειν εἶπεν ἀλλήλων, τούτοις τέ φησι τοῖς πάθεσι διαφέρειν ἀλλήλων [τὰ ὁμοιομερῆ σώματα διαφέρειν εἶπεν ἀλλήλων] καὶ ταύταις ταῖς ἁπταῖς διαφοραῖς. πᾶσαι γὰρ αἱ εἰρημέναι ἀντιθέσεις ἁπταί. καὶ πρὸς τούτοις εἰπὼν χυμοῖς τε καὶ ὀσμοῖς, οὐκέτι προσέθηκε καὶ τὸ τὰ μὲν ψοφητικὰ αὐτὰ εἶναι, τὰ δὲ ἄψοφα, ἃ τῆς ἀκοῆς κρίνειν. τοῦτο δὲ ἢ ὅτι μὴ προηγουμένως ἐστὶν αὐτῷ ὁ λόγος τὴν διαφορὰν τῶν αἰσθητῶν εἰπεῖν, ἢ ὅτι ἐναργὲς καὶ τῶν ψόφων αἰσθητικὸν κριτήριον. εἶπε δὲ καὶ περὶ τούτων πρὸ ὀλίγου. καταριθμεῖται δὲ καὶ τίνα ἐστὶν ὁμοιομερῆ τῶν σωμάτων, τά τε γὰρ μεταλλευόμενα καὶ ὅσα ἐκ τούτων τῇ ἐκκρίσει γίνεται. τὰ μὲν γὰρ ἐκ μολίβδου γίνεται, τὰ δὲ ἐξ ἄλλου τῶν ὀρυκτῶν. ἔτι δὲ τὰ ἐν τοῖς φυτοῖς τε καὶ ζῴοις, ἐξ ὧν ἡ σύστασις τῶν ἀνομοιομερῶν. καὶ τὰς ἶνας δὲ τὰς ἐν τοῖς φυτοῖς ἐν τοῖς ὁμοιομερέσιν ἔθηκεν. — Alexander fol. 138, b.

XII, 1. Εἰπὼν τί ἐστι τὸ ὑποκείμενον τοῖς ὁμοιομερέσι σώμασι καὶ τίνος ἕκαστον αὐτῶν μᾶλλόν ἐστιν, ἐφεξῆς, ἐπεὶ ἐν τοῖς ὁμοιομερέσι σάρξ τε καὶ ὀστοῦν καὶ νεῦρον καὶ τὰ τοιαῦτα (ἐκ γὰρ τούτων τὰ ἀνομοιομερῆ τοῦ ζῴου, ἐξ ὧν τὸ ζῷον), περὶ

---

*) Desinit his verbis Olympiodori commentarius. Plurima tamen deesse, uti etiam monuit Aldus, δοκεῖ ἐλλείπειν ἡ τελευταία πρᾶξις καὶ θεωρία, tum ex his ipsis verbis patet, tum ex iis, quae adscripsimus ad Exc. IV, 9, 30: τί δ' ἐστὶν αὕτη, ἡ ἐφεξῆς θεωρία παραστήσει.

τούτων εἰπεῖν προτίθεται, τί ἐστιν ἕκαστον αὐτῶν, οὐ κατὰ τὸ ὑποκείμενον (τοῦτο μὲν γὰρ εἴρηται), ἀλλὰ κατὰ τὸν λόγον. ἔχειν γάρ φησιν ἤδη τὰ γένη τῶν ὁμοιομερῶν, οἷον ἐκ τίνος ἕκαστον αὐτῶν ἐστι, γῆς ἢ ὕδατος, ἢ ἐξ ἀμφοῖν. λαβόντες τοῦτο διὰ τῆς γενέσεως αὐτῶν, ἐξ οὗ ὑποκειμένου γίνεται, ἐκ τούτου καὶ ἔστι γινόμενον, ἐξ ὧν ἡ τῶν ἀνομοιομερῶν φύσις. ἐκ γὰρ τῶν ὁμοιομερῶν τὰ ἀνομοιομερῆ, ἐκ δὲ τούτων ὡς ὑποκειμένων τε καὶ ὕλης τὰ ὅλα τῆς φύσεως ἔργα, οἷον φυτά, ζῷα. ὡς ὕλης δὲ ἐκ τούτων εἶπε. τὸ γὰρ εἶδος αὐτῶν, καθ' ὃ μάλιστά ἐστιν, ἅ ἐστιν, οὐ τοιοῦτον. εἶναι δέ φησι πάντα τὰ ὁμοιομερῆ, ὡς μὲν ἐξ ὕλης, ἐκ τῶν εἰρημένων, ὕδατός τε καὶ γῆς. ὡς δὲ κατὰ τὴν οὐσίαν καὶ τὸ εἶναι, ὅ ἐστιν ἕκαστον αὐτῶν, τῷ λόγῳ. τουτέστι τῷ λόγῳ καὶ τῷ εἴδει ἕκαστον αὐτῶν ἐστιν, ὅ ἐστιν. ὅτι δὲ κατὰ τὸν λόγον ἐστὶν αὐτοῖς τὸ εἶναι, ἅ ἐστι, δῆλον εἶναί φησιν ἐπὶ τῶν ὑστέρων μᾶλλον, ὕστερα λέγων τὰ ἀνομοιομερῆ· ὕστερα γὰρ ταῦτα τῶν ὁμοιομερῶν, εἴγε ἐξ ἐκείνων σύγκειται. καὶ ὅλως φησὶν ἐπὶ τούτων, ἃ οἷον ὄργανά ἐστι τῶν σωμάτων, καὶ ἕνεκά τινος χρείας ἡμῖν δοκεῖ δεδόσθαι. τούτοις γὰρ προφανῶς τὸ εἶναι ἐστὶν ἐν τῷ λόγῳ. ἐν γὰρ τῷ δύνασθαι τὸ εἶναι τούτοις ἐστίν· ὅτι δὲ μᾶλλον δῆλον κατὰ τὸν λόγον καὶ τοῖς ὁμοιομερέσι τὸ εἶναι ἔδειξε λαβὼν τὸν νεκρὸν ἄνθρωπον. γνωριμώτερον γάρ, ὅτι ὁ νεκρὸς ἄνθρωπος λέγεται ὁμωνύμως καὶ οὐ κυρίως ἄνθρωπος· οὗτος δέ ἐστιν, ᾧ ὁ λόγος ἐφαρμόζει. οὐκ ἐφαρμόζει δὲ ὁ λόγος ὁ τοῦ ἀνθρώπου τῷ νεκρῷ. οὐδεὶς γὰρ ὁρίζεται τὸν νεκρὸν ἄνθρωπον, ζῷον λογικὸν θνητόν. ἐπὶ δὴ τούτου γνωριμώτερον ἢ ἐπὶ αἵματος καὶ ἑκάστου τῶν ὁμοιομερῶν. ἐστὶ μὲν γὰρ καὶ ἐπ' ἐκείνων τὰ τῶν νεκρῶν ὁμωνύμως τοῖς τῶν ζώντων λεγόμενα. πλὴν οὐ φανερὸν ὁμοίως ἐπ' ἐκείνων. ὡς δὲ ὁ νεκρὸς ἄνθρωπος ὁμωνύμως ἄνθρωπος, οὕτω καὶ ἡ χεὶρ τοῦ νεκροῦ ὁμωνύμως χείρ· ἤρξατο δὲ ἀπὸ τοῦ ἐσχάτου. τοῦτο δ' ἦν τὸ τέλειον ζῷον. εἶτ' ἐπάνεισιν ἐπὶ τὰ πρὸ αὐτοῦ, ὧν προσεχῆ μὲν τοῖς τελείοις ἐστὶ τὰ ἀνομοιομερῆ. πρὸ δὲ τούτων τὰ ὁμοιομερῆ. ὅτι δὲ τὰ τίνος ἕνεκεν ὄντα, ὅταν μηκέτι δύνηται τοῦτο ποιεῖν, μόνον δὲ φυλάσσῃ τὸ σχῆμα, ὁμωνύμως λέγεται, ἔδειξεν ἀπὸ τῶν λιθινῶν αὐλῶν· ὡς γὰρ οἱ αὐλοὶ ὄργανα, οὕτω καὶ χεὶρ

καὶ πάντα τὰ μόρια τοῦ ζῴου ὄργανά τινά ἐστιν ὑπὸ τῆς φύσεως, χρείας τινὸς χάριν γεγονότα. ἧττον δέ φησι δῆλον εἶναι ἐπὶ σαρκὸς καὶ ὀστοῦ καὶ τῶν ὁμοιομερῶν, ὅτι καὶ ταῦτα ὄργανα καὶ ἐπί τινα χρείαν τὴν ἀναφορὰν ἔχει, ἢ ἐπὶ χειρὸς καὶ προσώπου καὶ ποδὸς καὶ τῶν ἀνομοιομερῶν μερῶν· ἔτι δὲ ἧττον ἐπὶ τῶν ἁπλῶν σωμάτων, ἃ καὶ στοιχεῖα λέγομεν, οἷον πυρός, ὕδατος, τῶν λοιπῶν. ἐλάχιστα γὰρ ἐπὶ τούτων δῆλον, τὸ τίνος χάριν ἕκαστόν ἐστιν αὐτῶν, ἐν οἷς πλεῖστον τὸ τῆς ὕλης ἐστί, τουτέστιν ἐν τοῖς ἐγγυτέρω τῆς ὕλης. ἐγγυτάτω δὲ τῆς ὕλης ἐστὶ τὰ πρῶτα ἐκ τῆς ὕλης γινόμενα, ἅπερ ἐστὶ καὶ στοιχεῖα. διὸ καὶ ὕλης ταῦτα λόγον ἐν τοῖς συνθέτοις ἔχει. ὥστε εἰ τὰ ἔσχατα ἐξ ὧν τὸ συναμφότερον κατ' ἰδίαν ληφθείη, ταῦτα δ' ἐστὶν ἥτε ὕλη καὶ τὸ εἶδος, οὔτε ἡ ὕλη ἄλλο τί ἐστι παρ' αὐτήν· αὐτὴ γὰρ ἡ ἐσχάτη ὕλη, ἥτις ἐστὶ τὸ πρῶτον ὑποκείμενον τοῖς σώμασιν· ἁπλῆ γάρ τις φύσις ἡ τοιαύτη, ὁμοίως δὲ καὶ τὸ εἶδός τε καὶ ἡ οὐσία. τὸ γὰρ εἶδος οὐσίαν λέγει, ἐπεὶ κατὰ τοῦτο τὸ εἶναι ἑκάστῳ τῶν συνθέτων. καὶ τοῦτο δὴ οὐδὲν ἄλλο παρὰ τὸν λόγον, καθ' ὃν ἡ ὕλη εἰδοποιεῖται. τὰ δὲ μεταξύ τε εἴδη καὶ ἐκ τούτων ἀνάλογον τούτων ἐστὶ μᾶλλον, οἷς ἐστι μᾶλλον. ὧν τὰ μὲν τῆς ὕλης ἐγγυτέρω, ὑλικώτερα, τὰ δὲ τῆς οὐσίας τε καὶ τοῦ λόγου, εἰδικώτερα *). ἔστι δὲ τοῦ λόγου μὲν καὶ τοῦ εἴδους ἐγγυτέρω, ὅσα ἐξ εἰδοπεποιημένων ἤδη σύγκειται, καθ' ὅσον εἰδοποιεῖται. οἷον τὸ πρόσωπον ἐξ ὁμοιομερῶν τινων σύγκειται, καθόσον ἐστὶν εἰδοπεποιημένα. ἐκ γὰρ ὀφθαλμῶν, καθ' ὅσον εἰσὶν ὀφθαλμοί. καὶ ὁμοίως ἐκ τῶν ἄλλων. τῆς δὲ ὕλης τὸ ὑποκείμενον ὕλην ἔχει χωρὶς εἴδους. τοιοῦτον γὰρ τὸ τοῖς στοιχείοις ὑποκείμενον, ἐπεὶ καὶ τῶν ἁπλῶν τε καὶ πρώτων σωμάτων ἕκαστόν φησιν ἕνεκά του καὶ οὐχ ὁπωσοῦν ἔχον ἕκαστον αὐτῶν, τὸ μὲν ὕδωρ ἐστί, τὸ δὲ γῆ, τὸ δὲ ἄλλο τι, ὥσπερ οὐδὲ σάρξ, ἢ ἧπαρ. ἀλλ' ὡς ταῦτα, ὅταν τὸ αὐτῶν παρέχηται, οὕτω κἀκεῖνα, ὅταν ἕκαστον αὐτῶν σώζῃ τὴν οἰκείαν φύσιν καὶ τὸ ἴδιον ἔργον. τούτων δέ φησιν ἔτι μᾶλλον σαρκός τε λέγων καὶ ἑκάστου τῶν σπλάγχνων καὶ ὅλως τῶν ὁμοιομερῶν, τὸ ἕνεκά του ἔχειν φανερώτερον, πρόσω-

*) Ald. εἰλικώτερα.

πον καὶ χεῖρα καὶ ἕκαστον τῶν ἀνομοιομερῶν. — Alexander fol. 140, a.

XII, 13. *Δηλωθέντων δὲ τούτων .... τὰ τοιαῦτα*] *Ἐκ τούτων δῆλον, ὅτι τῷ βιβλίῳ τούτῳ ἕπεσθαι δοκεῖ τὰ περὶ τῶν ζῴων μορίων. ἐν γὰρ τῷ δευτέρῳ περὶ ζῴων μορίων, περὶ ὧν ἐνταῦθα ἔφη δεῖν εἰπεῖν, εἶπε. λέγει γὰρ ἐν αὐτῷ πρῶτον μὲν περὶ τῶν ὁμοιομερῶν μορίων, ἔπειτα περὶ τῶν ἀνομοιομερῶν, ἅ ἐστιν ἐκ τούτων* *). — Alexander fol. 141, a.

*) Uti poterat hisce verbis Titze in iis, quae de ordine physicorum Aristotelis operum, prorsus ex mente Alexandri disputavit.

COMMENTARIUS

IN

ARISTOTELIS METEOROLOGICORUM

LIBRUM TERTIUM.

ACCEDIT

EXPLICATIO LOCORUM HUIUS LIBRI MATHEMATICORUM

AUCTORE

IOSEPHO BLANCANO.

COMMENTARIUS IN METEOROLOGICORUM LIBRUM TERTIUM.

CAPUT PRIMUM.

Quae in hoc capite continentur, arctissime cohaerent cum iis, quae in ultimo antegressi libri exposuerat, ita ut melius fecisse videretur qui primus totam hanc *φυσικῆς πραγματείας* partem, quae Meteorologica inscribitur, in libros et capita divisit, si tertium librum ab initio cap. II exorsus esset. Nos non cunctaremur decimum statuere libri secundi caput, quod et initium capitis noni: *περὶ δὲ ἀστραπῆς καὶ βροντῆς, ἔτι δὲ περὶ τυφῶνος καὶ πρηστῆρος καὶ κεραυνῶν λέγωμεν* et finis nostri: *περὶ μὲν οὖν βροντῆς καὶ ἀστραπῆς καὶ ἐκνεφίου, ἔτι δὲ πρηστήρων τε καὶ τυφώνων καὶ κεραυνῶν εἴρηται, καὶ ὅτι ταὐτὸ πάντα, καὶ τίς ἡ διαφορὰ αὐτῶν*, expostulare videntur, nisi religio quaedam et confusionis timor vetarent, quamvis Schneideri exemplum nos videatur exhortari, ut pristinum ordinem restituamus et quamvis minime dubitemus, quin a sciolo quodam scriba, qui novi quiddam afferre volebat, genuinus ordo sit immutatus, veluti Diodori Siculi aetate, ut priorum saeculorum fraudes seriorumque Peripateticorum ineptias taceam, adeo mos ille invaluit libros aliorum aliter, quam ab auctore ipso factum

erat, in partes dividendi, pro libera cuiuscunque voluntate immutandi, quae inutilia videbantur resecandi, quae utilia, si Dis placebat, futura addendi idque saepenumero ineptis locis, ut is quem diximus scriptor, quae sua in bibliotheca esset dicturus, in fronte totius operis exposuerit, ne quis, ut ipse addidit (I, 5) non advocatus scioli ingenii homunculus illud aut truncaret aut ineptiis augeret aut in lacinias discerperet. Caeterum, uti nos, sensit iam Vicomercatus, qui tamen ultimum caput superioris libri ad tertium librum trahere maluit. Alia quae veteribus de electricis in atmosphaera nostra phaenomenis innotuere, iam supra monuimus, cum ad interpretationem capitis noni libri superioris nos accingeremus, alia monebimus, ubi ipsa Aristotelis verba occasionem nobis praebebunt. Pauca tamen, quae exponendi in ipsis commentariis nullus erit locus, hic adferemus pro consilio nostro omnia, quaecunque novimus, in hoc opere colligendi, quae ad Meteorologiam veterum spectant. Quae etsi iam in *Meteorol. veter. Graec. et Roman.* VII, 35 — 38 fere omnia a nobis collecta sunt et illustrata, duplex tamen causa est, cur eadem, quamvis alio ordine hic repetamus; altera, quia opusculum illud nimis mature compositum prorsus superfluum reddere optamus, altera idcirco, quod nonnulla eaque non exigui momenti et exempla et argumenta pluresque scriptorum locos addituri sumus. Itaque a gravissima quaestione ordiamur, num veteres fulminum noxas averruncandi methodum quandam norint, quod quamvis alii affirmare sint ausi, prorsus negamus. Atque inter argumenta quidem, quae aut prolata sunt, aut possunt proferri, primum obtinet locum cultus Iovis Elicii, quem spectavit Manilius *Astronom.* I, 104, ubi de humana solertia loquitur:

Eripuit ... Iovi fulmen viresque tonandi

et Ovidius *Fast.* III, 327:

Eliciunt caelo te Iuppiter, unde minores
Nunc quoque te celebrant Eliciumque vocant.

Quid tamen de conatibus fulmina et eliciendi et avertendi sit cogitandum, satis elucet ex verbis Plinii *Hist. natur.* II, 54: *Exstat Annalium memoria, sacris quibusdam et precationi-*

bus vel cogi fulmina vel impetrari. Vetus fama Etruriae est, impetratum, Volsinios urbem agris depopulatis subeunte monstro, quod vocavere Voltam. Evocatum et a Porsenna suo rege. Et ante eum a Numa saepius id factitatum, in primo Annalium suorum tradit L. Piso, gravis auctor, quod imitatum parum rite Tullum Hostilium ictum fulmine (cfr. Liv. I, 31). Tali arte fulmina avertendi imprimis Etruscos polluisse notum est, quorum in ritualibus libris — de quibus cfr. Ammian. Marcellin. XXIII, 5 ibiq. Lindenbrog. p. 393 (ed. Gronov. Lugd. Batav. 1693, 4.), cuius etiam collige notam ad Censorin. *de die natali* c. 11, p. 60 — expositum fuisse dicitur, quae in talibus rebus fuerint agenda. — Aliud argumentum pro sententia eorum, qui methodi cuiusdam fulmina averruncandi notitiam veteribus tribuunt, repeti potest, quod equidem antea factum esse non scio, ex loco *Geoponic.* ex Zoroastr. VII, 11 p. 482, ubi haec leguntur: *Σίδηρος τοῖς πώμασι τῶν πίθων ἐπιτιθέμενος ἀπερύκει τὴν ἀπὸ τῶν βροντῶν καὶ ἀστραπῶν βλάβην*, cui alius adiungi potest locus *Geoponic.* ex Leontin. XIV, 11, 5, p. 1004: *Ἀλλὰ μὴν καὶ σιδήρου ἔλασμά τι ἐντιθέασιν ἢ κεφαλὰς ἥλων. — δοκεῖ γὰρ ἀλεξιφάρμακον εἶναι πρὸς τὰς Διοσημείας.* Si quis autem his ex verbis colligere velit, veteribus cognitum fuisse modum, fulminum noxas vi conductrice metallorum avertendi, is conferat verba Columellae *de re rust.* VIII, 5, 12 Schn. Plinii *Histor. natur.* XXXIV, 15 et ipsa *Geoponic.* VII, 27. XIV, 7, 11, unde elucet, plerosque veterum censuisse, ferro vim quandam inesse, omnia mala, ut veneni, ita fulminum noxas avertendi. At veteribus re vera rationem, qua nunc utimur, fulgura averruncandi, cognitam non fuisse probari potest tum exinde, quod ineptiora remedia quam plurima pro superstitione sua conquisiverunt, veluti tutelam arborum quarundam, quas nunquam a fulmine laedi opinabantur, ex. gr. lauros cfr. Plin. *Hist. natur.* XIV, 30: *Manu satarum receptarumque in domos, fulmine sola non icitur* [laurus]. Adde *Geoponic.* VII, 11, p. 482. XI, 2, 7, p. 792. XIV, 11, 51, p. 1005. Plutarch. *Quaest. Symposiac.* IV, 2.

p. 664 C. VI, 9, p. 684. Isidor. *Origg.* XVII, 7, p. 1243. Nonn. de *morbor. curat.* c. 259, p. 294, ubi dicit: *τὰ δὲ φυλάσσοντα ἀπὸ κεραυνῶν εἰσὶ ταῦτα· ἐν μὲν τοῖς φυτοῖς δάφνη καὶ συκῆ* et q. s. Quam opinionem minime veram esse, exemplis allatis docuerunt Harduinus ad Plin. l. l. Tom. I. p. 210 et Krafft *Praelect. physic.* Vol. III p. 310, quamvis adeo apud veteres, praesertim Romanos, divulgata fuerit, ut Tiberius coelo nubibus tecto caput laurea corona involverit, timens, ne Tulli Hostilii sorte afficeretur. (Sueton. *Tiber.* c. 69. Plin. *Histor. natur.* II, 55.) *) Potest tamen surgere aliquis, qui hoc argumentum nullius ponderis esse censeat idcirco, quia in ipsa Franklini patria, America septentrionali, fagus ab incolis tamquam certissimum refugium, ubi tonitrua audiunt, petitur (cfr. *Edinburgh new philosophic. Journal* Vol. II, Octobr. 1826 — Apr. 1827, p. 392. Rüder *Allg. landwirthschaftl. Zeit.* 1830, Febr. p. 64). Aliis eius modi superstitiosis remediis usos esse veteres, minoris etiam momenti est, veluti phocarum pellibus (cfr. Sueton. *August.* c. 90: *Tonitrua et fulmina paullo infirmius expavescens, semper et ubique pellem vituli marini circumferebat pro remedio.* Plin. *Histor. nat.* II, 55), suffitu Achatarum (cfr. Plin. *Hist. natur.* XVII, 10. *Persis vero suffitu*

*) Orta videtur tota haec de lauro, fulmina, ut ita dicam, respuente fabula, ex detestatione illa, qua manifesto crepitu ignes abdicat. Verbis usus sum Plinii *Histor. natur.* XV, 40. Noti sunt versus Lucretii VI, 153 sq.:

Nec res ulla magis, quam Phoebi Delphica laurus
Terribili sonitu, flamma crepitante, crematur.

Cfr. Theocrit. *Idyll.* II, 23 sqq.:

— — — ἐγὼ ἐπὶ Δέλφιδι δάφναν
αἴθω· χ' ὡς αὐτὰ λακεῖ μέγα καππυρίσασα
κἠξαπίνης ἅφθη κοὐδὲ σποδὸν εἴδομες αὐτᾶς.

Theophr. *de igne* 68, p. 729: *καὶ τὰ φύλλα δὲ τὰ τῆς δάφνης καὶ τοῦ κιττοῦ καὶ τὰ ἄλλα τὰ τοιαῦτα πηδᾷ διὰ πυκνότητα καὶ διὰ τὸ ἔχειν πολὺ τὸ ὑγρόν· οὔτε γὰρ ἐξάγει πολύ, καὶ οὐ δίεισι τῇ πυκνότητι· διὸ καὶ ὁ ψόφος.* Ovid. *Fast.* IV, 742:

Et crepet in mediis laurus adusta focis.

Achatarum tempestates avertit et praeterea fulmina. Adde Ctes. apud Phot. *Bibl.* p. 67 ed. Hoeschel), aliisque. cfr. Columell. *de re rust.* X, 346:

Utque Iovis magni prohiberet fulmina Tarchon,
Sepe suas sedes praecinxit, vitibus albis. —

Omissis vero omnibus hisce, non desunt argumenta, ex quibus certissime potest evinci nullam fulgura averruncandi methodum veteribus cognitam fuisse, qualia praebent locus Senecae *Quaest. natur.* VI, 1, 6, ubi remedia malorum ex aëre in nos irruentium recenset: *adversus tonitrua et minas caeli subterraneae domus et defossi in altum specus remedia sunt,* — Lucretii *de rer. natur.* VI, 405 sqq.:

Praeterea si vult caveamus fulminis ictum,
Cur dubitat facere, ut possimus cernere missum?
Si nec opinantes autem vult opprimere igni,
Cur tonat ex illa parte, ut vitare queamus?
Cur tenebras ante, et fremitus et murmura concit?

Plinii *Histor. nat.* II, 54: *Imperari naturae audacis est credere* — proverbium denique illud notissimum, quod inter alios reperitur apud Macrobium *Saturnal.* V, 3, p. 315: *Impossibile vel Iovi fulmen, vel Herculi clavam, vel Homero versum subtrahere* *). —

Hac igitur disquisitione absoluta transeamus ad phaenomena quaedam atmosphaerica electricae originis, quorum apud Aristotelem quidem nulla fit mentio, quae tamen apud alios scriptores saepenumero commemorantur. Quorum primum

---

*) Huc etiam pertinet quaestio, utrum acumina quae in tectis templi a Salomone Hierosolymis constructi erecta erant, fulminibus averruncandis inservierint, ut complures docti viri voluerunt (vide Michaëlis in *Götting. Magazin Jahrg.* III *St.* 5 et Bendavid in *Berlinisches Archiv der Zeit und ihres Geschmackes* 1797. Vol. II p. 328 — 342, 525 — 529, qui paulo etiam ultra progressus est), an avibus detinendis ac propellendis, uti alii maluerunt cum Iosepho. Quodsi enim Hebraei noverunt modum fulmina ad terram absque damno deducendi, vix dubitare licet, quin et Graecis et Romanis aeque notus fuerit.

est, quod si aëre satis humido lucidae redduntur pluviae omnes, quae destillant, guttae, quocum cohaeret alterum illud, quod nos ignem St. Elmi appellamus, veteres *Διὸς κούρους* vocare solebant, quando singulae res, praesertim acumine quodam praeditae, in quas materies electrica subducitur, claro lumine splendent *). Cuius phaenomeni exempla plura apud veteres commemorantur, veluti apud Plinium *Histor. natur.* II, 37: *Vidi nocturnis militum vigiliis inhaerere pilis pro vallo fulgorem effigie ea: et antennis navigantium, aliisque navium partibus, ceu vocali quodam sono insistunt, ut volucres sedem ex sede mutantes: graves, quum solitariae venere, mergentesque navigia: et, si in carinae ima deciderint, exurentes: geminae autem salutares et prosperi cursus praenuntiae: quarum adventu fugari diram illam ac minacem adpellatamque Helenam ferunt. Et ob id Polluci et Castori* **) *id numen adsignant: eosque in mari deos invocant. Hominum quoque capita vespertinis horis magno praesagio circumfulgent. Omnia incerta ratione et in naturae maiestate abdita.* Audiatur etiam Seneca *Quaest. nat.* I, 1: *In magna tempestate apparent lumina, quasi stellae velo insidentes. Adiuvari se tunc periclitantes existimant Pollucis et Castoris numine. Causa autem melioris spei est, quod iam apparet frangi tempestatem et desinere ventos. Aliquando feruntur ignes, non sedent. Gylippo Syracusas petenti visa sunt*

---

*) Exemplorum copiae, quam attuli in *Meteorol. veter. Graec. et Roman.* VII, 35. not. 12. p. 164 adde *Revue encyclopédique* Tom. XIII p. 484 sqq.

**) — *Quorum simul alba nautis*
Stella refulsit,
Defluit saxis agitatus humor
Concidunt venti, fugiuntque nubes,
Et minax (quod sic voluere) ponti
Unda recumbit.

Horat. Carm. I, 12, 27 sqq. Adde Mitscherlich ad Horat. Carm. I, 3, 2. Hemsterhus. ad Lucian. II p. 331 ed. Bipont.

ardere pila, ignibus scilicet in illa delapsis *), *qui saepe, fulminum more, animalia ferire solent et arbusta. Sed si minore vi mittuntur, defluunt tantum et insident, non feriunt nec vulnerant.* — Qua in re errasse arbitror Senecam. Quantum equidem novi, nunquam phaenomeno tali suborto, neque arbusta neque animalia interiere. Confudit procul dubio Seneca plura phaenomena more eorum, quibus explicandi deest ratio. Certum est fulmina interdum prodire ex humo, et loco insidentia animalia eorum vi interfici ac nonnunquam statim post mortem electrica luce suffusa lucere, quod nescio an huc spectet. cfr. Plin. *Histor. natur.* II, 53 **). Quod factum est interdum, ut hominum viventium capita electrica luce suffusa splenderent, non tam ad electricitatem atmosphaericam, quam ad electricitatem animalem spontaneam pertinet. Ita Ascanii capillos innoxiam flammam fudisse refert Virgil. *Aen.* II, 682 sqq.:

Ecce levis summo de vertice visus Iuli
Fundere lumen apex, tactuque innoxia molli
Lambere flamma comas, et circum tempora pasci.
Nos pavidi trepidare metu, crinemque flagrantem
Excutere et sanctos restinguere fontibus ignes.

Quod non narravisset Virgilius, nisi phaenomeni aut ipse exemplum vidisset, aut a fide dignis viris narratum audivisset. Repetit etiam similem narrationem de Lavinia *Aen.* VII, 73 sqq., ubi addit flammam

— — *totis Vulcanum spargere tectis.*

Quod an unquam factum sit, nescio; an fieri possit, dubito. Ita notum est, a comis Servii Tullii, Romanorum regis, ignem emicuisse, cum puer dormiret (Liv. I, 39). Exemplorum tam veterum quam recentiorum copiam attulit Hemmer in *Act. Academ. Theodoro-Palatin.* Tom. VI. *Part. phys.* p. 120 sqq. ***)

---

*) Cfr. Dionys. Halicarnass. *Antiq. Rom.* V, 46.

**) Exempla reperies in *Annales générales des sciences naturelles* Vol. VII p. 398. Gilb. *Annal.* LXIX p. 109.

***) Adde Damasc. *vit. Isidori* apud Phot. *Bibl.* cod. 242 p. 1039:

Vicomercatus Comment. ad Meteorolog. p. 294 ait: „*Fama stabilisque apud vulgares opinio recepta est, aliquorumque etiam sapientum sententia comprobata, fulmen lapidem esse, quo turres interdum ictae disiiciuntur, arboresque finduntur: quam opinionem acceperunt, cum lapides quosdam veluti adustos iis in locis, ubi fulmine aliquid ictum est, invenissent, ab aliis lapidibus prorsus dissimiles, et, quemadmodum testatur Avicenna, ferro et igni similes* (cfr. Fromondi *Meteorol.* II, 7 p. 83). Huiusce opinionis satis tritae nostra etiam aetate inter rusticos agrestesque homines, certa vestigia apud veteres scriptores nulla reperiuntur non magis, quam alterius illius, fulmina nihil esse aliud, nisi sulphur in nubibus colliquatum, quamvis odorem et lucem cum sulphureo comparare non dubitaverit Plinius *Hist. nat.* XXXV, 15. Ad priorem tamen sententiam possit aliquis trahere Caecinae *abterranea fulmina*, quorum mentio fit apud Senecam *Quaest. natur.* II, 49, verba Scholiastae ad Persii *Satir.* II, 27: *Haruspices fulmina transfigurata in lapides infra terram abscondunt*, praeeunte Salmasio *Excercitat. Plinian.* p. 803 F, et versus Lucani *Pharsal.* I, 606:

— — *Arruns dispersos fulminis ictus*
Colligit et terrae moesto cum murmure condit.

At, ut Ruhkopfii (*Seneca's physikalische Untersuchungen*, Lips. 1794, p. 88; ad Senec. Tom. V p. 134) interpretatio-

---

ὁ Σεβήρου ἵππος ψηχόμενος σπινθῆρας ἀπὸ τοῦ σώματος πολλούς τε καὶ μεγάλους ἠφίει, ἕως αὐτῷ τὸ τέρας εἰς τὴν ὑπατικὴν ἀρχὴν ἐν Ῥώμῃ κατηνύσθη. Ἀλλὰ καὶ Τιβερίῳ ὄνος, ὡς Πλούταρχος ὁ Χαιρωνεύς φησιν, ἔτι μειρακίῳ ὄντι καὶ ἐν Ῥόδῳ ἐπὶ λόγοις ῥητορικοῖς διατρίβοντι τὴν βασιλείαν διὰ τοῦ αὐτοῦ παθήματος προεμήνυσεν. Ἀλλὰ καὶ τῶν περὶ Ἀτήλλαν εἷς ὢν ὁ Βαλέμερις ἀπὸ τοῦ οἰκείου σώματος ἀπέπαλλε σπινθῆρας. λέγει δὲ καὶ περὶ ἑαυτοῦ ὁ συγγραφεύς, ὡς καὶ ἐμοὶ ἐνδυομένῳ τε καὶ ἐκδυομένῳ, εἰ καὶ σπάνιον τοῦτο, συμβαίνει δ᾽ οὖν, σπινθῆρας ἀποπηδᾶν ἐξαισίους, ἔσθ᾽ ὅτε καὶ κτύπον παρέχοντας, ἐνιότε δὲ καὶ φλόγας ὅλας καταλάμπειν τὸ ἱμάτιον μὴ μέντοι καίουσας· καὶ τὸ τέρας ἀγνοεῖν, εἰς ὃ τελευτήσει. ἰδεῖν δὲ λέγει καὶ ἄνθρωπόν τινα ἀπὸ τῆς κεφαλῆς ἀφιέντα σπινθῆρας, ἀλλὰ καὶ φλόγα ἀνάπτοντα, ὅτε βούλοιτο ἱματίῳ τινι τραχεῖ παρατριβομένης.

nem taceamus, qui de fulminibus cogitavit, quae ex terrae sinu prodierint (exemplis paulo ante laudatis adde, quae Maffei disseruit in *Journal des savans d'Italie* Tom. I p. 188 cfr. Ideler *Ueber den Hagel.* Lips. 1833. 8. p. 23), facere malumus cum Böttigero (Gilb. *Annal.* LXXII p. 317 sq. cfr. quem laudat Micali *l'Italia avanti il dominio dei Romani* sec. ed. Tom. II p. 73), qui locos laudatos et verba Lucretii *de rer. nat.* VI, 384:

— — — ignis, qui per loca septa
Insinuavit — —

de canalibus, vi fulminum sub terra effossis, explicuit. Vis enim fulminum corpora, in quae delabuntur ac penetrant, calefaciundi, bene iam nota Manilio dicenti (*Astronom.* I, 853):

Et calidas reddunt ipsis in fontibus undas

- 294. l. 18 adde: Hinc factum est, ut apud serioris aevi scriptores *ὥσπερ καὶ νῦν ἐστι* significet: *ut re vera res se habet.* Cfr. Theophil. Protospathar. *de corp. humani fabrica* I, 3, p. 788 ed. Fabric. (*Bibl. gr.* Vol. XII ed. pr.) p. 5 ed. Morelli. Adde locum Sorani, boni scriptoris, *de pudendo muliebri* p. 59 (ad calcem Rufi Ephesii ed. Turnebi, Paris. 1554, 8.): *δεύτερον δὲ ἐπὶ τῶν παρθένων ἔχρην ἀντικόπτειν τι τῇ μηλώσει· νυνὶ δὲ μέχρι βάθους ἄπεισιν ἡ μήλη.* Obiter moneo, paulo ante pro *εἰ θᾶττον καὶ θαρσέως ἔμειναν*, quae verba prorsus inepta sunt, scribendum esse: *ἢ θᾶττον καθάρσεις κινεῖν.* Ita enim, uti sententiarum nexus iubet, aperte legit Rasarius, latinus huius fragmenti interpres (cfr. Theophil. interprete Iunio Paulo Crasso. Paris. 1556, 8. ed. Morelli; et *Med. Collect.* col. 508 ed. Steph.), quum verteret: *aut citius purgationes commovere.*

- 356 in fine notae adde: De Chrysippo multis in rebus ab Aristotele dependente, quod h. l. obscurius significavit Galenus, cfr.

Stahr, *Aristotel.* Vol. II, p. 88 sq. Brandis in *Rhein. Museum* I, 3, p. 246. Biese, *Philosophie des Aristot.* I, p. XXXIV.

P. 363 in fine notae pro alii videant lege: ex superioribus patet.

- 391. l. 3 pro etiam lege idem.
- 427 in fine notae adde: Coray ad Xenocrat. *de aliment. ex aquatil.* §. 77, p. 179.
- 432 in fine notae adde: De χρύσῳ ἀπέφθῳ vide etiam Bochart. *Geogr. sacr.* II, 27, ac praeprimis Guidot. ad Theophil. *de urinis*, p. 185 sqq. Jacobs ad *Anthol. Gr.* Vol. VI, p. 306.
- 433. l. 8 a fine lege Nicandri.
- 434. l. 2 adde: Bernard. ad Nonn. *de morbor. curat.* c. 177, p. 76.
- 439. in not. l. 12 adde: ἐμφράττει τοὺς πόρους Alex. *de febr.* c. 24, p. 28 ed. Passow. Pallad. *de febr.* c. 8, p. 32 ed. Bern. φράττουσα τοὺς πόρους Psellus *Carm. med.* v. 942, 1063 apud Boissonade, *Anecd. gr.* Vol. I, p. 214. 218.

Vol. I, p. 246 not. **) Adde imprimis Bentley, *de metris Terentianis*, p. XVIII (ed. Terentii Lips. 1791).

ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ

ΠΕΡΙ ΜΙΞΕΩΣ.

ALEXANDRI APHRODISIENSIS

DE MISTIONE

LIBELLUS.

[fol. 141, b.]

Πῶς δ' ἂν παραδέξαιτό τις τὸ ἐν τῇ τοιαύτῃ κράσει τῶν σωμάτων ἕκαστον τῶν κιρναμένων φυλάττειν δύνασθαι τὴν οἰκείαν ἐπιφανείαν, ὡς ὁμοῦ μὲν μήτε τὸ τυχὸν αὐτοῦ μόριον εἶναί τε καθ' αὑτὸ κεχωρισμένον θατέρου, ὁμοῦ δὲ φυλάττειν ἕκαστον αὐτῶν, τὴν ἐπιφανείαν τὴν ἑαυτοῦ, ἣν εἶχε καὶ πρὸ τῆς κράσεως; τοῦτο γὰρ ὑπεραίρει καὶ τὰς ἐν τοῖς μύθοις παραδοξολογίας. ὃ τίθησι Χρύσιππος ὅσον ἐν τούτῳ τῷ δύνασθαι τὰ κεκραμένα *) χωρίζεσθαι πάλιν. τοῦ τε γὰρ λέγειν δύνασθαι χωρίζεσθαι τὰ κεκραμένα, ἀλλ' ἢ καὶ τοῦ μηδ' ὅλως κιρνᾶσθαί τινα δύνασθαι λέγειν μακρῷ παραδοξότερον καὶ παρὰ τὰς ἁπάντων ἐννοίας **), ἢ τὸ λέγειν ὁμοῦ μὲν δι' ὅλων ἀλλήλων χωρεῖν τινα σώματα, ὡς μηδὲν αὐτῶν μόριον ᾖ καθ' αὑτό, ὁμοῦ δ' ἕκαστον αὐτῶν ὑπὸ τῆς οἰκείας ἐπιφανείας περιέχεσθαι, ὑφ' ἧς περιείχετο καὶ πρὸ τῆς μίξεως. τό τε οὖν σῶμα διὰ σώματος ***), μηδεμιᾶς ἐλάττω διαφορὰν ἔχειν συμβέβηκε τῶν κατὰ φιλοσοφίαν δογμάτων καὶ τῶν περὶ μίξεώς τε καὶ κράσεως λόγων. οὐ γὰρ μόνον διενέχθησαν πρὸς ἀλλήλους περὶ τοῦδε τοῦ δόγματος, οὐ μίαν ὕλην ὑποκεῖσθαι πᾶσι τοῖς ἐν γενέσει σώμασι λέγοντες πρὸς τοὺς ἐκ διωρισμένων καὶ κεχωρισμένων σωμάτων ποιοῦντας †) αὐτήν· ὧν οἱ μὲν ἄτομα σώματα ἄπειρα τῷ πλήθει, κατὰ σχῆμα καὶ μέγεθος μόνον τὴν πρὸς ἄλληλα διαφορὰν ἔχοντα, τὰς ἀρχὰς

---

*) Ald. κεκραμμένα. **) Ald. ἐνοίας.

***) Si lectio certa, nimia brevitate usus est auctor. Sensus verborum est: Num corpus quoddam aliud corpus permeare valeat, quaestio est difficillimis philosophiae disquisitionibus nullo pacto inferior.

†) Ald. ποιοῦντες.

[fol. 141, b.]

*καὶ τὰ στοιχεῖά φασιν εἶναι, καὶ τῇ τούτων συνθέσει τε καὶ ποιᾷ *) περιπλοκῇ, ἔτι τε τάξει καὶ θέσει τἆλλα γίνεσθαι. ἐφ' ἧς δόξης πρῶτοι μὲν Λεύκιππός τε καὶ Δημόκριτος γενέσθαι δοκοῦσιν, ὕστεροι δὲ Ἐπίκουρός τε καὶ οἱ τὴν αὐτὴν τούτων ἐπιόντες **) [δόξαν]. οἱ δὲ αὐτῶν, οὐ κατ' ἄλλους, ὁμοιομερῆ δέ τινά φασιν ἄπειρα εἶναι σώματα, ἐξ ὧν ἡ τῶν αἰσθητῶν γένεσις σωμάτων γινομένη κατὰ σύγκρισιν καὶ σύνθεσιν ***). ἧς δόξης Ἀναξαγόρας τε καὶ Ἀρχέλαος δοκοῦσι γεγονέναι. ἤδη δέ τινες καὶ ἀμερῆ τινα σώματα τὰς ἀρχὰς καὶ στοιχεῖα τῶν πάντων προήχθησαν εἰπεῖν. ἔστι δέ τις δόξα καὶ ἐξ ἐπιπέδων τὴν γένεσιν ποιοῦσα τῶν σωμάτων †) καὶ ἐξ ἀριθμῶν τις ἄλλη ††). — Οὐ δὴ πρὸς ἀλλήλους μόνον, ὡς ἔφην, οὗτοι διηνέχθησαν κατὰ τὴν πρὸς τὰς ἀρχὰς διαφόρους οὖσας ἀκολουθίαν καὶ τὰς κράσεις διαφέρως γίνεσθαι λέγοντες, ἀλλὰ καὶ αὐτῶν τῶν ἡνωμένην τὴν ὕλην λεγόντων. καὶ πάλιν αὐτῶν διωρισμένη τε καὶ κεχωρισμένη ἐστί τις πρὸς ἀλλήλους διαφωνία. αἰτία δ' αὐτοῖς τῆς διαστάσεως τῆς τοιῆσδε ἡ χαλεπότης τοῦ δόγματος †††). ἐπεὶ μὲν γὰρ ἐναργές ἐστιν εἶναι κιρνᾶσθαι*

---

*) Ald. *ποιά.*

**) Ald. *ἐπέντες.* Quod sequitur *δόξαν* de meo addidi. Canin. vertit: quique in eandem ivere sententiam.

***) Verba *γινομένη .... σύνθεσιν* non translata sunt apud Canin. Pro *σύνθεσιν* mallem *διάκρισιν*, seu *ἔκκρισιν*, seu *ἀπόκρισιν.* Hisce enim verbis in eadem re exponenda promiscue utitur Aristoteles *Phys.* I, 4. *de gen. et inter.* I, 6.

†) Platonis sententia cfr. *de gen. et inter.* I, 8.

††) Pythagoraeorum placitum, refutatum ab Aristotele *Metaphys.* XIV, 3. Conferantur de Pythagoraeorum, et qui ex hac finxit, Platonis theoria numerorum Brandis *de perditis Aristotelis libris de ideis et de bono sive philosophia* Bonn. 1823, p. 48 sqq. *Ueber die Zahlenlehre der Pythagoräer und Platoniker* in: *Rhein. Mus.* 1818. *Heft* IV. Trendelenburg *Platonis de ideis et numeris doctrina ex Aristotele illustrata* p. 85 sqq. ad Aristot. *de anima* I, 2, 7, p. 223 sqq. Weisse *Aristoteles Physik* p. 272 sqq. p. 437 sqq. *Aristoteles von der Seele und von der Welt* p. 124 sqq. *Jahrb. für wissenschaftl. Kritik.* 1832. nr. 72, p. 571.

†††) Totum locum ex coniectura sanavi, secutus interpretationem Caninii: *Ut autem inter eos tantae esset controversiae, placiti difficultas*

[fol. 141, b]
τινα τῶν σωμάτων πρὸς ἄλληλα, πάντες σχεδὸν οἱ περὶ φύσεώς τε καὶ τῶν γινομένων φύσει φιλοσοφοῦντες ἦλθον ἐπὶ τὸ ζητεῖν τὴν αἰτίαν αὐτοῦ. τῷ δ᾽ εἶναι χαλεπὴν αὐτοῦ τὴν εὕρεσιν καὶ ἑκάστῃ τῶν ἀποδιδομένων αἰτιῶν οἰκείας τινὰς ἕπεσθαι δυσχερείας, ἄλλη ἄλλην ἐράπτετο. διὸ οὐ χεῖρον καὶ ἡμᾶς περὶ αὐτῆς διαλαχεῖν καὶ μηνῦσαι τὰ δοκοῦντα ἡμῖν εὐλογώτερα λέγεσθαι τῶν περὶ κράσεως εἰρημένων [καὶ] τοῦ δοκεῖν οὕτως ἔχειν παρεχόμενα τὰς αἰτίας *). Δημόκριτος μὲν οὖν ἡγούμενος τὴν λεγομένην κρᾶσιν γίνεσθαι κατὰ παράθεσιν σωμάτων τῶν διαιρουμένων καὶ κιρναμένων εἰς μικρὰ καὶ τῇ παρ᾽ ἄλληλα θέσει τὴν μῖξιν ποιουμένων, οὐδὲ τὴν ἀρχήν φησιν εἶναι πρὸς ἀλήθειάν τινα κεκραμένα, ἀλλ᾽ εἶναι τὴν δοκοῦσαν κρᾶσιν παράθεσιν σωμάτων ἀλλήλοις κατὰ μικρὰ σωζόντων αὐτῶν ἑκάστου τὴν οἰκείαν φύσιν, ἣν εἶχον καὶ πρὸ τῆς μίξεως· δοκεῖν δ᾽ αὐτὰ κεκρᾶσθαι τῷ τὴν αἴσθησιν διὰ μικρότητα τῶν περικειμένων μηδενὸς αὐτῶν αἰσθάνεσθαι μόνου. φιλαλήθως τε καὶ φιλοσόφως οὐκ ὤκνησαν εἰπεῖν τὸ ἑπόμενον τοῖς οὕτω τὰς κράσεις λέγουσι γίνεσθαι. παραθέσει δὲ τοιαύτῃ τὰς κράσεις ἀνάπτουσιν, οἱ τὰς ὁμοιομερείας εἶναι ὕλην τῶν γινομένων λέγοντες. Ἐπίκουρος δὲ φεύγειν βουλόμενος τὸ ὑπὸ Δημοκρίτου ῥηθέν, ἕπεσθαι βούλεται τοῖς παραθέσει τῶν κιρναμένων τὴν κρᾶσιν γίνεσθαι λέγουσι, παραθέσει μέν τινων σωμάτων καὶ αὐτὸς τὰς κράσεις γίνεσθαι λέγων, ἀλλ᾽ οὐκ αὐτῶν τῶν μιγνυμένων σωμάτων σωζομένων ἐν τῇ διαιρέσει, ἀλλ᾽ ἀναλυομένων εἰς **) τὰ στοιχεῖα καὶ τὰς ἀτόμους, ἐξ ὧν ἕκαστον αὐτῶν συγκείμενόν πως, τὸ μὲν οἶνος ἦν, τὸ δὲ ὕδωρ, τὸ δὲ μέλι, τὸ δὲ ἄλλο τι ἐπὶ τα ποιὰ τούτων τῶν σωμάτων, ἐξ ὧν ἦν τὰ κιρνάμενα πρὸς ἄλληλα, συνθέσει γεννώντων τὸ κεκραμένον

---

in causa fuit. Nam cum perspicuum sit et q. s. Ald. *ἡ χαλεπότης· τοῦ δόγματος μὲν γὰρ ἐναργές ἐστιν* etc.

*) Ald. post *εἰρημένων* maiore interpunctione distinxit et sequentia traxit ad alteram enuntiationem. Videtur autem ante verba *τοῦ δοκεῖν* et q. s. excidisse *καί*, quod uncis inclusum addidimus.

**) Ald. *εἰ*.

[fol. 141, b]

σῶμα οὐ *) συμμιγνυμένων ὕδατός τε καὶ οἴνου, ἀλλὰ τῶν ὑδροποιῶν **) ἀτόμων, ὡς ἂν εἴποι τις, ταῖς οἰνοποιοῖς φθοραῖς, καὶ γενέσει τινῶν τὴν κρᾶσιν γίνεσθαι. λέγων γὰρ εἰς τὰ στοιχεῖα ἀναλύσεις ἑκάστου, καί ἐστιν ἐκ τῶν στοιχείων σύνθεσις, αὐτῶν δὲ φθεῖρα ***). τούτων μὲν οὖν, οὔτε οἱ τὴν παράθεσιν αἰτιώμενοι τῆς κράσεως, οὔθ᾽ οἱ τὴν εἰς τὰ στοχεῖα ἀνάλυσιν †), τὴν περὶ τῆς κράσεως σώζουσι πρόληψιν, εἴτε ἡ μὲν κρᾶσις εἶναι δοκεῖ ἐν ἑνώσει τῶν κεκραμένων, ὡς μηδὲν μόριον τοῦ κράματος ἄμικτον εἶναί τινος τῶν σωμάτων, ἐξ ὧν τὸ κεκραμένον. οὔτε δὴ ἡ παράθεσις ἕνωσις ††), οὔτε ἡ φθορά τε καὶ ἀναστοιχείωσις †††) μῖξίς ἐστι· ἡ γὰρ μῖξις σωζομένων γενέσθαι δοκεῖ. οὐ γὰρ αὐτὰ μιγνύουσιν οἱ τοῦτον τὸν τρόπον τὴν κρᾶσιν γίνεσθαι λέγοντες, [fol. 142] ἀλλ᾽ ἐξ ὧν ἐστι ταῦτα μιγνύουσιν. εἰ δὲ ἐκ τῶν αὐτῶν στοιχείων οἷόν τε ὕδωρ καὶ οἶνον γενέσθαι τῇ ποιᾷ συνθέσει τε καὶ περιπλοκῇ τῆς τῶν γινομένων ἐξ αὐτῶν διαφθορᾶς γενομένης *†), οὐδ᾽ ὅλως ἂν ἔτι κρᾶσις τούτων γίνοιτο τῷ τῇ ἀναστοιχειώσει φθείρεσθαι ταῦτα, καθ᾽ ἃ ἡ κρᾶσις τῶν κιρναμένων γίνεται. γίνεται μὲν γὰρ ἡ κρᾶσις δια-

---

*) Negationem de meo addidi, nexu sententiarum flagitante et probante etiam Caninio.

**) Lexicis addatur.

***) Ald. καὶ ἡ ἐκ τῶν στοιχείων σύνθεσις αὐτῶν. τὸ δὲ φθεῖρα, τούτων μὲν οὖν et q. s. Veram, quam dedimus lectionem ante oculos habuit Caninius vertens; *Cum dicat enim in elementa resolutiones cuiusque fieri, et est ex elementis compositio, ipsorum autem corruptio.* Articulus ἡ, quem in verbum substantivum mutavimus, fortasse indicium est excidisse vocabulum κρᾶσις. φθεῖρα, nisi φθορά corrigendum videbitur, lexicis addendum est.

†) Ald. οὗτοι pro οὔθ᾽ οἱ; deinde τὴν εἰς τὰ στοιχεῖα ἀνὰ τὴν περὶ τῆς κράσεως σώζουσι πρόληψιν. Pro ἑνώσει praebet ἑνῶσαι.

††) Ald. ἕνωσις.

†††) Lexicis addatur. Mox ἐστί dedimus pro ἔτι, quod Aldus exhibet. Ad σωζομένων supple τῶν στοιχείων, quod eruendum ex verbo ἀναστοιχείωσις, qua de re cfr. Commentar. ad Meteor. I, 13, 11. Vol. I, p. 452. Adde p. 657. Vol. II, p. 579.

*†) Ald. γεννωμένης.

[fol. 142, a]
φερόντων τινῶν κατὰ ποιότητα, ἀναιρεῖται δὲ ἡ κατὰ τοῦτο διαφορὰ τοῖς ἔχουσιν αὐτὴν ἐν τῇ τῶν αὐτῶν ποιᾷ συνθέσει τῆς συνθέσεως αὐτῶν ἀναιρεθείσης. ὃ*) ἴσως δὲ καὶ τοῖς ἐξ ἐπιπέδων γεννῶσι τὰ σώματα ἡ κρᾶσις γίνεται κατὰ ἀναστοιχείωσίν τινα· εἰ μὲν οὖν ἦν ἔχουσά τι ἧδε ἡ περὶ τῶν ἀρχῶν δόξα εὔλογον **), ἴσως ἐπὶ πλέον ἔδει τὴν ἐξέτασιν ποιεῖσθαι τῆς τοῦτον τὸν τρόπον γίνεσθαι λεγομένης κράσεως· ἐλεγχομένης δὲ ἐκείνης περιττὸν τὸ ζητεῖν ἔτι, εἰ κατὰ παράθεσιν μερῶν ἢ μῖξιν ἀτόμων, ἢ ἐπιπέδων, ἢ ἀμερῶν τινων σωμάτων ἡ κρᾶσις γίνεται. διὸ περὶ μὲν οὖν τῆς τῶν τοιαύταις ἀρχαῖς χρωμένων διαφωνίας τε πρὸς ἀλλήλους καὶ δόξης περὶ κράσεως οὐδὲν δεῖ μηνύειν τὸν λόγον. οὐ γὰρ ἐπίδειξις ἡμῖν ἱστορίας καὶ πολλῆς γνώσεως τὸ προκείμενον, ἀλλ' ἐξέτασίς τε καὶ ζήτησις τοῦ, πῶς ἄν τις λέγων ***) γίνεσθαι τὰς κράσεις τῶν σωμάτων συμφώνως λέγοι ταῖς περὶ αὐτῶν αἰσθήσεσί τε καὶ προσλήψεσι. μετέλθωμεν δὲ ἐπὶ τοὺς κοινῶς ἡνῶσθαι τὴν ὕλην λέγοντας καὶ μίαν πᾶσι τοῖς γινομένοις καὶ τὴν αὐτὴν ὑποθέντας †). ὧν καὶ αὐτῶν παραιτησάμενοι τὰς ἐπιπολαιότερόν τε καὶ προχειρότερον ††) εἰρημένας, τὰς μάλιστα δοκούσας ἔχεσθαί τινος λόγου αὐτὰς ἐξετάσωμεν προχειρισάμενοι· τῶν δὴ ἡνῶσθαι τὴν ὕλην λεγόντων δοκοῦσι μάλιστά τε καὶ περὶ κράσεως οἱ ἀπὸ τῆς Στοᾶς διαλαμβάνειν †††). οὔσης δὲ καὶ ἐν τούτοις πολυφωνίας (ἄλλοι γὰρ ἄλλως αὐτῶν τὰς κράσεις γίνεσθαι λέγουσιν), ἡ μάλιστα δοκοῦσα δόξα εὐδοκιμεῖν παρ' αὐτοῖς περὶ κράσεως ἐστὶν ἡ ὑπὸ Χρυσίππου λεγομένη. τῶν γὰρ μετ' αὐτῶν οἱ μὲν Χρυσίππῳ συμφέρονται, οἱ δέ τινες αὐτῶν τῆς Ἀριστοτέλους δόξης ὕστερον ἀκοῦσαι δυνηθέντες *†), πολλὰ τῶν εἰρημένων ὑπ' ἐκείνου περὶ κράσεως καὶ αὐτοὶ λέγουσιν· ὧν εἷς ἐστι καὶ Σωσιγένης, ἑταῖρος

---

*) ὃ superfluum est. **) Ald. δόξα, εὔλογον ἴσως et q. s.

***) Ald. λέγειν. †) Ald. ὑποθέται.

††) Ald. ἐπὶ πολαιότερον et προκειρότερον. Mox pessime distinxit ἐξετάσωμεν, προχειρισάμενοι τῶν δή .... λεγόντων.

†††) Ante διαλαμβάνειν Ald. repetit περὶ κράσεως.

*†) Postquam nimirum, quod puto Alexandrum intelligere voluisse, Aristotelis opera diu deperdita denuo in lucem prodierunt.

[fol. 142, a]
Ἀντιπάτρου *). οἷς οὐ δυνάμενοι πάντη συμφέρεσθαι διὰ τὴν ἐν τοῖς ἄλλοις διαφωνίαν ἐν πολλοῖς αὐτοῖς λέγοντες εὑρίσκονται μαχόμενοι. ἔστι δὲ ἡ Χρυσίππου δόξα περὶ κράσεως ἥδε· ἡνῶσθαι μὲν ὑποτίθεται τὴν σύμπασαν οὐσίαν, πνεύματός τινος διὰ πάσης αὐτῆς διήκοντος, ὑφ᾽ οὗ συνάγεταί τε καὶ συμμένει καὶ σύμπαθές ἐστιν αὐτῷ. τῶν **) πάντων δὲ μιγνυμένων ἐν αὐτῇ σωμάτων τὰς μὲν παραθέσει μίξεις ***) γίνεσθαι λέγει, δύο τινῶν ἢ καὶ πλειόνων οὐσιῶν εἰς ταὐτὸ συντεθειμένων καὶ παρατιθεμένων ἀλλήλαις, ὥς φησιν †)· καθ᾽ ὁρμῆς σωζού-

---

*) Cfr. ad Exc. III, 3, 1. Quodsi ex huius philosophi mentione aliquis concludere velit, ab eodem auctore profectos esse et hunc de mistione libellum et commentarios ad Meteorologica, qui sub Alexandri Aphrodisaei nomine, quamvis, uti nos censemus, iniuria circumferuntur, is solida probet argumentatione necesse est, hoc scriptum a medico Aphrodisiensi non esse compositum, quam tamen opinionem et scribendi et cogitandi ratio commendat. Omnino eius modi argumentum satis futile est. Cum tamen apud aliquem lectorum gratiam inire possit, aliud prorsus simile opponimus, quo doceamus commentarios illos, sive paraphrasin dicere mavis, non ab Alexandro Aphrodisiensi conscriptos esse. Hic enim in libris *de anima* II, 48 laudat locum ex *Meteorolog.* I, 14, 20. Cum interpretationem tantum latinam Angeli Caninii Angliarensis (Venet. 1549 fol.) ante oculos habeamus, latina verba huc pertinentia (fol. 62, b) adscribamus: *Iam vero de nomine fati Aristoteles mentionem facit in primo Meteororum hoc modo: Sed omnium horum causa censenda est, quia fiunt per tempora fato decreta ac certa, velut in temporibus anni, hiems. Ita ambitus cuiusdam magni pars est hiems; videtur enim autem dicere fatum naturam esse: haec enim sunt tempora fato decreta ac statuta, hiems et reliqua, quae naturales cum habeant mutationes, non habent ipsas inevitabiles et coactas.* — Quodsi idem scripsisset auctor libros *de anima* et commentarios in Meteorologica, non dubitasset eadem monere in interpretatione loci et afferre verba ex *Phys.* V, 6: ἆρα οὖν καὶ γενέσεις εἰσὶν ἔνιαι βίαιοι καὶ οὐχ εἱμαρμέναι, αἷς ἐναντίαι αἱ κατὰ φύσιν καὶ αὐξήσεις βίαιοι καὶ φθίσεις, quae *de anim l. l.* cum verbis ex *Meteor.* petitis componit. Itaque concludas, cum libri de anima omnium consensu ab Alexandro Aphrodisaeo conscripti sint, commentarios in Meteorologica ab alio quodam Alexandro profectos esse.

) Ald. τό. *) Ald. προσθέσεις μίξει.

†) Canin. legit ὥς φασιν vertens: *ut aiunt.*

[fol. 142, a]
σης ἑκάστης αὐτῶν ἐν τῇ τοιαύτῃ παραθέσει κατὰ τὴν περιγραφὴν τὴν οἰκείαν οὐσίαν τε καὶ ποιότητα ὡς ἐπὶ κυάμων φέρε εἰπεῖν καὶ πυρῶν ἐν τῇ παρ' ἀλλήλους θέσει γίνεσθαι· τὰς δέ τινας συγχύσει *) δι' ὅλων τῶν τε οὐσιῶν αὐτῶν καὶ ἐν αὐταῖς ποιοτήτων συμφθειρομένων ἀλλήλαις, ὡς γίνεσθαί φησιν ἐπὶ τῶν ἰατρικῶν φαρμάκων κατὰ σύμφθαρσιν τῶν μιγνυμένων, ἄλλου τινὸς ἐξ αὐτῶν γεννωμένου σώματος. τὰς δέ τινας γίνεσθαι μίξεις λέγει δι' ὅλων τινῶν οὐσιῶν τε καὶ τῶν τούτων ποιοτήτων ἀντιπαρεκτεινομένων ἀλλήλαις μετὰ τοῦ τὰς ἐξ ἀρχῆς οὐσίας τε καὶ ποιότητας σώζειν ἐν τῇ μίξει τῇ τοιᾷδε **). ἥν τινα τῶν μίξεων κρᾶσιν ἰδίως εἶναι λέγει. τὴν γὰρ δύο ***) ἢ καὶ πλειόνων τινῶν σωμάτων ὅλων δι' ὅλων ἀντιπαρέκτασιν ἀλλήλοις οὕτως, ὡς σώζειν ἕκαστον αὐτῶν ἐν τῇ μίξει τῇ τοιαύτῃ τήν τε οἰκείαν οὐσίαν καὶ τὰς ἐν αὐτῇ ποιότητας λέγει κρᾶσιν εἶναι μόνην τῶν μίξεων. εἶναι γὰρ ἴδιον τῶν κεκραμένων τὸ †) δύνασθαι χωρίζεσθαι πάλιν ἀπ' ἀλλήλων, ὃ μόνως γίνεσθαι τάττεται τῷ σώζειν ἐν τῇ μίξει τὰ κεκραμένα τὰς αὐτῶν φύσεις. τὸ δὲ ταύτας διαφορὰς εἶναι τῆς μίξεως πειρᾶται πιστοῦσθαι διὰ τῶν κοινῶν ἐννοιῶν, μάλιστα δὲ κριτήρια τῆς ἀληθείας φησὶν ἡμᾶς παρὰ τῆς φύσεως λαβόντας, ἄλλην γοῦν φαντασίαν ἔχειν ἡμᾶς καθ' ὁρμὴν συγκειμένων, καὶ ἄλλην τῶν συγκεχυμένων τε καὶ συνεφθαρμένων, καὶ ἄλλην τῶν κεκραμένων τε καὶ ἀλλήλους δι' ὅλων ἀντιπαρεκτεινομένων οὕτως, ὡς σώζειν ἕκαστον αὐτῶν τὴν οἰκείαν φύσιν. ἣν διαφορὰν φαντασιῶν οὐκ ἂν εἴχομεν, εἰ πάντα τὰ ὁπωσοῦν μιγνύμενα παρέκειτο ἀλλήλοις καθ' ὁρμήν. τὴν δὲ τοιαύτην ἀντιπαρέκτασιν τῶν κιρναμένων ὑπολαμβάνει γίνεσθαι χωρούντων δι' ἀλλήλων τῶν κιρναμένων σωμάτων, ως μηδὲν μόριον ἐν αὐτοῖς εἶναι μὴ μετέχον πάντων τῶν ἐν αὐτῷ τοιούτῳ μίγματι. οὐκέτι γὰρ ἄν, εἰ μὴ τοῦτο εἴη, κρᾶσιν, ἀλλὰ παράθεσιν τὸ γινόμενον εἶναι. τοῦ δὲ τοῦτο οἴεσθαι γίνεσθαι πίστεις φέρουσιν οἱ προϊστάμενοι τῆσδε τῆς δόξης τό τε πολλὰ τῶν σωμάτων σώζειν τὰς ἑαυτῶν ποιότητας ἐπί τ' ἐλαττόνων ἐναργῶν ὄγκων καὶ ἐπὶ μειζόνων ὄντα, ὡς ὁρᾶν ἐστιν ἐπὶ τοῦ λιβανωτοῦ, ὃς ἐν τῷ θυμιᾶσθαι λεπτυνόμενος ἐπὶ πλεῖστον τὴν

*) Ald. συγχύσεις. **) Ald. τοιάδε. ***) Ald. διό. †) Ald. τῷ.

[fol. 142, a]

αὐτοῦ φυλάσσει ποιότητα. ἔτι δὲ τὸ πολλὰ εἶναι, ἃ καθ' ἑαυτὰ μὴ οἷά τε ὄντα ἐπί τι ἐλθεῖν μέγεθος ὑπ' ἄλλων βοηθούμενα ἐπ' αὐτὸ πρόεισι. τὸν γοῦν χρυσὸν ὑπό τινων μιγνυμένων φαρμάκων ἐπὶ πλεῖστον χεῖσθαί τε καὶ λεπτύνεσθαι, ἐφ' ὅσον καθ' αὑτὸν ἐλαυνόμενος οὐκ ἐδύνατο. καὶ ἡμεῖς δέ, ἃ καθ' αὑτοὺς ὄντες οὐκ ἐσμὲν οἷοί τε ἐνεργεῖν, σὺν ἄλλοις ἐνεργοῦμεν. τούς τε γὰρ ποταμοὺς διαβαίνομεν, ἀλλήλων ἐφαπτόμενοι, οὓς οὐχ οἷοί τε ἐσμὲν διαβαίνειν καθ' αὑτούς. καὶ βάρη τινὰ φέρομεν μετ' ἄλλων, ὧν τὸ ἐπιβάλλον ἡμῖν μέρος μόνοι γινόμενοι φέρειν οὐ δυνάμεθα. καὶ ἄμπελοι καθ' αὑτὰς ἵστασθαι [b] μὴ δυνάμεναι ἀνίστανται ἐμπλεκόμεναι. ὧν οὕτως ἐχόντων οὐδέν, φασι θαυμαστὸν τὸ καὶ σώματά τινα βοηθούμενα ὑπ' ἀλλήλων οὕτως ἀλλήλοις ἑνοῦσθαι δι' ὅλων, ὡς αὐτὰ σωζόμενα μετὰ τῶν οἰκειῶν *) ποιοτήτων ἀντιπαρεκτείνεσθαι ἀλλήλοις δι' ὅλων ὅλα, κἂν ᾖ τινα ἐλάττω τὸν ὄγκον καὶ μὴ δυνάμενα καθ' αὑτὰ ἐπὶ τοσοῦτον χεῖσθαί τε καὶ σώζειν τὰς οἰκείας ποιότητας. οὕτω γὰρ καὶ τὸν κύαθον τοῦ οἴνου κιρνᾶσθαι τῷ ὕδατι τῷ πολλῷ βοηθούμενον ὑπ' αὐτοῦ εἰς τὴν ἐπὶ τοσοῦτον ἔκτασιν. τοῦ δὲ τοῦθ' οὕτως **) ἔχειν, ὡς ἐναργέσι χρῶνται μαρτυρίοις τῷ τε τὴν ψυχὴν ἰδίαν ὑπόστασιν ἔχουσαν, ὥσπερ καὶ τὸ δεχόμενον αὐτὴν σῶμα δι' ὅλου τοῦ σώματος διήκειν ἐν τῇ μίξει τῇ πρὸς αὐτὴν σώζουσαν τὴν οἰκείαν φύσιν. οὐδὲν γὰρ ψυχῆς ἄμοιρον τοῦ τὴν ψυχὴν ἔχοντος σώματος. ὁμοίως δὲ ἔχειν καὶ τὴν τῶν φυτῶν φύσιν. ἀλλὰ καὶ τὴν ἕξιν ἐν τοῖς συνεχομένοις ὑπὸ τῆς ἕξεως. ἀλλὰ καὶ τὸ πῦρ ὅλον δι' ὅλου χωρεῖν τοῦ σιδήρου λέγουσι, σώζοντος αὑτῶν ἑκατέρου τὴν οἰκείαν οὐσίαν. καὶ τῶν στοιχείων δέ φασι τῶν τεσσάρων τὰ δύο, τό, τε πῦρ καὶ τὸν ἀέρα, λεπτομερῆ τε καὶ κοῦφα καὶ εὔτονα ὄντα, διὰ τῶν δύο, γῆς τε καὶ ὕδατος, παχυμερῶν καὶ βαρέων καὶ ἀτόνων ὄντων διαπεφοιτηκέναι ὅλα δι' ὅλων, σώζοντα τὴν οἰκείαν φύσιν καὶ συνέχειαν αὐτά τε καὶ ἐκεῖνα. δηλητήριά τε τὰ φάρμακα ***) καὶ τὰς ὀσμάς, ὅσαι τοιαῦται, ἡγοῦνται κιρνᾶσθαι τοῖς ὑπ' αὐτῶν πάσχουσιν, ὅλα δι' ὅλων παρατιθέμενα. καὶ τὸ φῶς δὲ τῷ ἀέρι ὁ Χρύσιππος κιρνᾶσθαι

---

*) Ald. οἰκείων. **) Ald. τόσοθ' οὕτως.

***) Ald. φθείροντα inepte. Canin. *medicamina*.

[fol. 142, b]
λέγει. καὶ αὕτη μὲν ἡ περὶ κράσεως δόξα Χρυσίππου τε καὶ τῶν κατ᾽ αὐτὸν φιλοσοφούντων. θαυμάσαι δ᾽ ἄν τις αὐτῶν, πῶς ταῖς κοιναῖς ἐννοίαις δεῖν χρῆσθαι λέγοντες πρὸς τὰς τῶν τιθεμένων ἀποδείξεις, ὡς οὔσαις φυσικοῖς τῆς ἀληθείας κριτηρίοις, μᾶλλον *) ἢ τούτοις χρῶνται πρὸς τὰς θέσεις τῶν οἰκείων δογμάτων. τὰ γοῦν περὶ κράσεως ὑπ᾽ αὐτῶν λεγόμενα οὐ μόνον οὐ προσχρῆται ταῖς φυσικαῖς ἐννοίαις, ἀλλὰ καὶ πλεῖστον ὅσον ἄπαν δεῖ. τό τε γὰρ σῶμα διὰ σώματος χωρεῖν ὅλον ὅλῳ παρεκτεινόμενον οὐ μόνον προσπίπτει κατὰ τὰς κοινὰς ἐννοίας, ἀλλὰ καὶ ἀδύνατον εἶναι προείληπται. φυσικὴ γὰρ ἐννοία τὸ **) τὸ πλῆρες μηκέτ᾽ ἐν αὑτῷ δύνασθαι δέχεσθαί τι. μὴ γὰρ ἔτι πλῆρες εἶναι δύνασθαι τὸ χώραν ἔχον ἐν αὑτῷ δεκτικὴν ὁμοίου τινός, ὤφθησαν ἔχειν δεῖ. ἣν φυσικήν τε καὶ κοινὴν πρόληψιν ἤδη δοκεῖ τισιν εὔλογον εἶναι τὸ τῶν σωμάτων δεκτικόν, ὃν καλοῦμεν τόπον. πῶς γὰρ ἄν τις μὴ φωνὰς κενὰς βουλόμενος λέγειν ἐπινοήσαι σῶμά τι πλῆρες αὑτοῦ καὶ μηδὲν ἔχον ἐν αὑτῷ κενὸν διάστημα, δεχόμενον ἐν αὑτῷ ἄλλο σῶμα ὁμοίως πλῆρες αὑτοῦ; εἰ μὲν γὰρ διὰ πόρων τινῶν χωρεῖν αὐτὰ δι᾽ ἀλλήλων ἔχει, ἢ κενοὺς ἐρεῖ τοὺς πόρους τοὺς δεχομένους τὸ σῶμα, ἢ ἄλλα τινὰ ἐν τῷ σώματι κενά ***). εἰ δὲ πλῆρες ἄλλου τινὸς σώματος, εἰ μὲν ὑπεξιόντος τούτου καὶ παραχωροῦντος τῆς χώρας τῷ ἐπεισκρινομένῳ σώματι, οὐδ᾽ οὕτως ἔσται τὸ σῶμα, καθὸ σῶμα, δεχόμενόν τι σῶμα ἐν αὑτῷ, εἴτε ὑποχωρεῖ θάτερον θατέρῳ· εἰ δὲ ὑπομένοντος, πῶς οἷόν τε τοὺς πεπληρωμένους πόρους σώματος ἐν αὑτοῖς ἄλλο τι δέχεσθαι σῶμα; καὶ γὰρ διὰ τῆς αἰσθήσεως γνώριμον, ὅτι μηδὲ τὰ λεπτοτάτου σώματος ἀγγεῖα πεπληρωμένα οἷά τέ ἐστι δέξασθαι σῶμα ἐν αὑτοῖς τῷ κεκωλῦσθαι καὶ ἐπιπεφρᾶχθαι τὰς τῆς μεταστάσεως

---

*) Ante *μᾶλλον* procul dubio excidit *πᾶσι* sive *ἄλλοις* sc. *κριτηρίοις.*

**) Ald. *τῷ* et paulo ante *φυσικῇ γὰρ ἐνοίᾳ.* In sequentibus pro *ὤφθησαν ἔχειν δεῖ*, quod sensu caret, fortasse scribendum est *ὀφθαλμοῖς ἐστιν ἰδεῖν;* et ita legisse videtur latinus interpres, cum vertat: *oculis ipsis patet.*

***) Locum coniectura sanavimus. Aldus absque sensu post *σῶμα* maxima distinxit interpunctione et deinde exhibuit *ἀλλὰ τὰ ἐν τῷ σώματι κενά.* Nobiscum facit interpretatio Caninii.

[fol. 142, b]
αὐτῶν ὁδούς. ὅτι δεῖ *) διὰ πεπληρωμένων τῶν πόρων ἡ πάροδος τοῖς σώμασι, περιττόν ἐστι τὸ πόρους εἶναι λέγειν. δέχοιντο γὰρ ἂν ἄλλα σώματα καὶ χωρὶς τῶν πόρων. καθόλου γὰρ ἡ διὰ τῶν πόρων πάροδος οὐ κρᾶσίς ἐστιν, οἵαν ἀξιοῦσιν, ἀλλὰ παράθεσις, ὡς αὐτοὶ λέγουσι κατὰ ἀρχήν, εἰ μή τις πᾶν τὸ σῶμα πόρους ποιήσῃ. οὕτως γὰρ μόνως τὸ διὰ τῶν πόρων διερχόμενον διὰ παντὸς ἐρχόμενον τοῦ σώματος, εἰ πᾶν εἴη πόρος· ἀλλὰ μὴν ἄτοπον τοῦτο. τινὸς γὰρ ὁ πόρος (καὶ ἄλλο τὸ ἔχον καὶ τὸ ἐχόμενον), εἴγε ὁ πόρος διάστημά τί ἐστι κενὸν τοῦ ἔχοντος τοὺς πόρους τοῦ σώματος. ὥστ' εἰ πᾶν εἴη, οὕτως δ' ἂν οὐκ ἂν εἴη τι· μὴ ὂν δ' οὔτ' ἂν κιρνῷτο, ἔτι δ' οὐδ' ἂν πόρους. εἰ δ' οὕτω μὲν οὔ φασι τὰ σώματα ἄλληλα δέχεσθαι, καθὸ δὲ μεστά ἐστι αὐτὰ χωρεῖν δι' ἀλλήλων αὐτά φασιν, πρῶτον μὲν ἐπιζητητέον **), εἰ δήποτε οὐ τὸ τυχὸν σῶμα πάντῃ συναυξητικὸν ***) τοῦ ὁμοίου. τὰ γὰρ ποσά, τὰ κατὰ τὴν πρὸς ἄλληλα σύνθεσιν τὴν τοιαύτην, τὸ ἐξ αὐτῶν μεῖζον ἑκατέρου ποιεῖ τῶν συγκειμένων· γραμμαί τε γὰρ κατὰ στοιχεῖον ἀλλήλαις συντεθεῖσαι τὸ μῆκος αὔξουσιν. οὕτω γὰρ συντιθέμεναι ἐξ ἀνάγκης ἕξουσί τι παρὰ τὴν ἁφήν. ἐπίπεδά τε τὸ αὐτὸ ποιεῖ, ἂν κατὰ τὴν γράμμην συντεθῇ, τὸ σῶμα, τὸ τριχῇ τε καὶ πάντῃ διεστάναι. καθὸ ἐὰν ἄλλῳ ὁμοίως αὐτῷ διεστῶτι συντεθῇ, ἐξ ἀνάγκης συναύξει τοῦτο. εἰ δὴ τοῦτο μὲν οἰκεῖον τοῖς σώμασι καὶ ἴδιον αὐτῶν, οἱ δὲ λέγοντες σῶμά τι διὰ σώματος χωρεῖν καὶ ἔλαττόν ποτε καὶ ἴσον τὸ ἐξ ἀμφοῖν ποιεῖν, ἀναιρεῖ τοῦτο †), ἀναιροῖεν

---

*) Fortasse scribendum *καὶ ὅτε δίδοται διά* et q. s.

**) Ald. *ἐπιζητῆσαν*. Mox idem *τὸ τυχὸν σῶμα τὸ τυχόν*.

***) Lexicis addatur.

†) Verba *ἀναιρεῖ τοῦτο* quid sibi velint, equidem non intelligo. Caninius vertit: *illi vero, qui corpus aliquod per corpus penetrare asserunt et minus quandoque, aequale id, quod ex ambobus constat, reddere, hoc medio tollunt, iam dubio procul corporis naturam evertent.* Quam interpretationem non magis intelligi posse opinor, quam ipsa verba Alexandri. Mihi videntur verba *ἀναιρεῖ τοῦτο* prorsus superflua esse atque ita in textum venisse, ut scriba quidam aut in margine, aut inter lineas de verbo quodam bis aut inepte scripto notaret *ἀναίρει τοῦτο* (tolle hoc!); sicuti Vol. I, p. 178 monuimus, eodem modo *πλεονάζει* vocabulum in textum irrepsisse. Cfr. Vol. II, p. 574.

[fol. 142, b. 143]
ἂν τὴν τοῦ σώματος φύσιν. συναναιρεῖται γὰρ ἀναιρουμένῳ τῷ ἰδίῳ τινὸς τὸ πρᾶγμα, οὗ ἦν ἴδιον το ἀναιρούμενον. συμβήσεται δὲ κατ' αὐτοὺς καὶ κενὸν γίνεσθαι τὸν κατεχόμενον τέως τόπον ὑπὸ τοῦ οὕτως ἔν τινι γινομένου σώματος, ὡς μηδένα προσεπιλαμβάνειν ἄλλον τόπον τὸ σῶμα, ἐν ᾧ τοῦτο γίνεται, ἀλλ' ἀρκεῖσθαι τῷ καὶ πρὸ τῆς τούτου μίξεως ὑπ' ἐκείνου πεπληρωμένῳ. ὁ γὰρ ὑπ' αὐτοῦ κατεχόμενος τόπος κενὸς ἔσται τῶν δύο σωμάτων εἰς τὸν θατέρου χωρησάντων τόπον. τί γὰρ ἔσται τὸ ἐξ ἀνάγκης γινόμενον ἐν τῷ τοῦ εἰς τὸ σῶμα μεταστάντος τόπῳ; ὅσα δ' αὖ πάλιν ἐν τῇ πρὸς ἄλληλα μίξει τῶν κιρνᾶσθαι λεγομένων αὔξεται, αὐτόθεν ἤδη προσπίπτει τό, μὴ τὸ σῶμα εἶναι τὸ σῶμα δεδεγμένον *) ἐν αὐτῷ, εἴγε ἄλλην τινὰ χώραν προσείληφε καὶ οὐκ ἠρκέσθη τῇ [143] χώρᾳ τῇ τοῦ λεγομένου αὐτὸ ἐν αὐτῷ δέχεσθαι σώματος. ὅτι δὲ μὴ σῶμά ἐστι τὸ δεύτερον ἐν αὐτῷ τὸ πρῶτον δεχόμενον τὸ σῶμα, δηλοῖ καὶ ἡ γινομένη διαίρεσις ὑπ' ἀλλήλων τῶν κιρναμένων σωμάτων. τὰ γὰρ διαιροῦντα διΐστανται· διαιρούμενα δὲ χώραν ἑαυτοῖς παρασκευάζει, ὡς μὴ δυνάμενα διὰ συνεχοῦς καὶ ἀδιαιρέτου τοῦ ὑποκειμένου σώματος εἴς τι **) προσελθεῖν. καθόλου δὲ ἔδει ***) μὲν τὸ δεχόμενον σῶμα ἐν αὐτῷ ἄλλο σῶμα, μηδέν τι μεῖζον γίνεσθαι· τοῦτο γάρ ἐστι τὸ δέξασθαι ἐν αὐτῷ τι. ἐπὶ μηδενός τινος σώματος ἡ μῖξις τῶν σωμάτων ἶσον τηρεῖ τὸν ὄγκον ἑνὶ τῶν μιγνυμένων. ἐφ' ὧν γὰρ ἶσον δοκεῖ μένειν, ἐπ' ἐκείνων οὐ σώματος μῖξίς ἐστι, ἀλλ' ἢ εἶδός ἐστι καὶ ὕλη τὰ λαμβανόμενα, ὡς ἡ ψυχὴ καὶ τὸ σῶμα, ἢ σῶμα καὶ πάθος, ὡς ὁ σίδηρος καὶ ἡ θερμότης, ἢ μεταβολή τινος γίνεται, οἷόν ἐστιν ἄλλο, ὡς ἐπὶ τῆς τέφρας. οὔτε δὲ τὰ πάθη, οὔτε τὰ εἴδη σώματα. οὐδ' ἂν ἄλλο σῶμα ἐν αὐτῷ δέχοιτο. καὶ γὰρ εἰ οἷά τε εἴη τὰ σώματα ἄλληλα δέχεσθαι, οὐδ' ἄν τι †) ἀντιπεριστάσεως ἔτι δέοι πρὸς τὴν κίνησιν αὐτοῖς· οὐ γὰρ δὴ χωρὶς κινήσεως σῶμα δίεισι διὰ σώματος. πρὸς δὲ τούτοις, πῶς οὐκ ἄλογον καὶ τὸ λέγειν μὲν βραχύτατον σῶμα παρισοῦσθαί τε καὶ παρεκτείνεσθαι τῷ

---

*) Ald. δεδεγμένου. **) Ald. εἰς τό.

***) Ald. εἰ ἔδει, quod neque Caninius legit.

†) Ald. τις.

[fol. 143, a]
μεγίστῳ; ὡς τὸν κύαθον τοῦ οἴνου πολλοῖς ὕδατος μέτροις ἴσον γινόμενον κατὰ μέγεθος [αὐτῷ] *); οὕτος δ' ὃν ἄτοπον τὸ πειρᾶσθαι κατασκευάζειν διὰ τοῦ τὸν λιβανωτὸν καὶ τὰ ἄλλα τὰ θυμιώμενα ἐν τῇ θυμιάσει ἐπὶ πλεῖον ὁρᾶσθαι καιόμενα. ὁ μὲν γὰρ λιβανωτὸς καὶ τὰ ὁμοίως τούτῳ θυμιώμενα καὶ εἰς ἄλλο τι σῶμα μεταβαλόντα λεπτότερον, οὕτως τὴν ἐπὶ πλέον δέχεται χύσιν· τὰ δὲ κιρνάμενά τε καὶ μιγνύμενα καὶ κατ' αὐτοὺς σώζοντα τὴν οἰκείαν φύσιν κιρνᾶται, ὡς χωρισθῆναι δύνασθαι πάλιν. ὥστε οὐδὲν αὐτοῖς εἰς παραμυθίαν τῶν ἑπομένων ἀτόπων τοῖς κενῶς λεγομένοις ἡ τούτων συντελεῖ παράθεσις· τὸ δὲ οὖν σῶμα διὰ σώματος χωρεῖν **), ᾧ χρῶνται πρὸς τὴν τῆς κράσεως ἀπόδοσιν, ψεῦδός τε καὶ παρὰ τὰς κοινὰς προλήψεις καὶ τὰ φυσικὰ κατ' αὐτοὺς τῆς ἀληθείας κριτήρια. καὶ πολὺ μᾶλλον ἔτι τούτου τοιοῦτον, τὸ σώματά τινα λέγειν, δύο ἢ καὶ πλείω, δύνασθαι πάντῃ παρεκτεινόμενα αὐτοῖς καὶ μιγνύμενα δι' ὅλων αὐτά τε σώζεσθαι τὰ ἐξ ἀρχῆς μένοντα, καὶ σώζειν τὰς οἰκείας ποιότητας. τοῦτο γὰρ ἡ κρᾶσις αὐτοῖς τῆς συγχύσεως διαφέρει, ὅτι ἐπὶ μὲν τῆς συγχύσεως ἕν τι τὸ ἐκ τῶν συγχεομένων γίνεται, μηδενὸς τῶν ἐν αὐτῇ συγχύσει μήτε κατὰ τὴν οὐσίαν σωζομένου, μήτε κατὰ τὰς ποιότητας, ἐπὶ δὲ τῆς κράσεως ἑκάτερον τῶν ἐν τῷ κεκραμένῳ σωμάτων ἔτι σώζεται καὶ κατὰ τὸ ὑποκείμενον καὶ κατὰ τὰς ποιότητας, καίτοι δι' ὅλων ἀλλήλοις κεκραμένων τῶν σωμάτων. ἃ λέγουσι μὲν βουλόμενοι σώζειν τὸ δύνασθαι καὶ τὰ κεκραμένα χωρίζεσθαι πάλιν ἀλλήλων. ἀδυνάτου δ' ὄντος τοῦ λεγομένου, ἀδύνατον ἂν εἴη κατ' αὐτοὺς ἢ τὸ τὴν κρᾶσιν διὰ πάντων εἶναι, ἢ τὸ δύνασθαι χωρίζεσθαι τὰ κεκραμένα. εἰ μὲν γὰρ ὅλα δι' ὅλων τὰ κεκραμένα μέμικται καὶ μὴ ἕτερον αὐτῶν ἐν τῷ μίγματι ἄμικτον θατέρου ἔχει ***) μόριον, ἀδύνατον αὐτῶν ἑκάτερον ὑπὸ ἰδίας ἐπιφανείας περιέχεσθαι· πᾶν γὰρ μόριον αὐτῶν, τὸ ὑπὸ οἰκείας ἐπιφανείας περιεχόμενον, ἄμικτον ἔσται θατέρου.

---

*) αὐτῷ, natum fortasse ex sequenti οὕτως, sensu cassum est. Neque Caninius id in suo reperisse videtur codice. In sequentibus scribendum videtur οὕτως δ' ἂν ἄτοπον.

**) Ald. χαίρειν et paulo ante τότε οὖν σῶμα.

***) Ald. ἔχειν.

[fol. 143, a]

οὐ γὰρ οἷόν τε τὴν τοῦ οἴνου ἐπιφανείαν ὕδατος εἶναι, ἢ τὴν τοῦ ὕδατος οἴνου. ὡς δ' οὕτως, οὐκ ἔσται δι' ὅλων μῖξις ἢ κρᾶσις, ἀλλ' εἶεν ἂν παράθεσιν τὴν κρᾶσιν μορίων μορίοις λέγοντες· οἱ φυλασσόμενοι ἄλλο φασὶ μῖξιν καὶ ἄλλο κρᾶσιν εἶναι. εἰ δὲ μηδὲν μόριον κατ' οἰκείαν περιγραφὴν καὶ ἐπιφανείαν εἴη τῶν μεμιγμένων, ἀλλ' εἴη πᾶν ὁμοιομερὲς γεγονὸς τὸ σῶμα, οὐκέτι μὲν ἂν εἴη παράθεσις, ἀλλὰ δι' ὅλων κρᾶσις· οὐ μὴν ἔτι σώζοιτο ἂν τὰ ἐξ ἀρχῆς σώματα τῶν μεμιγμένων, ἀλλ' εἴη ἂν συγκεχυμένα τε καὶ συνεφθαρμένα. εἰ δὴ ἔδει τὰ χωρισθησόμενα σώζεσθαι καὶ μὴ συγκεχύσθαι (τοῦτο γὰρ ἡ κρᾶσις κατ' αὐτοὺς τῆς συγχύσεως διαφέρει), ἀναγκαῖον δὲ τοῖς δι' ὅλων μεμιγμένοις συγκεχύσθαι, ἀδύνατον δὴ *) τὰ δι' ὅλων μεμιγμένα κατ' αὐτοὺς χωρίζεσθαι δύνασθαι. ἔτι δέ, εἰ ἀνάγκη μὲν τὰ κεκραμένα δι' ὅλων μεμῖχθαι, τὰ δὲ δι' ὅλων μεμιγμένα ἀδύνατον μὴ συγκεχύσθαι, τὰ δὲ συγκεχυμένα τε καὶ συνεφθαρμένα οὐχ οἷόν τε αὐτὰ σώζεσθαι, οὐδ' ἂν ἕξεις σώζοιντο αὐτῶν, εἴ γε ἕν μέν τι τὸ γεγονὸς ἐκ τῶν συγκεχυμένων καὶ συνεφθαρμένων. ἀνάγκη δὲ τὸ ἓν σῶμα ὑπὸ μιᾶς, ὥς φασιν, ἕξεως συνελέσθαι, ὥστε κατὰ τοῦτο ἂν ἀχώριστα ἀλλήλων εἴη τὰ κεκραμένα κατ' αὐτούς. εἰ δὲ κατὰ μὲν λεγόμενα ὑπ' αὐτῶν ἀχώριστα ἀλλήλων ἀναγκαῖον εἶναι τὰ κεκραμένα (εἰ γὰρ μὴ οἷόν τε τὴν δι' ὅλων κρᾶσιν γενέσθαι χωρὶς συμφθάρσεως), ἀχώριστα δέ φασιν εἶναι τὰ συνεφθαρμένα (ὁρῶμεν δὲ ἐπ' ἐνίων χωριζόμενα), δῆλον, ὡς οὐκ ἂν ἡ κρᾶσις γένοιτο κατὰ τὸν ὑπ' αὐτῶν εἰρημένον τρόπον. πρὸς δὲ τούτοις, εἰ **) διαιρούντων ἄλληλα τῶν κιρναμένων ἡ κρᾶσις γίνοιτο (διὰ τοῦτο γὰρ ἐν τοῖς ὑγροῖς ἡ κρᾶσις μάλιστα, ὅτι ἐστὶν εὐδιαίρετα ταῦτα καὶ ῥᾳδίως θάτερον θατέρου δίεισι διαιροῦν, αὐτὸς ὡς ὁρᾶται καὶ ὁ οἶνος ὁ εἰς τὸ ὕδωρ ἐπιχεόμενος, κιρνάμενος αὐτῷ), εἰ μὲν οὖν διαιροῦντα ***) ἄλληλα ἀδιαίρετα ἀλλήλων καταλείπει τινὰ μέρη, οὐκέτ' ἂν εἴη ἐκεῖνα τὰ μέρη κεκραμένα. ἀμιγῆ γὰρ καὶ ἄμικτα ἀναγκαῖον εἶναι τὰ μὴ διῃρημένα μέρη, εἴγε ἡ κρᾶσις καὶ ἡ κατ' αὐτὴν μῖξις

---

*) Ald. δέ. **) Ald. ᾗ.

***) Ald. διαιροῦν τὰ ἄλληλα. et mox pro ἀδιαίρετα contrarium διαιρετά.

[fol. 143, b]
κατὰ τὴν διαίρεσιν γίνεται καὶ ταύτην ὅρον ἔχει. οὕτω τε πάλιν γίνοιτο ἂν ἡ κρᾶσις γινομένη παραθέσει, ἀλλ᾽ οὐχ ὅλων ἀλλήλων [b] δι᾽ ὅλου τῶν κεκραμένων διηκόντων. εἰ δὲ μηδὲν ἀδιαίρετον ἀλλήλων ἐν τῇ κράσει καταλελοίπασιν, εἴη ἂν πάντη διῃρημένα καὶ οὐκ εἰς μέρη, ἀλλ᾽ εἰς διαιρέσεις *), εἴγε μηδὲν αὐτῶν μόριον περὶ τὴν διαίρεσιν καταλέλειπται. καὶ ἔτι εἰ ἕκαστον, εἰς ἃ διαιρεῖται ἕκαστον, ἐκ τούτων συντιθεμένων πάλιν γίνεται, εἴη ἂν τὰ οὕτως διῃρημένα ἐκ διαιρέσεων, οὐκ ἐκ μερῶν οὐδὲ ἐκ σωμάτων συγκειμένα. ἡ γὰρ διαίρεσις οὐ σῶμα, ἀλλὰ πάθος σώματος. ἕπεται δὲ τοῖς λέγουσιν ἐπ᾽ ἄπειρον τὴν τομὴν καὶ τὸ **) ἀδύνατον λέγειν πάντη διαιρεῖσθαί τι σῶμα ἐνεργείᾳ· οὕτως δὲ καὶ ***) μίγνυσθαι δι᾽ ὅλων, τὸ εἰς ἄπειρα ἐνεργείᾳ διαιρεῖσθαι τὰ σώματα. εἰ μὲν γὰρ λέγουσιν ἐπ᾽ ἄπειρον εἶναι διαιρετὰ τὰ σώματα τῷ μηδέποτε ἐπιλείπειν τὴν τομήν, ἀλλ᾽ ἀεὶ ἐκ τῶν τεμνομένων περιλείπεσθαί τι τέμνεσθαι δυνάμενον, οὐχ οἷόν τε ἔσται σώματι παντὶ διαιρεῖσθαι ὡς μηκέτι ὑπολείπεσθαί τι ἐξ αὐτοῦ τομὴν ἀναδέξασθαι δυνάμενον. εἰ δὲ τοῦτο, οὐδέποτε ἂν εἴη τὰ κιρνάμενα δι᾽ ὅλων κεκραμένα. εἰ δὲ κίρνανται μὲν ἀλλήλοις, καὶ παρεκτείνονται διαιροῦντα ἄλληλα †), ὡς μὴ ὑπολείπεσθαί τινα αὐτῶν μέρη μὴ διῃρημένα. κατὰ γὰρ τὰ μὴ διῃρημένα οὐδέπω ἂν ἀλλήλοις εἴη κεκραμένα ††). εἰ δὲ λέγοιεν ἐπ᾽ ἄπειρον εἶναι τὰ σώματα διαιρετά, τῷ εἰς ἄπειρον δύνασθαι διαιρεῖσθαι τὸ πᾶν διῃρημένον σῶμα, κατ᾽ αὐτοὺς εἴη ἂν εἰς ἄπειρα ἐνεργείᾳ διῃρημένα τὰ κεκραμένα ἀλλήλοις. εἰ γὰρ πάντη κέκραται, πάντη διῄρηται. πάντη δὲ διῃρημένα .... †††). καὶ εἰ μὲν τὰ εἰς ἃ διῄρηται μεγέθη καὶ αὐτά, εἴη

---

*) Ald. ante *εἴγε μηδέν* et q. s. exhibet verba *ἡ μηγεγοννῖα* (sic!), quorum apud Caninium vestigium nullum deprehenditur.

) Ald. *τὸ ἢ ἀδύνατον.* *) Sc. *ἕπεται τοῖς λέγουσιν.*

†) Ald. addit *διῃρηκέναι*, quod quid sibi velit, non intelligo; neque apud Caninium legitur.

††) Canin. addit, verborum et enuntiationum ordine non interrupto: Deest forte aliquid, quasi haec verba ad ipsum contextum pertinerent. At re vera lacuna in textu est.

†††) Lacunae nullum apud Ald. indicium reperitur. Canin. locum integrum ante oculos habuisse videtur, cum vertat: *Undique autem divisa iam dividi amplius non poterunt, infinita ergo actu erunt.*

[fol. 143, b]

ἂν ἕκαστον τῶν οὕτως μιγνυμένων ἄπειρον. τὸ γὰρ ἐξ ἀπείρων *) μέγεθός τι καὶ διάστασιν ἐχόντων συγκείμενον, ἄπειρον. γίνεται γὰρ ἑκάτερον τῶν κεκραμένων ἐξ ἄπειρον **) μέγεθός τι ἐχόντων, εἴγε εἰς ἃ τέμνεταί τι καὶ συγκεῖσθαι αὐτὸ ἐκ τούτων ἀναγκαῖον. συμβαίνοιτ' ἂν οὕτω καὶ πλείω ἂν εἶναι σώματα ἄλλα ἄπειρα. εἰ δὲ μὴ μεγέθη τὰ ὑπολειπόμενα εἰς ἃ ἡ τομὴ τῶν πάντη διῃρημένων (οὐ γὰρ δὴ ἐλάχιστά τινα ἐροῦσιν εἶναι καὶ ἀδιαίρετα σώματα), εἴη ἂν αὐτοῖς τὸ μέγεθος οὐκ ἐκ μεγέθων συγκείμενον, ᾧ ἕπεται τὸ καὶ τῆς γραμμῆς μέρη λέγειν τὰ σημεῖα. πῶς δὲ σωζόντων ἐστὶ τὴν περὶ κράσεως κοινὴν πρόληψιν τὸ λέγειν καὶ τὴν ἕξιν τοῖς ἔχουσιν αὐτὴν μεμῖχθαι, καὶ τὴν φύσιν τοῖς φυτοῖς καὶ τὸ φῶς τῷ ἀέρι καὶ τὴν ψυχὴν τῷ σώματι, εἴγε κιρνᾶσθαι μὲν προείληπται κατ' ἰδίαν πρὸ τῆς κράσεως ὑφεστάναι δυνάμενα; διὰ τοῦτο γοῦν καὶ αὐτοί φασι τὰ κεκραμένα χωρίζεσθαι πάλιν δύνασθαι. καὶ ταύτῃ διαφέρειν κρᾶσιν συγχύσεώς τε καὶ φθάρσεως. οὔτε ἕξις τις χωρὶς τοῦ ἔχοντος αὐτήν, ὡς καθ' αὑτὴν εἶναι δύναται ***), οὔτε ἡ τῶν φυτῶν φύσις χωρὶς φυτῶν ὑποσταίη ποτ' ἄν. τό τε φῶς τῶς οἷόν τε ἐπινοῆσαι κεχωρισμένον τῶν διαφανῶν σωμάτων; ἀλλ' οὐδ' ἡ ψυχὴ τοιοῦτο, ὡς οἷόν τε †)· εἴγε εἶδος ἔνυλον οὐχ οἷόν τε χωρὶς ὕλης τε καὶ σώματος. ἀλλ' οὐδὲ τὸ πῦρ τῷ σιδήρῳ, καθά φησι, μίγνυται, ὥσπερ οὐδὲ τοῖς χυμοῖς οὐδὲ τοῖς ξύλοις. ὅλως γὰρ ἄτοπον τὴν ὕλην τῷ εἴδει μίγνυσθαι λέγειν. ὕλη δὲ πυρὸς τὰ καιόμενά τε καὶ πεπυρωμένα πάντα, ἀλλ' ἡ μὲν ἄφθαρτος, ἡ δ' οὔ. διὸ καὶ μέχρι πολλοῦ σβεννύμενά τινα ταὐτὸ εἶδος τῷ ἐξ ἀρχῆς δύναται φυλάττειν, οὐ μὴν ἀμείωτα ††) πάντῃ· καὶ γὰρ τούτων ὑπὸ τοῦ πυρὸς ἀναλίσκεταί τι καὶ φθείρεται. διὸ καὶ ταῦτα χρονίζοντα ἐν αὐτῷ πλεῖον ἀπόλλυταί τε καὶ τοῦ οἰκείου εἴδους ἐξίσταται. Πῶς δ' οὐκ ἄτοπον τὸ λέγειν ἡνῶσθαι τὴν σύμπασαν οὐσίαν πνεύματός τινος διὰ πάσης αὐτῆς διήκοντος, ὑφ' οὗ συνέχεταί τε καὶ συμμένει τὸ πᾶν καὶ συμπαθές ἐστιν αὑτῷ; τὴν γὰρ κυριωτάτην αἰτίαν τῆς τοῦ παντὸς ἑνώσεως οὐκ εἰδότες (αὕτη †††) δ' ἐστὶν ἡ τοῦ

*) Canin. legit ἄπειρον, quod verum videtur.

) Ald. ἀπείρον. *) Ald. δύνασθαι. †) Sc. χωρίζεσθαι.

††) Ald. ἀμείω τὰ πάντῃ. †††) Ald. αὐτή.

[fol. 143, b]
*θείου τε καὶ κυκλοφορητικοῦ καὶ αἰθερίου σώματος φύσις, ἥτις περιέχουσα πᾶσαν τὴν ἔνυλόν τε καὶ παθητὴν καὶ μεταβλητὴν οὐσίαν τῇ συνεχεῖ τε καὶ διηνεκεῖ κινήσει καὶ ἄλλο τε ἀλλοίᾳ σχέσει πρὸς αὐτὰς τὰς εἰς ἄλληλα τῶν ἐν γένεσι σωμάτων μεταβολὰς ἐν ὡρισμένῃ τάξει ποιουμένη συνέχει καὶ σώζει τὸ πᾶν ταύτην) μήτ᾽ ἰδόντες ἑαυτοῖς, μήτε τοῖς ἰδοῦσιν ἀκολουθῆσαι δυνηθέντες, διὰ τὸ ὑπὸ πολλῶν τινων δοξῶν προειλῆφθαι δεσμοῖς τισι καὶ ..... αἰτίαις καί τινι πνεύματι διὰ πάσης τῆς οὐσίας διήκοντι, ἀντιθέασιν αὐτοῦ τὴν ἕνωσιν. ἥτις δόξα, πρὸς τὸ κεχρῆσθαι τῷ ψευδεῖ, σῶμά τι *) διὰ σώματος διήκειν, καὶ διὰ τῶν ἄλλων, ὅτι ἐστὶ ψευδής, ἤδη ἐλέγχεται· φανερῶς γὰρ ἔνια τῶν σωμάτων οὐχ οἷά τε ἐνεργείᾳ τινὶ ἔχειν πνεῦμα ἐν αὐτοῖς· τὸ γοῦν ὕδωρ τοσοῦτον ἀποδεῖ τοῦ ἔχειν διὰ παντὸς αὐτοῦ μεμιγμένον **) πνεῦμά τι, ὡς μηδ᾽ ἂν τὸ τυχὸν ἐν αὐτῷ γένηταί ποτε ***), ἢ ἀποπνιγέντος ἐν αὐτῷ ζῴου τινὸς τῶν ἀναπνευστικῶν, ἢ καὶ δι᾽ ἄλλην αἰτίαν τινὰ γενομένου, μηδ᾽ ἐπ᾽ ὀλίγον ἐν αὐτῷ δύνασθαι μένειν, ἀλλὰ παραχρῆμα μετὰ βίας ἀναφέρεσθαί τε καὶ ἐκκρίνεσθαι, κἂν ἐν βυθῷ γενόμενον τύχῃ. τούτου δ᾽ οὕτως ἔχοντος, πῶς ἂν ἔτι ἀληθὲς εἴη τὸ πᾶν ἡνῶσθαί τε καὶ συνέχεσθαι, πνεύματός τινος διὰ παντὸς διήκοντος αὐτοῦ; ἔπειτα δ᾽ εὔλογον μὲν ἦν, ὁποίαν τὴν ἀπὸ τοῦ πνεύματος συνοχὴν γενομένην ἐν πᾶσιν εἶναι τοῖς σώμασιν. οὐχ οὕτως δ᾽ ἔχει. τῶν γὰρ σωμάτων τὰ μέν ἐστι συνεχῆ, τὰ δὲ διωρισμένα. διὸ εὐλογώτερον, ἕκαστον αὐτῶν ὑπὸ τοῦ οἰκείου εἴδους συνέχεσθαί τε καὶ ἡνῶσθαι λέγειν πρὸς ἑαυτό, καθό ἐστιν αὐτῶν ἑκάστῳ τὸ εἶναι, τὴν συμπάθειαν αὐτῶν σώζεσθαι τῇ πρὸς ἄλληλα, διά τε τῆς ὕλης κοινωνίαν καὶ τὴν τοῦ περικειμένου θείου σώματος αὐτῷ φύσιν, ἢ τῷ διὰ πνεύματος, ὑφ᾽ οὗ [144] συνδυόμενα †) τήν τε συνέχειαν ἔχει τὴν πρὸς τὰ οἰκεῖα μέρη καὶ συνῆπται τοῖς παρακειμένοις. βιαζόμενον μὲν γὰρ ὑπό τινος τὸ πνεῦμα, διὰ τὴν πρὸς τοῦτο εὐφυΐαν, τῷ μηδεμίαν ἀντίβασιν ἔχειν, τῷ κινοῦντι δ᾽ εὐπάθειαν δύνασθαι, ὑπὸ τῆς ἀθρόας κινήσεως ἰσχύν τινα λαμβάνει. ἀπαθὲς δὲ ὂν*

---

*) Ald. *σώματι.* **) Ald. *μεμιγμένου.*

***) Ald. *γένηται τότε.* †) Ald. *συνδούμενα.*

[fol. 144, a]
κατὰ τὴν οἰκείαν φύσιν. ὑγρὸν δ' ἐστὶ καὶ εὐδιαίρετον, ὥς καὶ τῶν ἄλλων, ἐν οἷς ἂν ᾖ τοῦτο μεμιγμένον, κατὰ τοῦτο μάλιστά τε καὶ ἀρεστὴν γίνεσθαι τὴν διαίρεσιν. διὰ τοῦτο γοῦν οἱ μὲν κενόν τι αὐτὸ ᾠήθησαν εἶναι καὶ φύσιν τινὰ ἀναφῆ, οἱ δὲ πολλὰ ἔχειν ἐν αὐτῷ κενά. καὶ γὰρ εἰ τοῦ μὴ διαπίπτειν, ἀλλὰ συμμένειν τὰ σώματα, αἴτιον τὸ συνέχον αὐτὰ πνεῦμα, τὰ διαπίπτοντα τῶν σωμάτων δῆλον ὡς οὐκ ἂν ἔχοιτο πνεῦμα τὸ συνδέον. πῶς δ' ἂν τὴν ἀρχὴν ἡ διαίρεσις σώζοιτο τῶν σωμάτων, εἴγε ἡ μὲν διαίρεσις χωρισμός ἐστι τῶν ἡνωμένων, μένει δέ, κατ' αὐτούς, τῶν ἡνωμένων ὁμοίως ἀλλήλοις πάντα, κἂν διαιρεθῇ; πῶς δ' οὐκ ἂν πάντα φαίνοιτο τὰ παρακείμενα ἀλλήλοις καὶ ῥαδίως χωρίζεσθαι δυνάμενα ὑπ' αὐτοῦ καὶ ὁμοίως ἀλλήλοις ἡνῶσθαι *), τοῖς συνεχέσι τε οὖσι καὶ χωρὶς διαιρέσεως μὴ δυναμένοις τινὸς ἀλλήλοις χωρισθῆναί ποτε; πρὸς δὲ τούτοις, εἰ τὸ πνεῦμα γεγονὸς ἐκ πυρός τε καὶ ἀέρος διὰ πάντων πεφοίτηκε τῶν σωμάτων τῷ **) πᾶσιν αὐτοῖς κεκρᾶσθαι καὶ ἑκάστῳ αὐτῶν ἐκ τούτου ἠρτῆσθαι τὸ εἶναι, πῶς ἂν ἔτι ἁπλοῦν τι εἴη σῶμα; πῶς δ' ἄν, εἰ ὕστερον τὸ ἔκ τινων συγκείμενον τῶν ἁπλῶν, τὸ πῦρ ἂν καὶ ὁ ἀὴρ εἴη, ἐξ ὧν μιγνυμένων τὸ πνεῦμα γίνεται, οὗ χωρὶς ἀδύνατον εἶναί τι σῶμα; εἰ γὰρ ἐξ ἐκείνων μὲν ἡ γένεσις τῷ πνεύματι, ἀδύνατον δὲ ἐκείνων εἶναί τι χωρὶς πνεύματος, οὔτ' ἂν ἐκείνων τι εἴη πρὸ τῆς πνεύματος γενέσεως, οὔτ' αὐτὸ πνεῦμα γίνοιτο, οὐκ ὄντων, ἐξ ὧν ἡ γένεσις αὐτῷ. πῶς δ' ἄν τις ἐν τῷ ψυχρῷ ἐνεργείᾳ τι θερμὸν εἶναι λέγοι; τίς δὲ καὶ εἰς τὸν ἐναντίον ἅμα κίνησις αὐτοῖς; οὐ καθ' ἣν συνέχει ***) τὰ ἐν οἷς ἂν ᾖ, ὧν, ὥς φασι, πνεύματος κινουμένου †) ἅμα ἐξ αὐτοῦ τε καὶ εἰς αὐτὸ καὶ κατά τι εἶδος κινήσεως λέγεται. κατ' οὐδὲν γὰρ οἷόν τ' ἐστὶ νοῆσαί τι ἅμα εἰς τὰ ἐναντία κινούμενον καθ' αὑτό. ἀλλὰ γὰρ ἐοίκασιν, ὥς εἶπον οἱ οὕτω λέγοντες τῷ μὴ δυνηθῆναι διαλαλεῖν τῷ λόγῳ τῆς ὕλης τὸ εἶδος, καθὸ εἶδος ἕκαστόν τ' ἐστὶ τῶν ὄντων, ὅ ἐστι, καὶ πρὸς τἆλλα διαφορὰν ἔχειν κατὰ τὴν ὕλην, οὐδὲν ἀλλήλων

---

*) Ald. post ἡνῶσθαι addit λέγειν.

) τῷ de meo addidi. *) Ald. συνέχειν.

†) Ald. πνεῦμα κινουμένου. Mox pro κινήσεως mallem κίνησις.

[fol. 144, a]

διαφέροντα, καθὸ εἶδος ἔχει, καὶ τῷ σώζεσθαί τε καὶ μένειν ταῦτα, ἅ ἐστι, πνεύματι ὡς διὰ πάντων διήκοντι, ἀνάπτειν τό τε εἶναι ἑκάστου καὶ τὸ σώζεσθαι καὶ συμμένειν. αἰτιάσαι *) δ' ἄν τις αὐτῶν, ἐνθάδε τοῦ λόγου γενόμενος, καὶ τὸ δύο ἀρχὰς τῶν πάντων λέγοντας εἶναι ὕλην τε καὶ θεόν, ὧν τὸν μὲν ποιοῦν εἶναι, τὴν δὲ πάσχουσαν, μεμῖχθαι τῇ ὕλῃ λέγουσι **) τὸν θεόν, διὰ πάσης αὐτῆς διήκοντα καὶ σχηματίζοντα αὐτήν, καὶ μορφοῦντα καὶ κοσμοποιοῦντα τούτῳ τῷ τρόπῳ. εἰ γὰρ θεός, κατ' αὐτούς, σῶμα, πνεῦμα ὢν νοερόν τε καὶ ἀΐδιον, καὶ ἡ ὕλη δὲ σῶμα, πρῶτον μὲν ἔσται πάλιν διῆκον σῶμα διὰ σώματος, ἔπειτα τὸ πνεῦμα τοῦτο, ἤτοι τι τῶν τεσσάρων τῶν ἁπλῶν ἔσται σωμάτων, ἃ καὶ στοιχεῖά φασιν, ἢ ἐκ τούτων σύγκριμα. ὥσπερ καὶ αὐτοὶ λέγουσιν (καὶ γὰρ ἀέρος καὶ πυρὸς ὑφίστανται τὴν οὐσίαν ἔχειν τὸ πνεῦμα), ἢ ἄλλο τι εἴη, ἔσται τὸ θεῖον αὐτοῖς σῶμα πέμπτη τις οὐσία, χωρὶς ἀποδείξεώς τινος καὶ παραμυθίας λεγομένης τοῖς ***) πρὸς τὸν μετὰ τῶν οἰκείων τιθέμενον τοῦτο ἀντιλέγουσιν, ὡς λέγοντα †) παράδοξα. εἰ δὲ ἢ τῶν τεσσάρων τι εἴη, ἤ τι ἐξ ἐκείνων σύγκριμα ἔσται, τὸ ἐκ τῆς ὕλης γεννώμενον σῶμα, πρὸ τοῦ γενέσθαι, περφοιτηκὼς δι' αὐτῆς ††) καὶ τέκνων ἐξ ἐκείνης ὁμοίως τοῖς ἄλλοις καὶ ἑαυτῷ. ἔτι δὲ ὕστερον ἂν ὁ θεὸς τῆς ὕλης εἴη, εἴγε πᾶν μὲν τὸ ἔνυλον σῶμα τῆς ὕλης ὕστερον. τὸ γὰρ ἐκ τῆς ἀρχῆς ὕστερον. ὁ δὲ θεὸς τοιοῦτο σῶμα. οὐ γὰρ δὴ τῇ ὕλῃ ὁ αὐτός. τοιοῦτος δὲ ὤν, εἴη ἂν μέχρι φωνῆσαι δύο αὐτοῖς μόνοις †††). εἰ γὰρ γέγονε (γέγονε δὲ ἐκ τῆς ὕλης), εἴτε τι τῶν ἁπλῶν ἐστι σωμάτων, εἴτε ἐκ τούτων σύγκριμα· πρὸς δὲ τούτοις ἐπιζητήσαι *†) τις ἄν, εἰ τῶν ἐκ τῆς ὕλης γενομένων οἷόν τε δημιουργὸν λέγειν τὸν διαπεφοιτηκότα τῆς ὕλης καὶ ὄντα ἐν αὐτῇ θεόν. φέρουσι μὲν γὰρ εἰς τὴν κατασκευὴν τοῦδε τὸ μὴ ὁμοίως τοῖς φύσει γινομένοις γίνεσθαι τὰς κατὰ τέχνας· τὰ μὲν γὰρ ὑπὸ τῆς φύσεως ἀποτελέσματα, οὐκ ἐπιφανείᾳ **†), ἀλλὰ δι' ὅλων εἰδοποιεῖταί τε

---

*) Ald. αἰτιᾶσαι. **) Ald. λέγει. ***) Ald. τῆς.
†) Ald. λέγοντι. ††) Ald. πεφοιτηκώς τι αὐτῆς.
†††) Ald. μόνης. *†) Ald. ἐπιζητῆσαι τίς.
**†) Ald. inepte ἐπὶ πολλῆς. Etiam Canin. vertit: *non in superficie.*

[fol. 144, a]
καὶ διαπλάττεται, καὶ τὰ ἔνδον αὐτῶν γλαφυρώτατα πεφιλοτέχνηται. τὰ δὲ τῶν τεχνῶν διαμεμόρφωται, ὡς ἐπὶ τῶν ἀνδριάντων ἔχει· τὰ γὰρ ἔνδον τούτων ἀδιάπλαστα. διὰ δὴ τοῦτο φησάντων τῶν μὲν γινομένων κατὰ τέχνην ἔξωθεν εἶναι καὶ κεχωρισμένον εἶναι τὸ ποιοῦν, ἐπὶ δὲ τῶν γινομένων φύσει ἐν τῇ ὕλῃ εἶναι τὴν δύναμιν τὴν μορφοῦσάν τε καὶ γεννῶσαν αὐτά. ταῦτα δὲ οὐχ ὁρῶμεν τοῖς γινομένοις συνᾴδοντα. ἐπὶ γὰρ πάντων γινομένων φύσει, ἔξωθέν τί ἐστι τὸ τὴν ἀρχὴν τῆς γενέσεως αὐτῶν ἔχον καὶ τῆς πρώτης ἐν τῇ ὕλῃ μεταβολῆς αἴτιον. τά τε γὰρ ἁπλᾶ σώματα τῆς τε εἰς ἄλληλα μεταβολῆς ἔξωθεν ἔχει τὴν αἰτίαν. ψῦξις γὰρ καὶ θερμότης ἡγουμένη διὰ τὴν τῶν οὐρανίων σωμάτων ἀλλοίαν πρὸς αὐτὰ σχέσιν, τῆς γενέσεως αὐτοῖς καὶ τῆς φθορᾶς καὶ τῆς εἰς ἄλληλα μεταβολῆς αἴτια. ἀλλὰ καὶ τῶν φυτῶν καὶ τῶν ζῴων ἕκαστον ὑπό τινος ἔξωθεν ὄντος κεχωρισμένου τῆς ὕλης, ἐξ ἧς ἕκαστον αὐτῶν γίνεται, τὴν ἀρχήν τε τῆς γενέσεως λαμβάνει καὶ τὰ κατ᾽ αὐτῆς πηγνύμενα πάντα. καὶ τὰ ἐν τοῖς μετεώροις συνιστάμενα κεχωρισμένα, κεχωρισμένον ἔχει τὸ ποιοῦν. οὔτε γὰρ τὸ θερμαινόμενον καὶ διὰ τοῦτο μεταβάλλον, αὐτὸ θερμαίνει· [b] ψυχρὸν δὲ καθὸ θερμαίνεται. ἀλλὰ καὶ οἷς ἡ γένεσις ἀπὸ σπέρματος, ἔξωθεν τὸ γεννῶν διὰ τῆς προθέσεως τοῦ σπέρματος *). εἰ δ᾽ οὕτως τὰ ἐκ τῆς ὕλης γινόμενα γίνεται, πῶς ἂν ἔτι ὁ θεὸς αὐτῶν εἴη διὰ τοῦ τὴν ὕλην μεμῖχθαί τε καὶ κεκρᾶσθαι; τοῦ γὰρ οὕτως ἐν τοῖς γινομένοις φύσει ποιοῦντος ἄλλο τι πρῶτόν ἐστιν αἴτιον ἔξωθεν ὄν. οὐδὲν δὲ ποιητικὸν πρῶτον τοῦ θεοῦ. ἐοίκασι δὲ δι᾽ ὧν λέγουσιν εἶδος τῆς ὕλης λέγειν τὸν θεόν. εἰ γὰρ οὕτως ὁ θεὸς μέμικται τῇ ὕλῃ, κατ᾽ αὐτούς, ὡς ἐν τοῖς ζῴοις ἡ ψυχὴ τῷ σώματι, καὶ ἡ δύναμις τῆς ὕλης ἐστὶν ὁ θεὸς (φάσι γὰρ τὴν ὕλην ποιεῖν τὴν ἐν αὐτῇ δυνάμει), εἶδος ὡς ἂν λέγοιεν αὐτῆς τὸν θεόν **), ὡς τὴν ψυχὴν τοῦ σώματος καὶ τὴν δύναμιν τοῦ δυνάμει. ἀλλ᾽ εἰ τοῦτο, πῶς ἂν ἔτι ἡ ὕλη ἀνείδεος εἴη κατὰ τὸν αὐτῆς λόγον;

---

*) Ald. ante *τοῦ σπέρματος* repetit praepositionem *διά*.

**) Totus locus apud Aldum tam verborum corruptione quam prava interpunctione laborat. Ita enim exhibetur: *ὁ θεός, φύσει γὰρ τὴν ὕλην ποιεῖ τὴν ἐν αὐτῇ δυνάμει εἶδος, ὡς ἂν λέγοιεν* et q. s.

[fol. 144, b]
εἴγε τὸ συμμένειν αὐτῇ, καὶ εἶναι ὕλη περὶ τῆς οὔσης ἐν αὐτῇ δυνάμεως. μάλιστα δ' ἐν τῇ ἐκπυρώσει φαίνεται κατ' αὐτοὺς ὁ θεὸς τῆς ὕλης εἶδος ὤν, εἴγε ἐν τῷ πυρί, ὃ μόνον κατ' αὐτούς, τότε ἡ ὕλη καὶ ὁ θεὸς σώζονται μόνοι. εἴη γὰρ ὁ θεὸς τό τε εἶδος τὸ ἐπὶ τῇ ὕλῃ τοῦ πυρός. εἰ δὲ τοῦτο, μεταβάλλει δὲ τὸ πῦρ εἰς ἄλλα τινὰ σώματα, τὸ εἶδος ἀλλάσσον *), εἴη ἂν ὁ θεὸς φθειρόμενος τότε, εἴγε κατὰ φθορὰν τοῦ προϋπάρχοντος εἴδους ἡ μεταβολὴ εἰς ἄλλο σῶμα τῇ ὕλῃ γίνεται. καὶ εἰ τῆς τοιαύτης μεταβολῆς ὁ θεὸς αἴτιος, εἴη ἂν ὁ θεὸς κατ' αὐτοὺς φθείρων ἑαυτόν. οὗ τί ἂν ἀτοπώτερον ῥηθείη ποτ' ἄν; πῶς δ' οὐκ ἀνάξια τῆς θείας προλήψεως τό τε τὸν θεὸν διὰ πάσης τῆς ὑποκειμένης πᾶσιν ὕλης κεχωρηκέναι λέγειν καὶ μένειν ἐν αὐτῇ, ὁποία **) ποτ' ἂν ᾖ, καὶ τὸ προηγούμενον ἔχειν ἔργον, τὸ ἀεί τι γεννᾶν τε καὶ διαπλάσσειν τῶν ἐξ αὐτῆς γενέσθαι δυναμένων καὶ ποιεῖν τὸν θεὸν δημιουργὸν σκωλήκων τε καὶ ἐμπίδων, ἀτέχνως ὥσπερ κορόπλαστόν ***) τινα τῷ πηλῷ σχολάζοντα καὶ πᾶν τὸ δυνάμενον ἐξ αὐτοῦ γενέσθαι, τοῦτο ποιοῦντα; πρὸς δὲ τούτοις εἰ τὰ κιρνάμενα ἀλλήλοις σώματα ἀντιπάσχειν ὑπ' ἀλλήλων ἀνάγκη (διὰ τοῦτο γὰρ οὐδέτερον αὐτῶν φθείρεται, ὅτι ἑκάτερον αὐτῶν πάσχον ὑφ' ἑκατέρου, ἐν τῷ πάσχειν ἀντιποιεῖ), τὰ δὲ δι' ἀλλήλων σώματα κιρνᾶται ἀλλήλοις, εἴη τ' ἂν ἄλληλα †). ταῦτα μὲν εἰπεῖν προήχθην διὰ τοὺς ἀντιλέγοντας τῷ Ἀριστοτέλει, περὶ τοῦ πέμπτου σώματος καὶ τοῖς νόμοις, κατ' ἀξίαν τῶν θείων εἰρημένοις, ἐνίστασθαι πειρωμένους ††) διὰ φιλοτιμίαν, τῆσδε ἀτοπίας τῶν ὑφ' αὐτῶν λεγομένων μηδὲ τὴν ἀρχὴν συνιέντας, οἷς καὶ τὰ κυριώτατα καὶ μέγιστα τῶν κατὰ φιλοσοφίαν δογμάτων ἤρτηται, καὶ τὴν κατασκευὴν ἀπὸ τοῦ θαυμαστοῦ δόγματος ἔχει, τοῦ σῶμα χωρεῖν διὰ σώματος. ὅ τε γὰρ περὶ κράσεως αὐτοῖς λόγος †††) οὐκ ἐν ἄλλῳ τινί. ἀλλὰ καὶ τὰ περὶ τῆς ψυχῆς ὑπ' αὐτῶν λεγόμενα ἐντεῦθεν ἤρτηται· ἥ τε πολυθρύλλητος αὐτοῖς εἱμαρμένη καὶ ἡ τῶν πάντων πρόνοια

---

*) Ald. ἀλάσσον. **) Ald. ὁποία.

***) Vocabulum lexicis addatur. Ald. κορόπλασθον.

†) Sc. τὸ ποιεῖν καὶ τὸ πάσχειν. Mox Ald. προήχθω.

††) Ald. πειρωμένοις. †††) Ald. ὅτε et λόγοις.

[fol. 144, b]

δὲ τὴν πίστιν λαμβάνουσιν, εἴτε ὁ περὶ ἀρχῶν τε καὶ θεοῦ, καὶ ἡ τοῦ παντὸς ἕνωσίς τε καὶ συμπάθεια πρὸς αὐτό. πάντα γὰρ ταῦτ' ἐστὶν ὁ διὰ τῆς ὕλης διήκων θεός, τούτου δέ, τὸ σῶμα χωρεῖν διὰ σώματος, ἐξ οὗ σχεδὸν πάσης τῆς φυσιολογίας αὐτοῖς ἀνήρτηται τὰ πίσματα παρά τε τὰς κοινὰς προλήψεις λεγόμενον καὶ παρὰ *) τὰς ἁπάντων δόξας τῶν φιλοσόφων τὴν πίστιν κατ' αὐτοὺς λαμβάνει. ὡς αἱ ἀπὸ ἐναργοῦς τοῦ τὸν σίδηρον, ὅταν ᾖ πεπυρωμένος **) μέν, μὴ αὐτὸν ἐξάπτεσθαί τε καὶ πυροῦσθαι λέγειν ὁμοίως τοῖς, οἷς ὕλη τὸ πῦρ, ἀλλὰ διὰ παντὸς αὐτοῦ χωρεῖν τὸ πῦρ ὑπολαμβάνειν μετὰ τῆς ὕλης ἐκείνης, ἐφ' ἧς ὂν γειτνιᾶσαν τῷ σιδήρῳ ἐθέρμαινέ τε καὶ ἐξῆψεν αὐτόν. καίτοι πῶς οὐ πρὸς τοῖς ἄλλοις καὶ τοῦτο παντάπασιν ἄτοπον, τὸ τὴν τῆς φλογὸς ὕλην, μὴ κατέχουσαν τὴν ἔξω μὲν χορηγίαν μὴ καταναλίσκεσθαι, σώζεσθαι ἐπὶ τοσοῦτον λέγειν ἐν τῷ πυρὶ τῷ μεμιγμένῳ, ἕως ἂν ὁ σίδηρος πεπυρωμένος μένῃ, ἐναργοῦς ὄντος τοῦ τὴν φλόγα συνεχοῦς δεῖσθαι τῆς κατὰ τὴν ὕλην χορηγίας, ὡς ἔχουσαν ἐν τῷ γίγνεσθαι τὸ εἶναι διὰ τὴν τῆς ὑποβεβλημένης ὕλης αὐτῇ ταχεῖαν φθοράν. καὶ ὁ θεὸς κιρνάμενος τῇ ὕλῃ· εἰ δὲ τοῦτο, καὶ ἀντιπάσχων ὑπ' αὐτῆς· οἷς ἕπεται τό τε τὸν θεὸν πάσχειν καὶ τὴν ὕλην ποιεῖν, ἀλλὰ ταῦτα .... †). εἰ γὰρ μὴ ὁ σίδηρος ὕλη ποτὲ τῷ πυρί, τίνα χρὴ τὴν καιομένην ὕλην λέγειν εἶναι; ὅλως δὲ ἐπεὶ ὁ σίδηρος ὑπό τινος πυρὸς ἐξάπτεται ὄντος ἐφ' ὕλης, ἢ διὰ τοῦ σιδήρου δίεισι τὸ πῦρ, δεῖ φυλάττειν αὐτὸ τὴν ὕλην, καὶ ††) ἐφ' ὅσον ἐπλησίαζε τῷ σιδήρῳ χωρεῖν δι' αὐτοῦ, ἀλλ' οὐδὲ τὰ †*) ξύλα, οὐδὲ οἱ ἄνθρακες, οὔτε τις ἄλλη τῶν ὑποκειμένων ὕλη τῷ πυρὶ τῷ πυροῦντι τὸν σίδηρον, ἐν τῷ σιδήρῳ γίνεται. λείπεται, δια-

---

*) Hic et paulo ante Ald. pro *παρά* exhibet *περί* et *λεγομένου* pro *λεγόμενον*.

**) *ᾖ πεπυρωμένος* ex coniectura scripsi pro *εἶπε πυρωμένος*, quod Aldus praebet.

†) Fortasse excidit *ἄτοπα* aut similia quaedam. Apud Aldum nullum lacunae indicium deprehenditur.

††) *καί* deest apud Ald.

†*) Pro *οὐδὲ τά* apud Aldum legitur *οὐ τά τε*.

[fol. 144, b]
χωριζόμενον αὐτὸ τῆς ὕλης γίνεσθαι ἐν αὐτῷ. ἀλλ᾽ εἰ χωρίζοιτο, ἀναγκαῖον αὐτὸ ἐν τῇ μεταβάσει ὕλην τινὰ μεταλαμβάνειν, καί ἐστιν οὐκ ἄλλη τις ἢ ὁ σίδηρος αὐτός *). καθόσον γὰρ ἡ ὑγρότης ἐστὶν ἐν αὐτῷ, κατὰ τοσοῦτον ὕλη τῷ πυρὶ γίνεται **), σκληρότερος γοῦν ὁ πυρούμενος σίδηρος μετὰ τὴν σβέσιν, τοῦ πρώτου γίνεται, ὡς ἀναλισκομένης ὑπὸ τοῦ πυρὸς τῆς ὑγρότητος τῆς ἐν αὐτῷ. καὶ ἐξάπτεταί τε μέχρις ἂν ὑγρότης ᾖ τις ἐν αὐτῷ, ὥσπερ οὖν καὶ ξύλα· ἀλλὰ τούτων μὲν ἅλις.

Ἐπανίωμεν δὲ ἐπὶ τὸν ἐξ ἀρχῆς λόγον. εἰ γὰρ τὰ εἰρημένα οὕτως περὶ κράσεως παντελῶς ἄτοπα, ἀναγκαῖον ἄλλως πως τὰς κράσεις γίνεσθαι λέγειν. λείπεται δὲ παρὰ ταύτας, ὧν ἀνάξιον ***) ποιεῖσθαι λόγον τινά, ἡ ὑπ᾽ Ἀριστοτέλους εἰρημένη δόξα. εἴπωμεν δὲ καὶ περὶ ταύτης, καὶ δείξωμεν τίς πότ᾽ ἐστιν, ἐπεὶ μηδὲ γνώριμός ἐστι τοῖς πολλοῖς τῶν φιλοσοφούντων διὰ συντομίαν τῶν περὶ αὐτῶν εἰρημένων ὑπὸ τοῦ φιλοσόφου †). πρῶτον μὲν ὁρίσωμεν, τίνα ἐστὶν ἀλλήλοις κιρνᾶσθαι λεγόμενά τε καὶ [145] δυνάμενα. ὁρισθὲν γὰρ ἡμῖν τοῦτο ἀποσκευάσαι τε πολλὰ τῶν ἐνοχλούντων τὸν περὶ κράσεως λόγον. ἐστὶ δὲ δὴ ἡ μῖξίς τε καὶ ἡ κρᾶσις ἐν τοῖς καθ᾽ αὑτὰ ὑφεστάναι φύσιν ἔχουσι. διὸ καὶ δοκεῖ δύνασθαι χωρίζεσθαι πάλιν ἀλλήλων τὰ μεμιγμένα ὅτι ἐκ τούτων συνῆλθεν. εἰ δὲ μηδὲν ἄλλο χωρὶς τῶν παρὰ τὴν οὐσίαν, οὐσιῶν ἡ μῖξίς τε καὶ ἡ κρᾶσις εἴη. εἰ δὲ τοῦτο, οὐκ ἂν Ἀναξαγόρας εἴη καλῶς λέγων, πάντα ἐν πᾶσι μεμῖχθαι. οὔτε γὰρ τὰ πάθη χωριστά, ὡς καθ᾽ αὑτὰ εἶναι δύνασθαι. διὸ οὐδὲ μῖξίς τε καὶ κρᾶσις ἂν εἴη παθῶν πρὸς ἄλληλα, ἢ παθῶν πρὸς τά, ὧν ἐστι πάθη. ἀλλ᾽ οὐδὲ τὰ εἴδη τῶν οὐσιῶν. καὶ γὰρ εἰ οὐσίαι καὶ ταῦτα ††), ἀλλ᾽ οὐ καθ᾽

---

*) Ald. *αὐτῇ.* **) Ald. *τῷ περιγίνεται.*

***) *ἀνάξιον* pro *ἄξιον*, quod Ald. praebet, dedimus nexu sententiarum efflagitante et probante Caninio, cum vertat: *praeter has* (opiniones), *quae penitus negligendae ac pro nihilo faciendae sunt.*

†) *De generat. et inter.* I, 10. coll. *de sensu ac sensili* c. 3. Stob. *Eclog. phys.* I, 18, p. 370: *Ἀριστοτέλης καὶ οἱ ἀπ᾽ αὐτοῦ τὰ μὲν σώματά φασι θρυπτόμενα καὶ τὰ μικρὰ μόρια παρατίθεσθαι ἀλλήλοις, τοὺς δ᾽ ἀσωμάτους λόγους συγκρίνασθαι.*

††) Sc. *τὰ εἴδη.*

[fol. 145, a]
αὐτὰ συνυφίστανται. οὐ γὰρ οἷόν τε χωρὶς ὕλης εἶναί τι αὐτῶν. ἀλλ᾽ οὐδὲ ἡ ὕλη μικτή. οὐδὲ γὰρ αὕτη χωρὶς εἴδους ἐνεργείᾳ πότ᾽ ἐστι. οὔτ᾽ οὖν ἐν ἄλλοις τισίν, ἢ ἐν οὐσίαις ἡ μῖξίς τε καὶ κρᾶσις, οὐδὲ ἄλλαι τινὲς τῶν οὐσιῶν εἰσὶ μικταὶ παρὰ τὰς χωριστάς τε καὶ κατ᾽ ἰδίαν ὑφεστάναι δυναμένας καὶ κατεχούσας τόπον. τοιαῦτα δὲ τὰ σώματα. τούτου τοίνυν διωρισμένου μετὰ ταῦτα ἄξιον ἐπιστῆσαι, πότερον ταὐτόν ἐστι μῖξίς τε καὶ κρᾶσις, ἢ διαφορὰν ἔχει τινά. ἔοικε δὴ διαφέρειν, ᾗ τὸ μὲν κοινότερόν ἐστιν ἡ μῖξις, ἡ δὲ κρᾶσις ἰδικώτερον. ποιὰ γὰρ μῖξις ἡ κρᾶσις. τῶν γὰρ μίξεων ἡ μέν τις κατὰ παράθεσιν τῶν οὐσιῶν καὶ ἁφὴν γίνεται, ἣν λέγομεν τῆς μίξεως γίνεσθαι κατὰ σύνθεσιν. οὐ πᾶσα μὲν γὰρ σύνθεσις μῖξις· σύνθεσις μὲν γὰρ καὶ τῶν ὁμοίων τε καὶ ὁμοειδῶν γίνεται. ἡ δὲ μῖξις ἐκ διαφερόντων τε καὶ ἐν διαφέρουσι. διὸ ὁ μὲν τῶν πυρῶν σωρὸς κατὰ μόνην σύνθεσιν, ὁ δὲ τῶν πυρῶν τε καὶ κυάμων ἤδη τῇ συνθέσει καὶ τὴν μῖξιν προσείληφε. ἡ δὲ ὡς κρᾶσις μῖξις γίνεται, οὐ σωζομένων ἔτι τῶν μιγνυμένων καὶ οὕτως ἀλλήλοις παρακειμένων *), ἀλλ᾽ ἑνουμένων κατὰ τὸ ὑποκείμενον. διὸ ἐν τοῖς εὐορίστοις τε καὶ ὑγροῖς ἡ ὡς κρᾶσις μῖξις ἐστίν. ὥσπερ δὲ οὐχ ἡ τυχόντων σύνθεσις μῖξις ἦν, οὕτως οὐδὲ ἡ τῶν τυχόντων ὑγρῶν ἕνωσις κρᾶσίς τε καὶ μῖξις. οὐ γὰρ ὕδωρ ὕδατι κιρνᾶται, καίτοι ἑνούμενον αὐτῷ, οὐδὲ ἔλαιον ἐλαίῳ, ἀλλ᾽ οὐδὲ ἔλαιον ὕδατι. ἀλλὰ τοῦτο μὲν διὰ γλισχρότητα. ὅταν δὲ ᾖ ταῦτα τὰ ἑνούμενα, ὡς ἔχειν ποιότητας, καθ᾽ ἃς τὰ μιγνύμενα ποιεῖν τε καὶ πάσχειν ὑπ᾽ ἀλλήλων δυναμένοις, τότε καὶ τούτων κρᾶσις γίνεται **). διὰ τοῦτο γὰρ ἄμικτον πᾶν τὸ θεῖον σῶμα τὸ ποιητικὸν ὄν, μηκέτ᾽ ἀντιπάσχειν ὑπὸ τοῦ πάσχοντος ὑπ᾽ αὐτοῦ δύναται. μόνα γὰρ τὰ ἔνυλα πάσχει. διὸ ταῦτα μόνα τῶν ποιούντων ἀντιπάσχει ὅσα τῆς αὐτῆς ἐκκοινώνηκεν***) ὕλης. ταῦτα δὲ τῶν τῆς τοιαύτης

---

*) Ald. περικειμένων.

**) Totus hic locus inde a verbis διὰ τοῦτο γὰρ ἄμικτον πᾶν τὸ θεῖον σῶμα ... usque ad ea, quae fol. 145, b init. reperiuntur: ... τοῦτον γίνεται τὸν τρόπον desunt in interpretatione Caninii.

